


ΩΡΙΓΕΝΟΥΣ
ΤΑ
ΕΥΡΙΣΚΟΜΕΝΑ ΠΑΝΤΑ.

ORIGENIS
OPERA OMNIA

QUAE

GRAECE VEL LATINE TANTUM EXSTANT

ET

EJUS NOMINE CIRCUMFERUNTUR.

Ex variis Editionibus, et Codicibus manu exaratis, Gallicanis, Italicis, Germanicis et Anglicis collecta, recensita atque annotationibus illustrata, cum vita Auctoris, et multis Dissertationibus

Ediderunt

CAROLUS ET CAROL. VINCENT. DELARUE

Presbyteri et Monachi Benedictini e Congregatione S. Mauri.

Denuo Recensuit Emendavit Castigavit

Carol. Henric. Eduard. Lommatzsch

Philos. Dr. Theolog. Licent. ejusdemq. in Seminar. Viteberg. Professor.

TOMUS III.

Berolini 1834.

Sumtibus Haude et Spener.

(S. J. Joseephy.)

ORIGENIS
in
Evangelium Matthaei
Commentariorum
Pars I.

Ex
Nova Editionum Coloniensis et Parisiensis
Recognitione
Cum
Epistola Critica
Henrici Petermanni
Integro
Utriusque Ruaei Commentario
Selectis Huetii Aliorumque Virorum Observationibus
Edidit
Carol. Henric. Eduard. Lommatzsch
Philos. Dr. Theolog. Licent. ejusdemq. in Seminar. Viteberg. Professor.

Berolini 1834.
Sumtibus Haude et Spener.
(S. J. Joseephy.)

VIRO

EXCELLENTISSIMO ILLUSTRISSIMO
SUMME VENERABILI

GEORGIO HENRICO LUDOVICO
NICOLOVIO

THEOLOGIAE DOCTORI REGI A CONSILIIS INTIMIS SUPREMI SENATUS RES SACRAS ET SCHOLASTICAS PER REGNUM BORUSSIACUM CURANTIS DIRECTORI COLLEGII REBUS PUBLICIS CONSULENTIS ASSESSORI ORDINIS AQUILAE RUBRAE SECUNDAE CLASSIS FRONDE QUERNEA AC STELLA INSIGNITAE EQUITI
ETC. ETC. ETC.

FAUTORI SUO AC PATRONO MULTIS NOMINIBUS

COLENDO

HAS

STUDIORUM PRIMITIAS

PIETATIS GRATIQUE ANIMI DOCUMENTUM

SUMMA CUM OBSERVANTIA AC VENERATIONE

D. D. D.

EDUARDUS LOMMATZSCH.

LOMMATZSCHIO SUO

AMICO CARISSIMO DILECTISSIMO

S. P. D.

JULIUS HENRICUS PETERMANN.

Licet nonnisi aliquot hebdomades praeterierint ex eo tempore, quo tu mihi — — — — Vitebergae dedisti: multa tamen eaque nova abinde vidi, multaque in itinere ab hiemis crudelitate perpessus sum. Veruntamen haec omnia, atque multo plura etiam si mihi accidissent, me pristinae amicitiae atque promissorum, quae dederam, immemorem reddere nullo modo poterant. Hinc statim postquam Viennam advectus sum, bibliothecam imperialem invisi, ubi singulari benevolentia a Viro Ill. Kopitar, Bibliothecario Imperiali acceptus sum, atque catalogos librorum manuscriptorum inspicere mihi licuit; sed in his praeter libros sequentes nihil inveni, quod ad Origenem Tuum spectet.

Nempe in Catalog. Biblioth. Caes. Vindob. Mss. Graec. et Lingg. Or. inter codices theol. hi fere notandi veniebant.

1) Codex No. 36. (Lambecius 120.) folio, chartaceus, 227 foliis constans. Inest Commentarius in prophetiam Jeremiae, librum Baruch, et lamentationes Jeremiae. (In Codice tribuitur Joanni Chrysostomo, revera autem continet Origenis, Chrysostomi, et Theodoreti commentarios.)

2) Codex No. 177. (Lambecius 19.) in quo folio 186 — 203. continentur hypotheses sive argumenta Psalmorum omnium secundum Symmachum, Origenem etc. Hic codex anno salutis 1210. scriptus est, membranaceus, in quarto.

3) Codex No. 246. (Lambecius 53.) chartaceus, antiquus, in quarto, valde exesus, et saepe vix legendus; constat foliis 129. continens Philocaliam Origenis. Insunt prima capita viginti, reliqua desiderantur.

4) Codex No. 311. (Lambecius 16.) membranaceus, pervetustus, in octavo. Continet folia 290. Inest Psalterium a Ps. 9, 17. usque ad finem cum commentario, qui dicitur: Ὠριγένους ἐξήγησις.

Feliciori quodammodo quoad codices Origenianos mihi esse contigit Venetiis in bibliotheca Scti Marci, in qua Vir Reverendissimus abbas Bettio, Bibliothecarius supremus, mira et insigni liberalitate non modo catalogos codicum manuscriptorum inspicere, atque libros quoscunque pervestigare, verum etiam, id quod aliis non licet, diebus saecularibus quotidie bibliothecam frequentare, ibique quamdiu aperta est, in sua ipsius camera legere et laborare permisit. Hic inter codices, quos Bessario

e Graecia advexit, hos mihi enotavi, utpote qui Tua interesse videbantur.

1) Codex No. 43. folio, chartaceus, fol. 294. Continet Origenis Exegeticorum in Evangelium Matthaei tomos VIII. a X. scilicet ad XVII. inclusive; omnes inter editos. Insunt praeterea Origenis Exegeticorum in Evangelium Joannis tomi XXXII. — Codicis hujus sectiones sequutus est Ambrosius Ferrarius in editione sua Veneta 1551. 4. — Praeeunt nonnulla de erroribus Origenis. Init. *Πολλῶν τὸν Ὠριγένην αἱρετικὸν ψηφισαμένων.* In fine nota habetur: *Ἐπιγράφη ἐν ἔτει ϛωπβʹ. ινδ. ιβʹ. ἐν μηνὶ Ἀπριλλίῳ λʹ.* i. e. Scriptus est anno 6882 (Christi 1374.) ind. 12. mense Aprili die 30.

2) Codex No. 44. folio, membranaceus, fol. 224. saeculi XIV. — Insunt: Origenis contra Celsum libri VIII. praefixo Gregorii Thaumaturgi prosphonetico in Origenem.

3) Codex No. 45. in 4. chartaceus, foliorum 357. saeculi circiter XIV. Insunt: Origenis contra Celsum libri VIII. Praeit Gregorii Thaumaturgi prosphoneticus. — Subsequuntur excerpta quaedam ex capite XXII. libri V. historiae ecclesiasticae Eusebii Pamphili.

4) Codex No. 46. in 4. membranaceus, foliorum 266. saeculi XV. Continet Origenis contra Celsum libros VIII.

5) Codex No. 47. in 4. membranaceus, foliorum 156. saeculi circiter XI. Inest Origenis Philocalia.

6) Codex No. 48. in 4. chartaceus, foliorum 200. saeculi circiter XIV. Inest Origenis Philocalia.

7) Codex No. 496. in 8. membranaceus, foliorum 185. saec. circ. XII. Inest: Origenis Adamantii dialogus contra Marcionitas et Valentinianos de recta in Deum fide.

In his primum, quem Tibi nunc prae caeteris utilem judicabam, inspexi, atque, quantum ob temporis angustias fieri potuit, cum editione fratrum de la Rue comparavi, ut saltem specimen lectionum variantium Tibi propinare possim. In eo multae voces sunt decurtatae, accentus ubique et recte quidem additi, sed in encliticis quaedam fluctuatio. Jota subscriptum saepissime deest, ac fere tantum in Dativo Nominum in ω servatur. Interpunctio, quae dicitur, quodammodo arbitraria est, atque solis commatibus et punctis constat. Haec in universum praemittenda videbantur, reliqua omnia, eaque etiam, quae minoris momenti sunt, inter variantes enumerata reperies. In his enim, quae comparavi, ne jota quidem omittendum putavi.

Atque haec fere habui, quae de Codicibus Origenianis Tibi scriberem: ac spero fore, ut in edendo Origene ex his aliquam utilitatem ac fructum haurire possis. De vita, quae hic vivitur, deque Armeniis meis, qui summa comitate ac benignitate me receperunt, alio tempore, ubi plus otii erit, Tibi scribam.

Dabam Venetiis d. XXIII. mensis Decembris MDCCCXXXII.

Sylloge lectionum *) variantium in Cod. Veneto (No. 43.) obviarum.

In fronte Tomi X. (cfr. ed. nostrae pag. 7.) haec leguntur: *Ὠριγένους ἐκ τῶν εἰς τὸ κατὰ ματθαῖον εὐαγγέλιον ἐξηγητικῶν, τόμος δέκατος.*

Pag. 9. lin. 1. *προσῆλθον οἱ μαθηταὶ αὐτοῦ.* — lin. 2. a fine: *δέ τινες καὶ ἐπὶ πλεῖον. Καὶ τοιαῦτα γε.*

— 10. lin. 1. *εὐαγγελίῳ περὶ τούτων.*

— 11. lin. 4. a fine: *καὶ πρόσχες εἰ δύνασαι.* — lin. 3. a fine: *τοῖς προαποδεδομένοις.*

— 12. lin. 1. et 2. *γεννήματα τυγχάνοντα* pro *γεννήμ. ἔσπαρται τυγχάνοντα.* — lin. 1. a fine: *θερισμὸν, ἵν' οἱ ἐπὶ τούτῳ.*

— 13. lin. 2. *καὶ παραδώσουσιν.*

— 14. lin. 1. *διδάσκων ἐν τῇ φράσει* pro *διδάσκων τοὺς οἰομένους ἐν τῇ φράσει.* — lin. 4. *παραβολῆς οὐ δεῖται σαφηνείας,* sed *ὃ* ante lineam scriptum, licet eadem manu.

— 16. titulus: *περὶ τῆς παραβολῆς τοῦ — ἀγρῷ,* deest, sed initium litera rubra indicatum, et in marg. signum hac in re usitatum. — lin. 10. *ἐξεταζέτω καὶ τὰς ἑξῆς δύο.* — lin. 13. *καὶ εἰκότως τοῦτο πεποίηκεν.* — lin. 15. verba: *καὶ ταῦτα πάντα ἐλάλησεν ἐν παραβολαῖς,* desunt in Codice. — lin. 6.

---

*) Spectant lectiones subsequentes ad Orig. Commentariorum in Ev. Matthaei Tom. X. In quibus quidem cum textu nostro conferendis, notas non minus quam textum ipsum in usum vocent lectores, enixe rogamus.

a fine: τοῖς γὰρ ἔξωθεν ἐν παραβολαῖς. — lin. 3. a fine: αὗται παραβολαὶ, τί εἰσι.

Pag. 17. lin. 1. τίνι ὁμοιώσω pro τίνι ὁμοιώσωμεν. Verba ead. pag. lin. 3. et 4. obvia: ἐκ τούτου — ὁμοιώσεως καὶ παραβολῆς, desunt. — lin. 5. et 6. ἡ ὁμοίωσις γενικώτατον οὖσα. — lin. 10. καὶ γενικώτατον εἶναι, et lin. 12. ὁμωνύμους. — lin. 6. a fine: bis ἰδία pro ἰδίᾳ. Iota subscr. saepe deest. — lin. 4. a fine: τοῦτον τὸν κεκρυμμένον.

— 18. lin. 1. ἡ γραφὴ καταφυτευθεὶς τοῖς. — lin. 4. καὶ τῶν ῥητῶν τῆς ἄλλης γραφῆς. — lin. 5. et 6. καὶ ἀποκείμενα. — lin. 8. καὶ τῆς γνώσεως ἀπόκρυφοι. — lin. 10. et 11. τὸν δ' ἐν αὐτῷ. — lin. 4. et 5. a fine: κεκρυμμένῳ ἐν ἀγρῷ.

— 19. lin. 1. et 2 θησαυρῷ τῷ κεκρυμμένῳ. — lin. 3. ἔχειν μετὰ τὴν ὁμοίωσιν. — lin. 8. εἴτε ἐν γραφαῖς.

— 20. lin. 1. et 2. ἀποδόσθαι ἐκείνην, καὶ ἀντ' ἐκείνην. — lin. 7. ἐμπόρῳ pro ἀνθρώπῳ ἐμπόρῳ. — lin. 9. οὐδενὶ μὲν ἐκείνων. — lin. 9. a fine: τὸν καλὸν μαργαρίτην. — lin. 5. a fine: γίνονται σφραγῖσι pro γίν. πρέποντες σφραγῖσιν. — lin. 2. a fine: ἐν τῇ ἐρυθρᾷ θαλάττῃ.

— 21. lin. 3. οἱ κατὰ τὸν βόσπορον. Nomina propria semper literis minusculis scripta. — lin. 5. ἐν κόγχοις γίνηται (?) — lin. 6. εὐμεγέθεσιν pro εὐμεγέθεσι. — lin. 7. a fine: ἀλόντος pro ἅλοντος. — lin. 5. a fine: τῶν ἀπ' αὐτῆς, ἀλλὰ οἷον.

— 22. lin. 2. διοιχθεὶς τὴν ἐπουράνιον. — lin. 6. μεταλάβοι δρόσου. — lin. 9. οὗ ἔχει λίθου pro οὗ κύει λίθου. — lin. 10. a fine: ἠρέμα διαλάμπει. — lin. 5. a fine: ἔτι δὲ καὶ τοῦτο σημεῖον ἀρίστου ἐστὶ μαργαρίτου. — lin. 4. a fine: τετορευμένην pro τετορνευμένην. — lin. 1. a fine: κατὰ τὴν βρε-

τανίαν pro *κατὰ Βρεττανίαν*, uno *τ* scripto voc. *Βρετταν.*, ut supra quoque pag. 21. lin. 1.

Pag. 23. lin. 6. *μαργαριταροφόρον.* — lin. 8. *ὧν ἡ νομὴ ἐν* pro *ἡ νομὴ ἐν.* — lin. 11. *ἄρυθμοι* pro *ἄῤ-ῥυθμοι.* — lin. 10. a fine: *καὶ φαῦλοι.* — lin. 6. a fine: *οὐκ ἂν εἴρητο.* — lin. 3. a fine: *ἵν' οὕτως ὀνομάσω.* — lin. 1. a fine: *μαργαρίται* pro *μαργαρῖται.*

— 24. lin. 7. et 8. a fine: *οὐ μαθητὴς ἐστὶ τοῦ σωτῆρος, καὶ τοὺς μαργαρίτας.* — lin. 4. a fine: *πρὸς βορᾶν, εἰ χρὴ καὶ ταῦτα προσλαμβάνειν.* — lin. 2. et 3. a fine: *γενομένην τόποις.* — lin. 1. et 2. a fine: *καὶ αἱ ἐν τοῖς ἔργοις τῆς σαρκὸς κατειλιγμέναι.*

— 25. lin. 6. et 7. *μαργαρίτας καὶ χριστὸν κερδήσω.* — lin. 6. a fine: *εἰς ὃν εὐδόκησα.*

— 26. lin. 3. et 4. a fine: *ἀπελθεῖν καὶ πωλῆσαι.*

— 27. lin. 5. *χρησίμως γενομένη.* — lin. 5. et 6. a fine: *τὰ κατὰ τὴν χρόαν.* — lin. 3. et 4. a fine: *τὰ κατὰ τὴν χρόαν καὶ τὰ κατὰ τὰς εἰσοχάς κτλ.*

— 28. lin. 8. *γένους συναγούσῃ.* — lin. 13. et 14. *ἀπὸ τῶν φαυλῶν γενῶν φύσει.*

— 29. lin. 5. *ἐν ἰχθύσι γενῶν ἐπὶ τὰ ἀστεῖα.* — lin. 5. a fine: *δίκαιον ἀπὸ τῆς δικαιοσύνης.* — lin. 1. et 2. a fine: *κατὰ τὴν σαγήνην.*

— 30. lin. 2. *φυλάσσων πάντας τὰς ἐντολὰς τοῦ κτλ.* — lin. 5. *εὐλόγως ἂν λεχθείη.* — lin. 6. *ἀνομιῶν αὐτοῦ.* — lin. 12. *πρὶν γὰρ ἀποστρέψει.* — lin. 2. et 3. a fine: *νομιστέον τὴν βασιλείαν* pro *νομιστέον ὡμοιῶσθαι τὴν βασιλείαν.*

— 31. lin. lin. 3. *γένους συναχθὲν, ἐπαινετούς κτλ.* — lin. 5. *ἐπιῤῥεπίαις.* — lin. 8. *γραφήν. καὶ ὥσπερ.*

— lin. 11. et 12. *ἐπὶ τῶν ὑπὸ τὴν σαγήνην.* — lin. 8. a fine: *ὅλη τῆς ἐν ταῖς γραφαῖς.*

Pag. 32. lin. 1. *ἔλιπε γὰρ τῇ νομικῇ.* — lin. 9. et 10. *ἀποδεδομένων τῇ ἐκ παντὸς συναγούσῃ.*

— 33. lin. 4. et 5. *ἐκ μέσων τῶν δικαίων.* — lin. 9. *καὶ διαχωρῆσαι.* — lin. 8. a fine: *ὅτι τῶν ἁγίων ἀγγέλων.* — lin. 5. et 6. a fine: *ὑπὸ τῶν ἁγίων ἀγγέλων.*

— 34. lin. 4. *ἔνθα μὴ λέλεκται.* — lin. 8. et 9. *ἐκ μέσων τῶν δικαίων.* — lin. 10. et 11. *καὶ ἀδυνάτων ἐπιθυμεῖν.* — lin. 12. *ἐκ μέσων τῶν δικαίων.* — lin. 13. *ἐπὶ τούτῳ ἐξαποστελλομένων.* — lin. 3. a fine: *εὑρεθῆναι.*

— 35. lin. 4. et 5. *βληθῆναι. καὶ οὕτω μὲν ἰχθῦς φαῦλοι.* — lin. 8. *ἐπὶ τούτοις φθάσῃ.* — lin. 10. *ὁ οἶκος τοῦ Ἰσραὴλ ἀναμεμιγμένοι.* — lin. 8. a fine: *ἀλλὰ ἅπαξ.* — lin. 5. a fine: *ποιεῖ, ὅπου γὰρ καὶ ὁ τῶν ἀγγέλων θεὸς τροποφορῶν κτλ.*

— 36. lin. 1. *ἀλλ' ἀποφαντικῶς.* — lin. 2. et 3. *τὴν ἀπόφασιν, λέγουσιν αὐτῷ· ναί.* — lin. 10. *τὴν τοῦ πέτρου παρουσίαν* pro *τὴν Πέτρου παῤῥησίαν.* — lin. 14. et 15. *ἀγράμματοι λέγονται* pro *ἀγράμματοι ἐν ταῖς Πράξεσι λέγονται.*

— 37. lin. 2. et 3. *ἐκδικούντων τῷ χρηματίζειν.* — lin. 5. *πλὴν τοῦ γραμματέως.* — lin. 7. et 8 *ἔσται καὶ ὁ εὐαγγελικὸς, καὶ ὥσπερ ὁ τὸν νόμον.* — lin. 11. a fine: *ὀνομαζόμενα βασιλεία.* — lin. 9. et 10. a fine: *διανόημα ἐπιτυγχάνομεν.* — lin. 8. a fine: *νοῆσαι βασιλείαν οὐρανῶν.* — lin. 2. a fine: *μαθητεύωνται.*

— 38. lin. 4. et 5. *ἐγγύς τις γένηται.* — lin. 8. *δῆλον ὅτι.* — lin. 8. a fine: *παρὰ τῆς καινῆς.* — lin. 1. et 2. a fine: *παθῶν ἅψεσθαι.*

Pag. 39. lin. 7. et 8. a fine: καὶ λησταὶ καὶ διορύσσειν.

— 40. lin. 1—4. ὅστις προφέρει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιὰ, δηλονότι καὶ κατὰ τὴν τῆς προτάσεως ἀντιστροφὴν, πᾶς ὅστις μὴ προφέρει ἐκ τοῦ θησαυροῦ κτλ. — lin. 8. νόμῳ τοῦ κυρίου. — lin. 1. a fine: ἐπεὶ ὁ ὁμοιούμενός τινι.

— 41. lin. 2. ἔσται μὲν ὁ μαθητευθεὶς τῇ. — lin. 9. διδασκαλίας. — lin. 11. καὶ ἀεὶ ἀνακαινουμένων. — lin. 15. πλουτήσῃ. — lin. 10. et 11. a fine: καὶ αὐτὸν χριστὸν κατὰ τὸ εἰρημένον.

— 42. lin. 3. et 4. καὶ τούτων τῶν παλαιῶν. — lin. 4. a fine: πότερον ἐκεῖνα ταῦτα ἀθετητέον. — lin. 2. a fine: ἢ ὁμώνυμον τὸ τῆς.

— 43. lin. 2. et 3. ὁμοιώσεων ἀνακτέον. — lin. 7. et 8. ἤτοι τό· καὶ ἐγένετο. — lin. 12. παραβολὰς, ἃς ὠνομάσαμεν. — lin. 13. πατρίδος αὐτοῦ. — lin. 13. et 14. ἃς ὅτε ἔλεγε. — lin. 9. a fine: ὁ μάρκος pro καὶ ὁ Μάρκος. — lin. 7. a fine: ζητητέον δὲ καὶ — λέξιν.

— 44. lin. 1. ὅλης τῆς γαλιλαίας pro ὅλης τῆς Ἰουδαίας. — lin. 3. καὶ ἐάν τις κατανοήσῃ. — lin. 6. πιστευόμενον. — lin. 8. a fine: καὶ εἰκότως ὅτι. — lin. 3. a fine: πλείων σολομῶντος. — lin. 2. a fine: ἐν ἠλίᾳ.

— 45. lin. 6. οὐχὶ ἡ μήτηρ.

— 46. lin. 3. ἐπελεύσεται. — lin. 9. εὔφημον ἄλλη. — lin. 14. ἐν τῷ ναῷ. — lin. 15. φλαύιον. — lin. 9. a fine: καταστραφῆναι. — lin. 5. a fine: οὐ καταδεξάμενον. — lin. 4. a fine: ἐμαρτύρησε τοιαύτην.

— 47. lin. 3. ἡμεῖς οὐδὲν ἱστορήσαμεν. — lin. 7. et

8. *μήποτε ἐμφαίνεται.* — lin. 9. *καὶ μὴ ὄντα* pro *υἱὸν μὲν ὄντα.* — lin. 15. *γράμματα οἶδε.*

Inde a verbis: *ἐκ παιδεύσεως* (cfr. p. 47. lin. 12. et 13.) alia manu scriptus est Codex.

Pag. 48. lin. 3. *ἐν θεσβῶν.* — lin. 4. *ἐν ἐλεβαλμαουλᾷ.* — lin. 4. a fine: *ἀτιμάζονται οἱ προφῆται.*

— 49. lin. 7. a fine: *τοῖς ἐν τῆς πρὸς ἑβραίους* male pro *τοῖς ἐν τῇ πρὸς Ἑβραίοις.* — lin. 1. a fine: *γραφῇ οὐ φερομένῃ.*

— 50. lin. 5. et 6. a fine: *ἀπεληλύθησαν εἰς τὰ ἔθνη. πρόσχες εἰ δύνασαι.*

— 51. lin. 2. *καὶ προφητεύσαντες.* — lin. 12. et 13. *ἐκ τοῦ ταυτὰ πεπονθέναι.* — lin. 1. a fine: *ἀλλ' οὐκ ἠδύνατο.*

— 52. lin. 4. *διατί* pro *διὰ τί.* — lin. 5. et 6. *ἀρξάμενον πέτρον καταποντίζεσθαι.* — lin. 10. *καὶ ὁμολογεῖ τὸν τρόπον.*

— 53. lin. 6. *εἰς τοῦτο συνεργήσῃ· μᾶλλον.* — lin. 11. *ἐν τῷ προστάξαι· βλαστησάτω.*

Verba ead. pag. lin. 3. et 4. a fine obvia: *ἡ τέλειος τῇ σωφροσύνῃ, ὡς ἐν υἱοῖς ἀνθρώπων, τῆς ἀπὸ σοῦ σωφροσύνης ἀπούσης, εἰς οὐδὲν λογισθήσεται,* desunt in Codice.

— 54. lin. 7. et 8. *τοῖς παισὶν αὐτοῦ.* — lin. 8. et 9. *καὶ παρὰ τῷ μάρκῳ δὲ οὕτως.* — lin. 10. *εἶχον Ἰουδαῖοι περὶ τῶν πραγμάτων* pro *εἶχον οἱ Ἰουδαῖοι.* — lin. 7. et 8. a fine: *ἣν ἐφρόνει ὁ Ἡρώδης.* — lin. 4. et 5. a fine: *καὶ ἣν αὐτὸς ἑτέρῳ.*

— 55. lin. 10. *ἠγνόουν αὐτὸν υἱὸν τυγχάνειν.* — lin. 12. *ἐν τῷ λαῷ.* — lin. 13. *ποίαν δὲ ἔχει πιθανότητα.* — lin. 13. a fine: *εἷς καὶ ὁ αὐτὸς ὢν Ἰωάννης.* — lin. 5. et 6. a fine: *οὐ πλείων μηνῶν.*

— lin. 2. et 3. a fine: *μετέστησαν ἐπὶ τὸν Ἰησοῦν, ἀφ' ὧν Ἰωάννης ὁ βαπτιστὴς εἶναι.*

Pag. 56. lin. 3. et 4. a fine: *ἐπεὶ δὲ πρῶτον μὲν ἐμάθομεν.*

— 57. lin. 1. *τὰ περὶ Ἰησοῦ.* — lin. 1. a fine: *ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται.*

— 58. lin. 4. *κωλύηται ὑπὸ Ἰουδαίων.* — lin. 6. *νόμον γίνεσθαι.* — lin. 10. *Ἰτουραίας.*

— 59. lin. 5. *καὶ ὁ μὲν ἡρώδης κρατήσας.* — lin. 7. *τὸν προφητικὸν λόγον καὶ ἀνελεῖν* pro *καὶ τὸν προφ. λόγ. ἀνελεῖν.* — lin. 12. *αἴτιος γεγένηται.* — lin. 8. a fine: *ηὐλίσαμεν.*

— 60. lin. 1. *γενέθλιον ἀγομένην.* — lin. 6. *τί ἐξεληλύθατε ἰδεῖν; προφήτην; ναὶ λέγω ὑμῖν.* — lin. 9. et 10. a fine: *ἀντὶ ὄψου προσαγομένη.* — lin. 8. a fine: *τὸ κεφάλαιον τῆς προφητείας.* — lin. 6. et 7. a fine: *δι' ὅρκους.*

— 61. lin. 6. *ὡς οὐδὲ ἡ τοῦ ἡρώδου.* — lin. 12. *τῷ Ἰησοῦ ἐπίστευον ἄν, οὕτως.*

— 62. lin. 1. et 2. *ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κτλ.* — lin. 6. *τὸ δὲ δυνάμενον ἔξω εἶναι.* — lin. 12. et 13. *εἰς ἡμᾶς πειρασμὸν ἀναγκαῖον.* — lin. 14. *ἐκλίνειν* falso pro *ἐκκλίνειν.* — lin. 9. a fine: *κενῶν κινήσεων γεγενημένων.* — lin. 8. a fine: *ἀρύθμων* pro *ἀῤῥύθμων.*

— 63. lin. 12. *ὄχλοι ἀκούοντες.* — lin. 15. *παραλελοιπέναι τὰ πάτρια.* — lin. 1. a fine: *ἐλεεῖσθαι.*

— 64. lin. 2. *ὁ ἀπαθὴς τῷ σπλαγχνισθῆναι.* — lin. 6. *ποῖά ἐστι τῆς ψυχῆς.* — lin. 12. *οὕτω γάρ ἐστιν ἰδεῖν.* — lin. 2. a fine: *συνδέσμου πλέκοντος.* — lin. 1. a fine: *συμπεπλεγμένα ποιοῦντος.*

— 65. lin. 14. *κυριότητα δὲ ἀθετοῦσι.* (Cfr. ep. Judae vers. 8.)

— 66. lin. 4. a fine: *ὡς ἔτυχε δὲ μεταλαμβάνει ἄρτου.*

Atque haec *) quidem hactenus. Satis, opinor, ex hisce jamjam patebit lectionibus, Codicem nostrum Venetum, hic illic licet deformatum, talem esse, cui nomen Codicis jure imponatur meritoque. Quodsi enim singulas lectiones cum recepta non minus quam cum iis, quas notae tibi exhibent, accurate invicem contuleris, mirum quantum quidem Codicem nostrum plerisque in locis cum Codicibus, in notis, quas habet ed. nostra, laudatis conspirare, vel prima statim pagina luculenter te docebit, idem tamen ex altera parte, hunc consensum ita esse comparatum, ut, si Codd. Vaticanum et Regium bis terve exceperis, *singulis* nonnisi *singulorum* Codd. lectionibus hoc modo suffragium feratur, facili opera tibi persuadebis. Quid? quod plura reperiuntur loca, quibus Codex noster lectionem tueatur receptae sine dubio praeferendam.

Atque haec quoque, pauca licet sint, hactenus.

Superest, ut loca nonnulla, Tom. I. ed. nostrae obvia, iterata **) cura pervestigemus.

1) Pag. 1. not. 3. Ruaei interpunctionem Bleekio duce tuearis.

2) Pag. 14. lin. 5. et 6. eod. duce legas: *παρὰ τῷ Ἰωάννῃ ἐν ἀρχῇ, λόγον, θεὸν λόγον.*

3) Pag. 14. lin. 11. legas: *ἀκράτως.*

4) Pag. 20. lin. 9. et 10. a fine sic interpungas: *πολλῶν σωτηρίαν κατ᾽ οἰκονομίαν κτλ.*

---

*) Praesto mihi sunt praeter has lectiones Tom. XI. horum in Ev. Matth. commentariorum inservientes. Quas quidem singulas, ex eodem Cod. Veneto strenuo studio ac plane singulari liberalitate a Petermanno, amico fidelissimo descriptas, una cum Heracleonis verbis, in commentariis Orig. in ev. Joannis nobis servatis, Tomo IV. praefigendas curabimus.

**) Quam quidem curam Bleekium nostrum, Vir. Doct., vel solam in se suscepisse, laeto animo gratoque publice attestari liceat.

5) Pag. 45. lin. 7. a fine sic interpungas: κειμένων, παρεθέμεθα, τοσαῦτα κτλ.
6) Pag. 51. lin. 3. a fine legas: καὶ προόδου τῶν κτλ.
7) Pag. 55. lin. 2. legas: τῶν μαθητῶν, ὑπὸ Ἰησοῦ.
8) — — — 14. Bleekio duce praetulerim: ἀνυπέρθητον.
9) Pag. 56. lin. 6. a fine legas: κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα.
10) Pag. 57. lin. 1. et 2. a fine Bleekius legere mavult: ἐννοίας καὶ προσηγορίας, ὡς χωρὶς μεταλήψεως.
11) Pag. 59. lin. 4. legas: ἐκ τοῦ δι' αὐτοῦ ἐνεργεῖσθαι.
12) Pag. 62. lin. 8. legas: ψαλμῷ ὁ ἠγαπηκὼς κτλ. — lin. 10. κεχρίσθαι τὸ οὕτω κτλ. — lin. deniq. 5. a fine: τεταραγμένην καὶ περίλυκον κτλ.
13) Pag. 63. lin. 8. a fine Huetio duce et Bleekio judice legendum: ἓν ἑαυτὸν πρὸ πάντων κτλ. — lin. 1 a fine eodem duce legas: διὰ τὸ pro οἱ. — In nota deniq. 4. lin. 2. a fine restituas: τὴν — τῶν — ἀμφοτέρων κτλ.
14) Pag. 66. lin. 8. et 9. a fine legas: ζωῆς, (οὐκ ἂν — τῆς ἀμπέλου·) κτλ.
15) Pag. 67. lin. 9. et 10. a fine legas: ἐξείληφε μὲν pro ἐξειλήφαμεν.
16) Pag. 72. lin. 11. a fine legas: ἐπέστρεψεν.
17) Pag. 81. lin. 4. a fine legas: καὶ τοῦ ἀνθεῖν ἐπὶ τῶν κτλ.
18) Pag. 82. lin. 5. legas: ἐπὶ θεμελίῳ, ἑτέροις κτλ.
19) Pag. 83. lin. 4. et 5. a fine legas: ἐξεταζέσθω· πῶς δὲ — ἐλήλυθε; πάντες κτλ.
20) Pag. 84. lin. 2. a fine legas: παρὰ τὸ ἀπαγγέλλειν — πατρὸς, ἐκείνου ἀνάλογον κτλ.
21) Pag. 86. lin. 10. a fine legas: θεοῦ; Καὶ ταῦτα κτλ.
22) Pag. 87. lin. 2. a fine Bleekio duce legas: τυγχάνοντας.

23) Pag. 325. lin. 7. a fine legas: *καὶ σώζων, αὐτὸς πραῢς κτλ.*

24) Pag. 326. lin. textus 2. et 3. legas: *δι' ἐκβολὰς γῆς*, in nota aut. 1. deleas verba: Mirum habet —, quae leguntur pag. 337. lin. 10.

Sed jam finem praefandi faciamus necesse est.

Quae restant, loca plurima, suo singula tempore pro viribus pertractabimus.

Scribebam Vitebergae die XIV. mensis Decembris a. MDCCCXXXIII.

Eduardus Lommatzsch.

ΩΡΙΓΕΝΟΥΣ
ΤΑ ΕΙΣ ΤΟ ΚΑΤΑ
ΜΑΤΘΑΙΟΝ
ΕΥΑΓΓΕΛΙΟΝ
ΕΞΗΓΗΤΙΚΑ.

ΕΚ ΤΟΥ ΠΡΩΤΟΥ ΤΟΜΟΥ ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ.

Ὡς [1]) ἐν παραδόσει μαθὼν περὶ τῶν τεσσάρων εὐαγγελίων, ἃ καὶ μόνα ἀναντίῤῥητά ἐστιν ἐν τῇ ὑπὸ τὸν οὐρανὸν ἐκκλησίᾳ τοῦ θεοῦ· ὅτι πρῶτον μὲν γέγραπται τὸ κατὰ τόν ποτε τελώνην, ὕστερον δὲ ἀπόστολον Ἰησοῦ Χριστοῦ Ματθαῖον, ἐκδεδωκότα αὐτὸ τοῖς ἀπὸ Ἰουδαϊσμοῦ πιστεύσασι, γράμμασιν Ἑβραϊκοῖς συντεταγμένον· δεύτερον δὲ τὸ κατὰ Μάρκον, ὡς Πέτρος ὑφηγήσατο αὐτῷ, ποιήσαντα. Ὃν καὶ υἱὸν ἐν τῇ καθολικῇ ἐπιστολῇ διὰ τούτων ὡμολόγησε φάσκων· „ἀσπάζεται [2]) ὑμᾶς ἡ ἐν Βαβυλῶνι συνεκλεκτὴ, καὶ Μάρκος ὁ υἱός μου.“ Καὶ τρίτον τὸ κατὰ Λουκᾶν, τὸ [3]) ὑπὸ Παύλου

[1]) Hoc fragmentum exhibet Euseb. lib. VI. Hist. Eccles. cap. 25. R. — Cfr. ed. Heinichen. Tom. II. pag. 223. 224. coll. annotatt. 10. et 11.

[2]) I Petr. V, 13.

[3]) H. et R. in textu rectissime: *τὸ ὑπὸ Παύλου κ. τ. λ.* Eandem lectionem Euseb. in Hist. Eccles. (cfr. ed. Heinichen. Tom. II. pag. 224. not. 11.), Millius (cfr. ej.

ἐπαινούμενον εὐαγγέλιον, τοῖς ἀπὸ τῶν ἐθνῶν πεποιηκότα. Ἐπὶ πᾶσι τὸ κατὰ Ἰωάννην.

Nov. Testam. ex ed. Kusteri p. 120.), de Wettius (cfr. ejusd. Lehrbuch d. histor. krit. Einleitung etc. ex ed. II. p. 183.), Schott. (cfr. ej. isagoge etc. p. 101. not. 1.) aliique tuentur. — Parum scite Huet. in notis: „legendum: τὸν ὑπό, si quid sapio; Lucam enim saepe laudat Paulus, ut Coloss. IV, 14., II Tim. IV, 11., Philem. 24. Evangelium autem secundum Lucam nuspiam commendat." Idem ad marg.: „scrib. τὸν ὑπό κ. τ. λ."

ΕΚ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΟΜΟΥ

ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ.

Εἰς τό·

„Μακάριοι[1]) οἱ εἰρηνοποιοί.“

Τούτῳ[2]) δὲ τῷ ἑκατέρως εἰρηνοποιῷ οὐδὲν ἐν τοῖς θείοις λογίοις ἔτι ἐστὶ σκολιὸν, οὐδὲ στραγγαλιῶδες· πάντα γὰρ ἐνώπια τοῖς νοοῦσι. Καὶ ἐπεὶ μηδέν ἐστι τοιούτῳ σκολιὸν, μηδὲ στραγγαλιῶδες, διὰ τοῦτο πλῆθος εἰρήνης βλέπει ἐν ὅλαις ταῖς γραφαῖς, καὶ ταῖς δοκούσαις περιέχειν μάχην καὶ ἐναντιώματα πρὸς ἀλλήλας. Γίνεται δὲ καὶ τρίτος εἰρηνοποιὸς, ὁ τὴν ἄλλοις φαινομένην μάχην τῶν γραφῶν ἀποδεικνὺς εἶναι οὐ μάχην, καὶ παριστὰς τὴν συμφωνίαν καὶ τὴν εἰρήνην τούτων, ἤτοι παλαιῶν πρὸς καινὰς, ἢ νομικῶν πρὸς

[1]) Matth. V, 9.

[2]) Hoc fragmentum exhibet Philocaliae cap. VI. R. — Cfr. ed. Tarini a pag. 78—81., ed. Spencer. pag. 30. et 31. Cui quid. cap. laud. haec est inscriptio: *Ὅτι ἓν ὄργανον Θεοῦ τέλειον καὶ ἡρμοσμένον ἡ θεία* (Tarin. in notis: „uterque Thuani Codex: *πᾶσα ἡ θεία*“) *γραφή*.

προφητικὰς, ἢ εὐαγγελικῶν[1]) *πρὸς ἀποστολικὰς, ἢ ἀποστολικῶν πρὸς ἀποστολικάς. Καὶ γὰρ πᾶσαί εἰσι κατὰ τὸν Ἐκκλησιαστὴν αἱ γραφαὶ* „*λόγοι*[2]) *σοφῶν ὡς βούκεντρα, καὶ ὡς ἧλοι πεφυτευμένοι,*[3]) *οἳ παρὰ τῶν συνθεμάτων*[4]) *ἐδόθησαν ἐκ ποιμένος ἑνὸς,*“ *καὶ οὐδὲν περισσὸν ἐξ αὐτῶν. Εἷς δὲ ποιμὴν τῶν λογικῶν ὁ λό-*

---

[1]) Sic Tarinus, Spencer., H. et R. in textu exhibent. Huet. in notis: „vetus Cod. Holmiensis Philocaliae: *ἢ εὐαγγελικῶν πρὸς εὐαγγελικὰς, ἢ εὐαγγελικῶν πρὸς ἀποστολικὰς, ἢ ἀποστολικῶν πρὸς εὐαγγελικάς.* Alter recentior, quem Holmiae itidem consuluimus, quiq. fuerat Bibliothecae Petavianae: *ἢ εὐαγγελικῶν πρὸς εὐαγγελικὰς, ἢ εὐαγγελικῶν πρὸς ἀποστολικὰς, ἢ ἀποστολικῶν πρὸς ἀποστολικάς.* Tarinus alia edidit, alia vertit.“ — Tarinus in textu nostram, ut diximus, tuetur lectionem, in versione vero haec habet: *legalium cum propheticis, Evangelicarum cum Apostolicis, et Evangelicarum cum Evangelicis.* Equidem (coll. pag. seq. lin. 11. et 12.) recentioris Cod. Holmiensis lectioni totus adstipulor.

[2]) Ecclesiast. XII, 11. LXX. interpretes: *ὡς τὰ βούκεντρα.*

[3]) *πεφυτευμένοι.* Tarin. in notis: „sic Aquila ex Hebr. Commun. ed. *πυρώμενοι*, al. *πεπυρωμένοι*, nam igniti facilius infiguntur, Nazianz. observat; Theodotion *πεπηγότες.*“

[4]) Tarin., Spencer., H. et R. in textu *συνθεμάτων*, H. ad marg.: „scrib. *συνταγμάτων.*“ Tarin. in notis: „„Commun. ed. *συνθημάτων*, al. *συνταγμάτων.* Rem explicat Greg. orat. LV.: *ἐπίσταμαί τε, ὡς ἐπεγείρει ψυχὰς καὶ νύττει οὐχ ἧττον τὰ τῶν σοφῶν παραγγέλματα ἢ διατίθεται σώματα βουκέντρῳ ἢ ἥλῳ ἐμπερονηθέντα.*““

γος, δόξαν μὲν ἐχόντων διαφωνίας τοῖς μὴ ἔχουσιν ὦτα εἰς τὸ ἀκούειν, τὸ δὲ ἀληθὲς συμφωνότατα. Ὡς γὰρ αἱ διάφοροι τοῦ ψαλτηρίου ἢ τῆς κιθάρας χορδαὶ, ὧν ἑκάστη ἴδιόν τινα φθόγγον καὶ δοκοῦντα μὴ ὅμοιον εἶναι τῷ τῆς ἑτέρας ἀποτελεῖ, νομίζονται τῷ ἀμούσῳ καὶ μὴ ἐπισταμένῳ λόγον μουσικῆς συμφωνίας διὰ τὴν ἀνομοιότητα τῶν φθόγγων ἀσύμφωνοι τυγχάνειν· οὕτως οἱ μὴ ἐπιστάμενοι ἀκούειν τῆς τοῦ θεοῦ ἐν ταῖς ἱεραῖς γραφαῖς ἁρμονίας, οἴονται ἀνάρμοστον εἶναι τῇ καινῇ τὴν παλαιὰν, ἢ τῷ νόμῳ τοὺς προφήτας, ἢ τὰ εὐαγγέλια ἀλλήλοις, ἢ τὸν ἀπόστολον τῷ εὐαγγελίῳ, ἢ ἑαυτῷ, ἢ τοῖς ἀποστόλοις. Ἀλλ' ἐλθὼν ὁ πεπαιδευμένος τὴν τοῦ θεοῦ μουσικὴν, σοφός τις ἐν ἔργοις καὶ λόγοις τυγχάνων, καὶ διὰ τοῦτο [1]) χρηματίζων ἂν Δαβὶδ, ὃς ἑρμηνεύεται „ἱκανὸς χειρὶ," ἀποτελέσει φθόγγον μουσικῆς [2]) θεοῦ, ἀπὸ ταύτης μαθὼν ἐν καιρῷ κρούειν χορδὰς, νῦν μὲν νομικὰς, νῦν δὲ συμφώνους αὐταῖς εὐαγγελικάς· καὶ νυνὶ μὲν προφητικὰς, ὅτε δὲ εὔλογον ἀπαιτεῖ, τὰς ὁμοτόνους αὐταῖς ἀποστολικὰς, οὕτω δὲ καὶ ἀποστολικὰς εὐαγγελικαῖς. Ἓν γὰρ τὸ τέλειον οἶδε καὶ ἡρμοσμένον ὄργανον τοῦ θεοῦ εἶναι πᾶσαν τὴν γραφὴν, μίαν ἀποτελοῦν ἐκ διαφόρων φθόγγων σωτήριον τοῖς μανθάνειν ἐθέλουσι φωνὴν, καταπαύουσαν καὶ κωλύουσαν ἐνέργειαν πᾶσαν πονηροῦ πνεύματος, ὡς κατέπαυσεν ἡ Δαβὶδ μουσικὴ τὸ ἐν τῷ

---

[1]) Tarin., Spencer., H. et R. in textu recte: διὰ τοῦτο. Tarin. in notis: „uterque Thuani Codex: διὰ τοῦτον."

[2]) Tarin., Spencer., H. et R. in textu recte: μουσικῆς; Tarin. in notis: „uterque Thuani Codex: μουσικῶν."

Σαοὺλ πονηρὸν πνεῦμα καὶ πνῖγον[1]) *αὐτόν. Ὁρᾷς οὖν καὶ τρίτως εἰρηνοποιὸν τὸν ἑπομένως τῇ γραφῇ βλέποντα τὴν εἰρήνην πάσης αὐτῆς, καὶ ἐμποιοῦντα ταύτην τοῖς ὀρθῶς ζητοῦσι καὶ γνησίως φιλοκρινοῦσιν.*

---

[1]) I Sam. (I Reg.) XVI, 14.

ΩΡΙΓΕΝΟΥΣ [1])

ΤΩΝ [2]) ΕΙΣ ΤΟ ΚΑΤΑ

ΜΑΤΘΑΙΟΝ

ΕΞΗΓΗΤΙΚΩΝ

Τόμος ί. [3])

---

[1]) R. in notis: „Collata sunt Graeca, quae in lucem edidit Huetius, cum quatuor Codd. mss., *uno* Holmiensi, cujus variantes lectiones exhibet idem clarissimus praesul in notis, *uno* Vaticano num. 597., *uno* Collegii sanctae Trinitatis Cantabrigiensis, et *uno*, quem nescio unde propria manu exscripserit Joannes Tarinus, sed qui sane a tribus prioribus diversus est, ut liquebit ex variis lectionibus, quas solus suppeditat. Hoc *ἀπόγραφον*, a Tarini haeredibus pretio emtum, nunc in nostro monasterio asservatur. Idem Tarinus ad marginem sui apographi adscripsit quoque variantes aliorum, quorum nomina tacuit, Codd. lectiones.“

[2]) H. in notis: „Cod. Holmiensis habebat:“ (ed. R.: Codd. Holmiens., Cantabrigiens. et Tarinianus habebant) „*ἐκ τῶν εἰς τό*, perperam, nam haec excerpta non sunt, qualia habentur in Philocalia, quibus ejusmodi praefiguntur tituli; sed pleni et continui Tomi. Certe simile aliquid habet Catalogus Graecus Codicum Origenis Bibliothecae Vaticanae, quem concinnavit Allatius, et mecum communicavit clariss. Bigotius: *ἐκ τῶν εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἐξηγητικῶν τόμοι ί, ιά, ιβ', ιγ'.* Id evenit ex inscitia librariorum.“ R. addit: „„Cod. tamen Vatican. numero 597. solum habet: *Ὠριγένους εἰς τὸ κατὰ Ματθαῖον ἐξηγητικῶν τόμος δέκατος.*““

[3]) H. et R. in textu recte ί, H. tamen ad marg.:

1. „Τότε[1]) ἀφεὶς τοὺς[2]) ὄχλους, ἦλθεν εἰς τὴν οἰκίαν

„scrib. ια'.“ Idem (H. dico) ad lect. ι' haec affert in notis: „Ita habebat Cod. Holmiensis;“ (ed. R.: ita quoq. habent Codd. Holm., Vatic., Tarinian. et Cantabrigiens. prima manu) „sed quum hunc excipiat τόμος ιβ', deinde etiam τόμος ιγ', legendum omnino: τόμος ια'. Erasmus in epistola, quam Origeniano in Matthaeum fragmento a se edito praefixit, et ex Erasmo Sixtus Senensis, scribunt priores X. Tomos expositionum in Matth. desiderari, XI. cum seqq. superesse. Quin etiam Origenis MS. liber bibliothecae ducis Bavariae ab XI. auspicatur.“ (Ed. R. addit: et Cod. Cantabrigiens. secunda manu habet: τόμος ια'.). „Verumtamen Catalogus Origenianorum Codd. bibliothecae Vaticanae Tomos in Matth. X. et XI. recenset. Narrant quoque, qui Gesnerian. bibliothec. in epitomen contraxerunt, Venetiis fuisse apud Diegum Hurtadum horum commentariorum Tomum I. XI. XII., ubi legendum procul dubio: X. XI. Commemorant iidem, in bibliotheca quadam Italica servari X. Tomum operis ejusdem. Qui quidem X. Tom. aliusne sit ac noster hic XI., an secus, viderint, penes quos ille est. Constet (?) modo illud, hunc primum nostrum esse XI., quippe cui XII. et XIII. continua serie subjecti sint.“ — R. verbis, lin. ab hac 4. obviis: „operis ejusdem,“ haec adjungit: „„„Certe in Cod. Vaticano Tom. X. incipit a verbis Matthaei XIII, 36. et pergit usque ad Matth. verba: XIV, 15., a quibus incipit Tomus XI.“““

[1]) Matth. XIII, 36. Ed. Knapp. *οἰκίαν ὁ Ἰησοῦς. Καί κ. τ. λ.*, ed. Lachm. *οἰκίαν. Καί κ. τ. λ.* In seqq. ed. Knapp. *φράσον*, ut h. l. in nostro textu, ed. Lachm. *διασάφησον*. Cfr. ed. nostrae Tom. II. p. 83. lin. 6.

[2]) Ed. H. recte *τοὺς ὄχλους*; in textu ed. R. *τούς* prorsus desideratur, et male quidem, quum eadem ed. in notis haec exhibeat: „*ἀφεὶς τοὺς ὄχλους*. Ita Codd. Vatican. et Tarinianus. In aliis deest articulus *τούς*.“

αὐτοῦ. Καὶ προσῆλθον αὐτῷ[1]) *οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· φράσον ἡμῖν τὴν παραβολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ."* Ὅτε μὲν μετὰ τῶν ὄχλων ἐστὶν ὁ Ἰησοῦς, οὐκ ἔστιν αὐτοῦ ἐν τῇ οἰκίᾳ, ἔξω γὰρ τῆς οἰκίας οἱ ὄχλοι· καὶ τῆς φιλανθρωπίας αὐτοῦ ἔργον ἐστὶ, καταλιπεῖν τὴν οἰκίαν, καὶ ἀπεῖναι[2]) πρὸς τοὺς μὴ δυναμένους ἥκειν πρὸς αὐτόν. Αὐτάρκως[3]) δὲ τοῖς ὄχλοις διαλεχθεὶς ἐν παραβολαῖς, ἀφίησιν αὐτοὺς καὶ ἔρχεται εἰς την ἑαυτοῦ οἰκίαν, ἔνθα προσέρχονται αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, οὐκ ἀπομείναντες μετὰ τῶν ἀφεθέντων ὑπ' αὐτοῦ. Καὶ ὅσοι γε γνησιώτερον ἀκούουσι τοῦ Ἰησοῦ, πρῶτον ἀκολουθοῦσιν αὐτῷ, εἶτα πυνθανόμενοι περὶ τῆς μονῆς αὐτοῦ, ἐπιτρέπονται ἰδεῖν αὐτὴν[4]) καὶ ἐλθόντες ὁρῶσι καὶ παρ' αὐτῷ μένουσι, πάντες μὲν τὴν ἡμέραν ἐκείνην, τάχα[5]) δέ τινες αὐτῶν καὶ ἐπὶ πλεῖον. Καὶ τὰ[6]) τοιαῦτά γε οἶμαι δεδηλῶσθαι ἐν τῷ κατὰ Ἰωάννην εὐ-

---

[1]) Deest *αὐτῷ* in ed. Huet., exstat in ed. R. Hinc R. in notis: „Cod. Vatic. *καὶ προσῆλθον αὐτῷ*. In aliis desideratur *αὐτῷ*."

[2]) H. et R. *ἀπεῖναι*. R. in notis: „Cod. Tarin. *ἀπάραι*."

[3]) R. in notis: „Cod. Tarin. *αὐτάρκως δὲ διαλεχθεὶς τότε τοῖς ὄχλοις*. Cod. Vatic. male: *αὐτάρκως δὲ ἑαυτοῦ τὴν οἰκίαν τοῖς ὄχλοις διαλεχθείς*. Paulo post Cod. Tarin. *καὶ ἔρχεται εἰς τὴν αὐτοῦ οἰκίαν*."

[4]) H. *αὐτόν*, R. in textu *αὐτήν*, in notis: „Erasmus legit *αὐτόν*." — Cfr. pag. 10. lin. 3. et 4. et pag. 11. lin. 1. sqq.

[5]) H. et R. in textu nostram lectionem exhibent, R. in notis: „Cod. Tarin. *τάχα δέ τινες καὶ ἐπὶ πλεῖον*, sicque Cod. Vaticanus."

[6]) Deest *τά* in ed. H., exstat in ed. R., ubi haec in notis leguntur: „solus Cod. Tarinian. *καὶ τὰ τοιαῦτά γε*. In aliis deest *τά*."

ἀγγελίῳ διὰ [1]) τούτων· „τῇ ἐπαύριον [2]) πάλιν εἱστήκει ὁ Ἰωάννης καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο.“ Ἔτι εἰς παράστασιν τοῦ, ὅτι τῶν ἐπιτραπέντων σὺν τῷ Ἰησοῦ πορεύεσθαι καὶ ἰδεῖν αὐτοῦ τὴν οἰκίαν ὁ διαφέρων καὶ ἀπόστολος γίνεται, ἐπιφέρεται τούτοις· „ἦν [3]) Ἀνδρέας [4]) ὁ ἀδελφὸς Σίμωνος Πέτρου, εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων ὑπὸ Ἰωάννου, καὶ ἀκολουθησάντων αὐτῷ.“ Καὶ ἡμεῖς οὖν εἴπερ βουλόμεθα μὴ ὡς ὄχλοι ἀκούειν τοῦ Ἰησοῦ, οὓς ἀφίησι, καὶ ἔρχεται [5]) εἰς τὴν οἰκίαν, ἐξαίρετόν τι παρὰ τοὺς ὄχλους ἀναλαμβάνοντες οἰκειωθῶμεν τῷ Ἰησοῦ, ἵν', ὡς [6]) μαθηταὶ αὐτοῦ, ἐλθόντι εἰς τὴν οἰκίαν προσέλθωμεν, καὶ προσελθόντες ἀξιώσωμεν [7]) περὶ φράσεως παραβολῆς, εἴτε τῶν ζιζανίων τοῦ ἀγροῦ, εἴθ' ἡστινοσοῦν. Ἵνα δὲ ἀκριβέστερον

---

[1]) H. et R. in textu *διὰ τούτων*, et recte quidem. — R. in notis: „Codd. Vatican. et Tarinian. *περὶ τούτων*; sed praestat lectio *διὰ τούτων*, sicque videtur legisse Erasmus.“

[2]) Ev. Joann. I, 35. Ed. Knapp. *ὁ Ἰωάννης*, ed. Lachm. *Ἰωάννης*.

[3]) Ev. Joann. I, 41. Ab initio ed. Knapp. *ἦν Ἀνδρέας*, ed. Lachm. *ἦν (δὲ) Ἀνδρέας*. In seqq. utriusq. ed. *παρὰ Ἰωάννου*.

[4]) Huet. *Ἀνδρείας*, R. *Ἀνδρέας*.

[5]) H. et R. in textu recte *ἔρχεται*; H. tamen ad marg.: „fortasse scrib. *ἔρχεσθαι*,“ R. in notis: „„Omnes Codd. Mss. *ἔρχεται*. Videtur nihilominus scribendum *ἔρχεσθαι*.““ Cfr. pag. 9. lin. 8.

[6]) H. in textu *ἵνα ὡς κ. τ. λ.*, R. in textu *ἵν' ὡς κ. τ. λ.*, in notis: „Codd. Vatic. et Tarin. *ἵν' ὡς μαθηταὶ αὐτοῦ*.“

[7]) H. et R. in textu recte *ἀξιώσωμεν περὶ φράσεως*, H. insuper in notis: „suspicari quis possit, legendum *ἀξιωθῶμεν περιφράσεως*. Sed editae lectioni omnino adhaerendum est.“ Cfr. pag. 9. lin. 2., pag. 13. lin. 3. a fine et pag. 14. lin. 1.

νοηθῇ, τίνος παραστατικόν ἐστι πράγματος ἡ τοῦ Ἰησοῦ οἰκία, συναγαγέτω τις ἀπὸ τῶν εὐαγγελίων ὅσα περὶ τῆς οἰκίας Ἰησοῦ εἴρηται, καὶ τίνα ἐν αὐτῇ λελάληται, ἢ πέπρακται αὐτῷ· ἐπὶ γὰρ τὸ αὐτὸ συναχθέντα[1]) πάντα πείσει τὸν προσέχοντα ταύτῃ τῇ ἀναγνώσει, ὅτι οὐχ ἁπλῶς, ὡς οἴονταί τινες, ἔστι μόνον τὰ τοῦ εὐαγγελίου γράμματα,[2]) ἀλλὰ τοῖς μὲν ἁπλοῖς, κατ' οἰκονομίαν, ὡς ἁπλᾶ[3]) γεγένηται, τοῖς δὲ ὀξύτερον ἀκούειν αὐτῶν βουλομένοις καὶ δυναμένοις ἐγκέκρυπται σοφὰ καὶ ἄξια λόγου θεοῦ πράγματα.

2. „Μετὰ[4]) ταῦτα ἀποκριθεὶς εἶπεν[5]) αὐτοῖς· ὁ σπείρων τὸ καλὸν σπέρμα, ἔστιν ὁ υἱὸς τοῦ ἀνθρώπου.“ Περὶ ὧν εἰ καὶ κατὰ τὸ δυνατὸν ἡμῖν ἐν τοῖς πρὸ τούτων διειλήφαμεν, οὐδὲν ἧττον καὶ νῦν λελέξεται τὰ δυνάμενα ἐκείνοις προσαρμόσαι,[6]) εἰ καὶ καθ' ἑτέραν διήγησιν ἔχει λόγον. Καὶ πρόσχες γε, εἰ δύνασαι τὸ καλὸν σπέρμα τοὺς υἱοὺς τῆς βασιλείας πρὸς τοῖς προσαποδεδομένοις καὶ ἑτέρως λαβεῖν, ὅτι ὅσα ἐν τῇ ἀνθρωπίνῃ φύεται ψυχῇ καλά, ταῦτα ὑπὸ τοῦ[7]) ἐν ἀρχῇ

---

[1]) R. in notis: „ita Codd. Vatican. et Tarin. Alii (item ed. II.) ἐπισυναχθέντα ταῦτα. Mox Tarin. ταύτῃ τῇδε ἀναγνώσει.“

[2]) R. in notis: „Erasm. videtur legisse γεγραμμένα.“

[3]) R. in notis: „Cod. Vatican. ὡς ἁπλῶς κ. τ. λ.“

[4]) Matth. XIII, 37. Ed. Knapp. ὁ δὲ ἀποκρ. εἶπ. αὐτοῖς, ed. Lachm. ὁ δὲ ἀποκρ. εἶπεν.

[5]) H. et R. in textu: εἶπεν ἀπὸ τοῦ, H. in notis: „ita Cod. Holm.,“ (R. affert: ita omnes Codd. Mss.) „ita et Erasm. legit, ut apparet ex ipsius interpretatione; quod quia sensu caret, ipsa Matth. vox reponenda est: ἀποκριθεὶς εἶπεν αὐτοῖς.“ Idem ad marg.: „scrib. αὐτοῖς.“

[6]) R. προσαρμόσαι, H. προσαρμῶσαι.

[7]) ὑπὸ τοῦ — τυγχάνοντα. Ita hunc locum, in ed. Huet. mancum et luxatum, sanitati restituunt Codd. Cantabrig., Vatic. et Tarinianus. R. — Huet. in textu: ὑπὸ

πρὸς τὸν Θεὸν Λόγου θεοῦ γεννήματα ἔσπαρται τυγχάνοντα τῆς τοῦ θεοῦ βασιλείας, ὡς εἶναι τοὺς περὶ ἑκάστου ὑγιεῖς λόγους τοὺς υἱοὺς τῆς βασιλείας. Κοιμωμένων δὲ τῶν μὴ κατὰ τὴν ἐντολὴν τοῦ Ἰησοῦ[1]) *πραττόντων, λέγοντος· „γρηγορεῖτε*[2]) *καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν"* ὁ *διάβολος ἐπιτηρῶν ἐπισπείρει τὰ καλούμενα ζιζάνια, τὰ μοχθηρὰ δόγματα, ταῖς καλουμέναις ὑπό τινων φυσικαῖς ἐννοίαις, καὶ σπέρμασι καλοῖς τοῖς ἀπὸ τοῦ Λόγου. Κατὰ δὲ τοῦτο ἀγρὸς καὶ ὁ κόσμος πᾶς λέγοιτο ἄν, καὶ οὐ μόνον ἡ ἐκκλησία τοῦ θεοῦ· ἐν γὰρ παντὶ κόσμῳ ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ἔσπειρε τὸ καλὸν σπέρμα, ὁ δὲ πονηρὸς τὰ ζιζάνια, ἅπερ εἰσὶν οἱ μοχθηροὶ λόγοι, οἱ ἀπὸ κακίας υἱοὶ τοῦ πονηροῦ. Δεήσει δὲ γενέσθαι ἐπὶ τέλει τῶν πραγμάτων,*[3]) *ὃς*[4]) *καλεῖται συντέλεια τοῦ αἰῶνος, θερισμόν, ἵνα οἱ ἐπὶ τούτῳ τεταγμένοι ἄγγελοι τοῦ*

---

*τοῦ ἐν ἀρχῇ πρὸς τὸν * λόγον * γεννήματα τυγχάνοντα τῆς κ. τ. λ.*, in notis: „recentiori manu adscriptum erat ad oram: *πρὸς τὸν Θεὸν λόγου υἱὸς γεννήματα.* Legendum fortasse: *πρὸς τὸν Θεὸν λόγου γεγεννημένα ἐστὶ, γεννήματα κ. τ. λ.*, vel quid simile. Vertit Erasmus: *haec a Verbo, quod in principio erat apud Deum, condita sunt, quum sint germina regni Dei.*"

[1]) H. ad marg., R. in textu *Ἰησοῦ;* H. in notis: „Cod. Holm. *υἱοῦ* pro *ἰῦ*, hoc est *Ἰησοῦ*, quod verum est." R. in notis: „„Recte Codd. Vatican., Cantabrig., Tarin. *Ἰησοῦ*. Alias *υἱοῦ* male.""

[2]) Matth. XXVI, 41. coll. Marc. XIV, 38. et Luc. XXII, 40. 46.

[3]) H. et R. in textu recte *πραγμάτων*, R. in notis: „Tarinus existimabat legendum *σπερμάτων.*"

[4]) H. et R. in textu recte *ὃς καλεῖται*, iidem tamen, H. ad marg. atq. in notis, R. in notis: „lege *ὃ καλεῖται*, referri enim debet ad *τέλος*, non ad *θερισμόν.*" Cfr. Matth. XIII, 39.

θεοῦ ἀναλέξωνται τὰ προσπεφυκότα τῇ ψυχῇ φαῦλα δόγματα, καὶ παραδώσωσιν [1]) αὐτὰ εἰς ἀνάλωσιν τῷ λεγομένῳ καίειν πυρὶ, ἀνατρέποντες αὐτά. Καὶ οὕτω συλλέξουσιν [2]) οἱ τοῦ Λόγου ἄγγελοι καὶ ὑπηρέται ἐκ πάσης τῆς τοῦ Χριστοῦ βασιλείας πάντα τὰ ἐνυπάρχοντα ταῖς ψυχαῖς σκάνδαλα, καὶ τοὺς τὴν ἀνομίαν ποιοῦντας λογισμοὺς, οὕστινας ἀναλίσκοντες βαλοῦσιν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην, ἔνθα καὶ οἱ συναισθηθέντες ἑαυτῶν [3]) διὰ τὸ κοιμᾶσθαι τὰ σπέρματα τοῦ πονηροῦ ἐν ἑαυτοῖς εἰληφέναι κλαύσονται, καὶ ὡσπερεὶ ἑαυτοῖς θυμωθήσονται· τοῦτο γὰρ „ὁ βρυγμὸς [4]) τῶν ὀδόντων." Διὸ καὶ ἐν τοῖς ψαλμοῖς τό· „ἔβρυξαν [5]) ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν" λέλεκται. Τότε μάλιστα οἱ δίκαιοι λάμψουσιν, οὐκέτι διαφόρως, ὡς κατὰ τὰς ἀρχὰς, ἀλλὰ πάντες ὡς εἷς ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν. Ὡς μυστήριον γοῦν δηλῶν ὁ Σωτὴρ, τάχα μὲν καὶ διὰ πάντων τῶν ἐν τῇ φράσει [6]) τῆς παραβολῆς, τάχα δὲ μάλιστα διὰ τοῦ· „τότε [7]) οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν" ἐπιφέρει· „ὁ ἔχων [8]) ὦτα ἀκούειν,

---

[1]) R. in textu, H. ad marg. recte παραδώσωσιν, R. in notis: „ita recte Codd. Vatic. et Tarinianus. Editio Huetii (in textu) παραδώσουσιν."

[2]) Matth. XIII, 41. 42.

[3]) H. et R. in textu ἑαυτῶν, R. tamen in notis non absque causa: „forte legendum ἑαυτοῖς."

[4]) Matth. VIII, 12. XIII, 42. XXII, 13.

[5]) Psalm. XXXV, 16. (XXXIV.).

[6]) Cfr. pag. 10. not. 7.

[7]) Matth. XIII, 43. Edd. N. T. ἐκλάμψουσιν pro λάμψουσιν. In fine ed. Lachm., ut in nostro textu, αὐτῶν, ed. Knapp. αὐτῶν.

[8]) Matth. XIII, 43. Ed. Knapp., ut in nostro textu, ἀκούειν ἀκουέτω, in ed. Lachm. ἀκούειν deest.

ἀκουέτω·“ διδάσκων[1]) τοὺς οἰομένους, ἐν τῇ φράσει τῆς παραβολῆς σαφέστατα αὐτὴν ἐκτεθεῖσθαι, ὡς καὶ ἐν τοῖς τυχοῦσι δύνασθαι νοηθῆναι αὐτὴν, ὅτι καὶ αὐτὰ, τὰ τῆς διηγήσεως τῆς παραβολῆς, δεῖται[2]) σαφηνείας.

3. Ἀλλ' ἐπεὶ ἀνωτέρω ἐφάσκομεν εἰς τό· „τότε[3]) οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος·“ ὅτι οὐχ, ὡς τὸ πρότερον, διαφόρως λάμψουσιν οἱ δίκαιοι, ἀλλ' ἔσονται οἱ πάντες ὡς εἷς ἥλιος, ἀναγκαίως ἐκθησόμεθα τὸ φανὲν ἡμῖν εἰς τὸν τόπον. Ἔοικεν ὁ Δανιὴλ, φῶς τοῦ κόσμου ἐπιστάμενος τοὺς συνιέντας, καὶ τοὺς πολλοὺς τῶν δικαίων, διαφέροντας τῇ δόξῃ, εἰρηκέναι τό· „καὶ οἱ συνιέντες[4]) ἐκλάμψουσιν ὡς ἡ λαμπρότης τοῦ στερεώματος, καὶ ἀπὸ τῶν δικαίων τῶν πολλῶν ὡς οἱ ἀστέρες εἰς τοὺς[5]) αἰῶνας, καὶ ἔτι.“ Καὶ ὁ[6]) ἀπόστολος δὲ ἐν τῷ· „ἄλλη[7]) δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. Οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν·“ τὰ αὐτὰ λέγει τῷ Δανιὴλ, τὸν νοῦν ἀπὸ τῆς προφητείας αὐτοῦ τοῦτον λαβών. Ζητήσαι οὖν ἂν[8]) τις, πῶς οἱ μὲν

---

[1]) H. et R. ut nos, in textu rectissime διδάσκων — ἐν τοῖς τυχοῦσι; R. in notis: „verba τοὺς οἰομένους desiderantur in Cod. Vatic. et ἀπογράφῳ Tariniano. Mox pro, ἐν τῇ φράσει, Tarin. suspicabatur legendum ἐν τῇ ἐκφράσει; et paulo post pro, ὡς καὶ ἐν τοῖς τυχοῦσι, scribi volebat, ὡς καὶ τοῖς τυχοῦσι.“

[2]) H. et R. in textu recte δεῖται σαφηνείας; R. in notis: „in Cod. Vatic. et ἀπογράφῳ Tariniano additur οὐ ante δεῖται.“

[3]) Matth. XIII, 43. coll. pag. 13. not. 7.

[4]) Dan. XII, 3. LXX. interpretes: λάμψουσιν.

[5]) H. et R. εἰς τοὺς αἰῶνας. Καὶ ἔτι καί κ. τ. λ.

[6]) Deest ὁ in ed. Huetii.

[7]) I Cor. XV, 41. 42. Ed. Knapp. οὕτω, ed. Lachm. οὕτως.

[8]) In Codd. Reg. et Holm. (it. in ed. Huet.) deest ἄν, quod ex aliis Manuscriptis restituimus. R.

περὶ διαφορᾶς τοῦ ἐν τοῖς δικαίοις λέγουσι φωτὸς, ὁ δὲ Σωτὴρ τοὐναντίον· „ὡς εἷς ἥλιος λάμψουσιν." Ὑπολαμβάνω οὖν, ὅτι παρὰ μὲν τὴν ἀρχὴν τῶν ἐν τοῖς σωζομένοις μακαρισμῶν, ὅτι οὐδέπω ἐκαθάρθησαν[1]) οἱ μὴ τοιοῦτοι, τὰ τῆς διαφορᾶς γίνεται τοῦ τῶν σωζομένων φωτός· ἐπὰν δὲ, ὡς ἀποδεδώκαμεν, συλλεγῇ ἀπὸ τῆς βασιλείας ὅλης Χριστοῦ πάντα τὰ σκάνδαλα, καὶ οἱ ποιοῦντες τὴν ἀνομίαν λογισμοὶ βληθῶσιν εἰς τὴν κάμινον τοῦ πυρὸς, καὶ καταναλωθῇ τὰ χείρονα, καὶ τούτων γινομένων εἰς συναίσθησιν ἔλθωσιν οἱ παραδεξάμενοι τοὺς υἱοὺς τοῦ πονηροῦ λόγους, τότε ἓν γενόμενοι ἡλιακὸν φῶς οἱ δίκαιοι λάμψουσιν ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν. Τίνι[2]) δὲ λάμψουσιν, ἢ τοῖς ὑποδεεστέροις, ἀπολαύσουσι τοῦ φωτὸς αὐτῶν, ἀνάλογον τῷ νῦν λάμπειν τὸν ἥλιον τοῖς ἐπὶ γῆς; οὐ γὰρ δήπου ἑαυτοῖς λάμψουσι. Μήποτε δὲ καὶ τό· „λαμψάτω[3]) τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων·" ἀπογράψασθαι δυνατόν ἐστιν ἐπὶ τὸ πλάτος[4]) τῆς καρδίας, κατὰ τὸ εἰρημένον τῷ Σολομῶντι, τριχῶς, ὥστε καὶ νῦν λάμπειν τὸ φῶς τῶν Ἰησοῦ μαθητῶν ἔμπροσθεν τῶν λοιπῶν ἀνθρώπων, καὶ μετὰ τὴν ἔξοδον πρὸ τῆς ἀναστάσεως, καὶ μετὰ τὴν ἀνάστασιν, ἕως ἂν καταντήσωσιν οἱ πάντες εἰς ἄνδρα τέλειον, καὶ γένωνται πάντες εἷς ἥλιος· τότε λάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν.

---

1) Cod. Vatic. ἐκαθαρίσθησαν. R.

2) H. et R., ut nos, in textu recte: τίνι — αὐτῶν; R. in notis: „Tarinus h. l. putat legendum: τίνι δὲ λάμψουσιν ἢ τοῖς ὑποδεέστερον ἀπολαύσουσι τ. φ. αὐτῶν."

3) Matth. V, 16. — R. in notis: „in Cod. Cantabrig. et ἀπογράφῳ Tarin. legitur λαμψ. τὸ φῶς ἡμῶν."

4) Prov. III, 3. IV, 3.

Περὶ τῆς παραβολῆς τοῦ θησαυροῦ τοῦ κεκρυμμένου ἐν τῷ ἀγρῷ.

4. „*Πάλιν*[1]) *ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ, ὃν εὑρὼν ἄνθρωπος ἔκρυψε.*“ *Τὰς μὲν προτέρας παραβολὰς τοῖς ὄχλοις εἶπε· ταύτην δὲ, καὶ τὰς ἑξῆς αὐτῆς δύο, οὐ παραβολὰς, ἀλλ' ὁμοιώσεις πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν τυγχανούσας, ἔοικεν ἐν τῇ οἰκίᾳ γενόμενος πρὸς τοὺς μαθητὰς εἰρηκέναι· περὶ ἧς ὁ προσέχων τῇ ἀναγνώσει ἐξεταζέτω, καὶ τῶν ἑξῆς δύο, μήποτε οὐδὲ παραβολαί εἰσιν. Ἐπ' ἐκείνων μὲν γὰρ οὐκ ὤκνησεν ἡ γραφὴ καθ' ἑκάστην προτάσσειν τὸ ὄνομα τῆς παραβολῆς· ἐπὶ δὲ τούτων τὸ αὐτὸ οὐ πεποίηκε. Καὶ εἰκότως γε τοῦτο πεποίηκεν. Εἰ γὰρ τοῖς ὄχλοις ἐλάλησεν ἐν παραβολαῖς, καὶ ταῦτα*[2]) *πάντα ἐλάλησεν ἐν παραβολαῖς, καὶ χωρὶς παραβολῆς οὐκ*[3]) *ἐλάλει*[4]) *αὐτοῖς, οὐ τοῖς ὄχλοις δὲ, ἐλθὼν εἰς τὴν οἰκίαν, διαλέγεται, ἀλλὰ τοῖς προσελθοῦσιν αὐτῷ μαθηταῖς ἐν αὐτῇ, δῆλον ὅτι*[5]) *οὐκ εἰσὶ παραβολαὶ τὰ ἐν τῇ οἰκίᾳ λελαλημένα· τοῖς γὰρ ἔξω ἐν παραβολαῖς λαλεῖ, καὶ οἷς οὐ δέδοται γνῶναι*[6]) *τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν. Φήσει τις οὖν, εἰ μή εἰσιν αὗται παραβολαὶ, τί εἰσιν; Μήποτε οὖν τῇ λέξει τῆς γραφῆς ἀκολουθοῦντες φήσομεν, ὅτι ὁμοιότητές εἰσι; Διαφέρει δὲ ὁμοιότης παραβολῆς· γέγραπται*

---

[1]) Matth. XIII, 44. Ed. Knapp. *πάλιν ὁμοία κτλ.*, in ed. Lachm. deest *πάλιν.*

[2]) Matth. XIII, 34.

[3]) Erasmus praetermisit voc. *οὐκ.* H. et R. in notis.

[4]) Cod. Reg. habet: *οὐκ ἐλάλησεν αὐτοῖς.* H. ad marg., R. in notis.

[5]) H. in textu *δηλονότι*, R. in textu *δῆλον ὅτι κ. τ. λ.* — Uterque, H. ad marg., R. in notis: „Cod. Reg. *δηλῶν ὅτι κ. τ. λ.*“

[6]) Matth. XIII, 11.

γὰρ ἐν τῷ Μάρκῳ· „τίνι[1]) *ὁμοιώσωμεν*[2]) *τὴν βασιλείαν τοῦ θεοῦ, ἢ ἐν τίνι αὐτὴν παραβολῇ θῶμεν;“ ἐκ τούτου γὰρ παρίσταται, διαφορὰν εἶναι ὁμοιώσεως καὶ παραβολῆς.*[3]) *Ἔοικεν οὖν ἡ μὲν ὁμοίωσις εἶναι γενικὴ, ἡ δὲ παραβολὴ εἰδική. Τάχα δὲ καὶ ἡ ὁμοίωσις, γενικωτάτη οὖσα τῆς παραβολῆς, ἔχει ἐν εἴδει, ὥσπερ τὴν παραβολὴν, οὕτω καὶ ὁμώνυμον τῷ γενικῷ τὴν ὁμοίωσιν. Ὅπερ καὶ ἐπὶ τῶν ἄλλων συμβέβηκεν, ὡς τετηρήκασιν οἱ δεινοὶ περὶ τὴν τῶν πολλῶν ὀνομάτων θέσιν· οἵτινες λέγουσι καὶ γενικωτάτην εἶναι τὴν ὁρμὴν πολλῶν εἰδῶν, ὥσπερ καὶ ἀφορμῆς καὶ ὁρμῆς, ἐν εἴδει λέγοντες ὁμωνύμως*[4]) *τῷ γενικῷ παραλαμβάνεσθαι πρὸς ἀντιδιαστολὴν*[5]) *τῆς ἀφορμῆς τὴν ὁρμήν.*

5. *Καὶ ἐν τούτῳ ζητητέον ἰδίᾳ τὸν ἀγρὸν, καὶ ἰδίᾳ τὸν κεκρυμμένον ἐν αὐτῷ θησαυρὸν, καὶ τίνα τρόπον εὑρὼν τοῦτον*[6]) *κεκρυμμένον τὸν θησαυρὸν ὁ ἄνθρωπος, ἀπὸ τῆς χαρᾶς ἄπεισι, καὶ πωλεῖ ὅσα ἔχει, ἵνα ἀγοράσῃ*[7]) *τὸν ἀγρὸν ἐκεῖνον. Ζητητέον δὲ καὶ, τίνα ἐστὶν, ἃ πωλεῖ.*[8]) *Δοκεῖ δή μοι κατὰ ταῦτα ἀγρὸς μὲν*

---

[1]) Marc. IV, 30. Ed. Knapp. *ἢ ἐν ποίᾳ παραβολῇ παραβάλωμεν αὐτήν*, ed. Lachm. ut in nostro textu.

[2]) H. et R. ut in nostro textu, R. in notis: „Cod. Cantabrig. *ὁμοιώσομεν*, et mox loco *παραβολῇ θῶμεν*, unica voce habet *παραβοληθῶμεν*.“

[3]) H. ad marg., R. in notis: „Cod. Reg. *παραβολῶν*.“

[4]) H. et R. h. l. min. accurate *ὁμονύμως*.

[5]) H. ad marg., R. in notis: „Cod. Reg. *ἂν εἰδικῷ* (pro *ἀντιδιαστολήν*).“

[6]) H. ad marg., R. in notis: „Cod. Reg. *τὸν κεκρυμμένον θησαυρόν*.“ R. addit: „„Cod. Tarini: *τοῦτον τὸν κεκρυμμένον θησαυρόν*.“ “

[7]) H. ad marg., R. in textu recte: *ἀγοράσῃ*; R. in notis: „Cod. Tarini recte *ἀγοράσῃ*, H. in textu *ἀγοράσει*.“

[8]) R. recte in notis: „Huet. *τίνα ἐστὶν ἃ πωλῇ*, sed Cod. Tarini *τίνα ἐστὶν ἃ πωλεῖ*, melius.“

εἶναι ἡ γραφὴ, καταφυτευθεῖσα τοῖς φανεροῖς τῶν ῥητῶν τῆς ἱστορίας, καὶ τοῦ νόμου, καὶ τῶν προφητῶν, καὶ τῶν λοιπῶν νοημάτων· πολλὴ γὰρ φυτεία καὶ ποικίλη ἐστὶ καὶ ἡ τῶν ῥητῶν τῆς ὅλης γραφῆς· ὁ δὲ ἐν[1]) *τῷ ἀγρῷ κεκρυμμένος θησαυρὸς, τὰ ἀποκεκρυμμένα καὶ ὑποκείμενα τοῖς φανεροῖς νοήματα τῆς σοφίας ἐν μυστηρίῳ ἀποκεκρυμμένης, καὶ τῷ Χριστῷ, ἐν ᾧ εἰσιν οἱ θησαυροὶ τῆς σοφίας καὶ γνώσεως*[2]) *ἀπόκρυφοι. Ἄλλος δ' ἂν λέγοι, ἀγρὸν μὲν εἶναι τὸν ἀληθῶς πλήρη, ὃν εὐλόγησε κύριος, τὸν Χριστὸν τοῦ θεοῦ· τὸν δὲ ἐν αὐτῷ κεκρυμμένον θησαυρὸν, τὰ εἰρημένα παρὰ τῷ Παύλῳ κεκρύφθαι ἐν Χριστῷ, λέγοντι περὶ Χριστοῦ τό· „ἐν ᾧ εἰσιν*[3]) *οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι.“ Τὰ οὐράνια τοίνυν πράγματα, καὶ ἡ βασιλεία τῶν οὐρανῶν, ὥσπερ ἐν εἰκόνι γέγραπται ταῖς γραφαῖς, αἵτινές εἰσιν ἡ βασιλεία τῶν οὐρανῶν, ἢ αὐτός ἐστιν ὁ Χριστὸς ὁ βασιλεὺς τῶν αἰώνων, ἡ βασιλεία τῶν οὐρανῶν, ὡμοιωμένη θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ.*

6. *Γενόμενος δὲ κατὰ τὸν τόπον ζητήσεις, πότερον ἡ βασιλεία τῶν οὐρανῶν μόνῳ τῷ θησαυρῷ ὡμοίωται τῷ κεκρυμμένῳ ἐν τῷ*[4]) *ἀγρῷ, ὡς ἄλλον νοεῖν τῆς βα-*

---

[1]) Deest *ἐν* in textu edd. H. et R.; iidem tamen, H. ad marg., R. in notis: „leg. *ἐν τῷ ἀγρῷ.*“

[2]) H. ad marg., R. in notis: „In Cod. Reg. deest *καὶ γνώσεως.*“ Cfr. Coloss. II, 3.

[3]) Coloss. II, 3. Edd. N. T. *πάντες οἱ θησαυροί κ. τ. λ.*; in fine vers. ed. Lachm. *καὶ γνώσεως*, ed. Knapp. *καὶ τῆς γνώσεως.* Cfr. pag. huj. not. 2.

[4]) H. in notis: „ita habebat Regiae bibliothecae Cod., quae lectio verissima est; alioqui sensus non constat. At Erasmus, et Cod. a me ex Holmiensi descriptus haec verba praetermittunt: *ὡς ἄλλον — ἀγρόν· ἢ —— κεκρυμμένῳ ἐν τ. ἀγρῷ.* Ex postremarum scil. harumce

σιλείας τὸν ἀγρόν· ἢ ὅλῳ τούτῳ ὡμοίωται θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ, ὡς τὴν τῶν οὐρανῶν βασιλείαν ἔχειν κατὰ τὴν ὁμοίωσιν καὶ τὸν ἀγρὸν, καὶ τὸν κεκρυμμένον ἐν τῷ ἀγρῷ θησαυρόν. Ἐλθὼν δέ τις ἄνθρωπος εἰς τὸν ἀγρὸν, εἴτε [1]) τὰς γραφὰς, εἴτε τὸν Χριστὸν τὸν ἐκ φανερῶν καὶ κρυπτῶν συνεστηκότα, εὑρίσκει τὸν κεκρυμμένον τῆς σοφίας θησαυρὸν, εἴτε ἐν Χριστῷ, εἴτε ἐν ταῖς γραφαῖς. Ἐμπεριερχόμενος γὰρ τὸν ἀγρὸν, καὶ ἐρευνῶν τὰς γραφὰς, καὶ ζητῶν νοῆσαι τὸν Χριστὸν, εὑρίσκει τὸν ἐν αὐτῷ θησαυρὸν. Καὶ εὑρὼν κρύπτει, οὐκ ἀκίνδυνα εἶναι νομίζων τὰ τῶν γραφῶν ἀπόῤῥητα νοήματα, ἢ τοὺς ἐν Χριστῷ θησαυροὺς σοφίας καὶ γνώσεως ἐκφαίνειν τοῖς τυχοῦσι. Καὶ κρύψας ἄπεισι, πραγματευόμενος πῶς ἀγοράσει [2]) τὸν ἀγρὸν, ἤτοι τὰς γραφὰς, ἵνα ἴδιον κτῆμα αὐτὰς [3]) ποιήσῃ, λαβὼν ἀπὸ τῶν τοῦ θεοῦ τὰ λόγια [4]) τοῦ θεοῦ, ἃ πρῶτον Ἰουδαῖοι ἐπιστεύθησαν. Καὶ ἀγοράσαντος τοῦ μαθητευθέντος Χριστῷ τὸν ἀγρὸν, ἀφαιρεῖται [5]) ἀπ' ἐκείνων ἡ βασιλεία τοῦ θεοῦ, ἥτις ἐστὶ κατ' ἄλλην παραβολὴν ἀμπελὼν, καὶ δίδοται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς, τῷ διὰ τῆς πίστεως ἀγοράσαντι τὸν ἀγρὸν ἐκ τοῦ πεπρακέναι πάντα τὰ ὑπάρχοντα, καὶ μηδὲν τῶν πρότερον ὑπαρχόντων, — κακία δὲ ὑπῆρχεν αὐτῷ —, ἔτι ἔχειν παρ' ἑαυτῷ. Τὸ δὲ αὐτὸ ἐφαρμόσεις, κἂν ἀγρὸς, ὁ ἔχων τὸν κεκρυμμένον θησαυρὸν, ὁ Χριστὸς ᾖ· οἱ γὰρ ἀφέντες πάντα, καὶ ἀκολουθοῦντες αὐτῷ, οἱονεὶ κατ' ἄλλον λόγον πεπράκασι τὰ ὑπάρχοντα αὐτῶν,

---

vocum iteratione practermissio illa contigit; quod peccatum iis frequens est, qui Mss. Codd. exscribunt.“

[1]) Cod. Tarini: εὗρε τὰς γραφάς κ. τ. λ. R.

[2]) Cod. Tarini: ἀγοράσῃ. R.

[3]) Cod. Tarini: αὐτός. R.

[4]) Rom. III, 2.

[5]) Matth. XXI, 43.

ἵνα διὰ τοῦ πεπρακέναι καὶ ἀποδόσθαι ἐκεῖνα, καὶ ἀντ' ἐκείνων καλὴν προαίρεσιν βοηθουμένους αὐτοὺς εἰληφέναι ἀπὸ θεοῦ, ὠνήσωνται τῆς πολλῆς τιμῆς καὶ ἀξίας τοῦ ἀγροῦ τὸν ἔχοντα θησαυρὸν κεκρυμμένον ἐν ἑαυτῷ ἀγρόν.

7. „Πάλιν[1]) ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας.“ Ἐπειδὴ ἡ βασιλεία τῶν οὐρανῶν ὁμοία ἐστὶ, πολλῶν ὄντων ἐμπόρων πολλὰ ἐμπορευομένων, οὐδενὶ ἐκείνων, τῷ δὲ ζητοῦντι τοὺς καλοὺς μαργαρίτας, καὶ εὑρόντι ἕνα ἀντάξιον τῶν πολλῶν, πολύτιμον μαργαρίτην, ὃν ἀντὶ πάντων ἠγόρασεν, εὔλογον ἡγοῦμαι τυγχάνειν τὰ περὶ τῆς φύσεως τοῦ μαργαρίτου ἐξετάσαι. Παρατήρει[2]) δὲ ἐπιμελῶς, ὅτι οὐκ εἶπεν, ὅτι πέπρακε πάντας οὓς εἶχεν· οὐ γὰρ μόνους, οὓς ὁ ζητῶν καλοὺς μαργαρίτας ἐώνηται, πέπρακεν, ἀλλὰ καὶ πάντα ὅσα εἶχεν, ἵνα ἀγοράσῃ τὸν[3]) καλὸν μαργαρίτην ἐκεῖνον. Εὕρομεν οὖν παρὰ τοῖς περὶ λίθων πραγματευσαμένοις περὶ τῆς φύσεως τοῦ μαργαρίτου ταῦτα, ὅτι τῶν μαργαριτῶν οἱ μέν εἰσι χερσαῖοι, οἱ δὲ θαλάττιοι. Καὶ οἱ μὲν χερσαῖοι παρ' Ἰνδοῖς μόνοις γίνονται, πρέποντες σφραγῖσι καὶ σφενδόναις, καὶ ὅρμοις· οἱ δὲ θαλάττιοι, οἱ μὲν διαφέροντες παρὰ τοῖς αὐτοῖς Ἰνδοῖς εὑρίσκονται, οἵτινές εἰσι καὶ ἄριστοι, ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ γινόμενοι. Δευτερεύουσι δὲ ὡς[4]) ἐν μαργαρίταις οἱ ἐκ τοῦ

---

[1]) Matth. XIII, 45. Ed. Knapp., ut in nostro textu, ἀνθρώπῳ ἐμπόρῳ, in ed. Lachm. deest ἀνθρώπῳ.

[2]) Cod. Tarini: παρατηρητέον. R.

[3]) R. in textu: τὸν μαργ. ἐκεῖνον, H. in textu: τὸν * μαργ. ἐκεῖνον; R. tamen in notis, H. ad marginem: „Cod. Reg. habet: τὸν καλὸν μαργ. ἐκεῖνον.“

[4]) H. et R. ut nos, in textu: δὲ ὡς ἐν κ. τ. λ., H. in notis: „ita Codd. Holmiens. et Regius. Legendum fortasse (?): δέ πως ἐν κ. τ. λ.“

κατὰ Βρεττανίαν ὠκεανοῦ λαμβανόμενοι· τρίτοι δὲ καὶ ἀπολειπόμενοι, οὐ μόνον τῶν πρώτων, ἀλλὰ καὶ τῶν δευτέρων, οἱ κατὰ Βόσπορον, περὶ τὴν Σκυθίαν εὑρισκόμενοι. Ἔτι δὲ ταῦτα ἐλέγετο περὶ τοῦ Ἰνδικοῦ μαργαρίτου, ὅτι ἐν κόγχοις γίνεται, προσεοικόσι τὴν φύσιν εὐμεγέθεσι στρόμβοις· οὗτοι δὲ ἱστοροῦνται οἱονεὶ κατὰ ἴλας τὴν θαλάττιον ποιούμενοι νομὴν, καθάπερ ἀγελάρχου τινὸς ἐξηγουμένου, περιόπτου[1]) *τὴν χρόαν καὶ τὸ μέγεθος, καὶ διαφέροντος τῶν ὑπ᾽ αὐτόν· ὥστε ἀναλογίαν αὐτὸν ἔχειν τῷ καλουμένῳ ἐσσῆνι μελισσῶν. Ἱστόρηται δὲ καὶ περὶ τῆς θήρας τῶν διαφερόντων, τουτέστι τῶν ἐν Ἰνδίᾳ, τοιοῦτον· ὅτι περιλαμβάνοντες οἱ ἐπιχώριοι δικτύοις κύκλον αἰγιαλοῦ μέγαν κατακολυμβῶσιν, ἕνα ἐξ ἁπάντων, τὸν προηγούμενον ἐπιτηδεύοντες λαβεῖν· τούτου γὰρ ἁλόντος*[2]) *φασὶν ἄμοχθον γενέσθαι τὴν θήραν τῆς ὑπὸ τούτῳ*[3]) *ἀγέλης, οὐδενὸς ἔτι ἀτρεμοῦντος τῶν ἀπ᾽ αὐτῆς,*[4]) *ἀλλ᾽ οἷον δεδεμένου ἱμάντι, καὶ ἑπομένου τῷ ἀγελάρχῃ. Λέγεται δὲ καὶ ἡ γένεσις τῶν ἐν Ἰνδίᾳ μαργαριτῶν χρόνοις συνίστασθαι, τροπὰς λαμβάνοντος τοῦ ζώου πλείονας καὶ μεταβολὰς, ἕως τελειωθῇ. Ἔτι δὲ καὶ τοῦτο ἱστόρηται, ὅτι διοί-*

---

[1]) H. et R., ut nos, in textu rectissime: *περιόπτου κτλ.* Nec minus accurate H. in notis: „vertit Erasmus: *exploratore, qui referat, qualis sit et quanta regio;* videtur legisse: *περιοψομένου τὴν χώραν, καὶ τὸ μέγεθος;* sed Codd. Holm. et Reg. lectionem asserunt haec Aeliani (cfr. ejusd. de animalibus libri XV. cap. 8.): *ἀκούω δὲ, εἶναι καὶ τοῦτον διαπρεπῆ καὶ τὴν χρόαν, καὶ τὸ μέγεθος.*“

[2]) H. et R. *ἄλοντος.*

[3]) H. et R. in textu recte: *ὑπὸ τούτῳ.* H. ad marginem: „Cod Reg. *ἀπὸ τούτων.*“ (R. min. accur. in notis: Cod. Reg. *ὑπὸ τούτων.*)

[4]) H. et R. in textu: *τῶν ὑπ᾽ αὐτῆς;* iidem tamen, ille ad marg., hic in notis: „Cod. Reg. *τῶν ἀπ᾽ αὐτῆς.*“

γεται ὁ κόγχος χάσμῃ παραπλησίως, ὁ τοῦ φέροντος τὸν μαργαρίτην ζώου, καὶ διοιχθεὶς τὴν ἐπουράνιον[1]) εἰς ἑαυτὸν δέχεται δρόσον· ἧς ἐμπλησθεὶς καθαρᾶς καὶ ἀθολώτου περιαυγὴς γίνεται, καὶ λοχεύει μέγαν καὶ εὔρυθμον τὸν λίθον. Εἰ δέ ποτε ἐπηχλυμένης, καὶ ἀνωμάλου, χειμερίου τε μεταλάβῃ δρόσου, ὀμιχλώδη κύει μαργαρίτην, καὶ κηλῖσιν[2]) ἐπίμωμον. Ἔτι δὲ καὶ τοῦτο εὕρομεν, ὅτι, εἰ μεσολαβηθείη ὁδεύων ἐπὶ τὴν πλήρωσιν οὗ κύει λίθου ὑπὸ ἀστραπῆς, μύει, καὶ ὡσπερεὶ τῷ δείματι σκορπίζει, καὶ διαχεῖ τὸν γόνον εἰς τὰ λεγόμενα φυσήματα. Ἔστι δὲ ὅτε καθάπερ ἠλιτόμηνα γεννᾶται βραχέα, καὶ ἀχλύος τι ἔχοντα, πλὴν εὔρυθμα. Ἔτι δὲ καὶ τοῦτο ἔχει ὁ Ἰνδικὸς μαργαρίτης παρὰ τοὺς ἄλλους· λευκός ἐστι τὴν χρόαν, ἀργύρῳ διαφανεῖ προσφερὴς, αὐγήν τε ὑποχλωρίζουσαν ἠρέμα διαλάμπει,[3]) ὡς ἐπίπαν δὲ σχῆμα ἔχει στρογγύλον. Ἔστι δὲ καὶ τρυφεροχρὼς, καὶ ἁπαλώτερος ἢ κατὰ λίθον. Οὕτως δέ ἐστιν ἐπιτερπὴς ἰδέσθαι, ὡς καὶ παρὰ τοῖς ἐμφανεστέροις, καθὰ ὁ ἀναγράψας ἔλεγε περὶ τῶν λίθων, ἀφυμνεῖσθαι. Ἔτι δὲ[4]) καὶ τοῦτο σημεῖόν ἐστιν ἀρίστου μαργαρίτου, τὸ τὴν περιφέρειαν τετορνευμένην[5]) ἔχειν, καὶ τὸ χρῶμα λευκότατον καὶ διαυγέστατον, καὶ τῷ μεγέθει μέγιστον. Ταῦτα μὲν οὖν περὶ τοῦ Ἰνδικοῦ. Ὁ δὲ κατὰ Βρεττανίαν, φασὶ, χρυσωπὸς μέν ἐστι

---

[1]) H. et R. in textu: τὴν οὐράνιον, H. tamen ad marg., R. in notis: „Cod. Reg. τὴν ἐπουράνιον."

[2]) H. et R. κηλίσιν.

[3]) H. et R. in textu: αὐγήν τε — διαλάμπειν, H. tamen in notis: „ita Codd. Holm. et Reg., sed legendum: αὐγήν τε — διαλάμπει, vel: ὥστε αὐγὴν ὑποχλωρίζουσαν ἠρέμα διαλάμπειν, quemadmodum legisse videtur Erasmus, qui vertit: *sic ut splendor subviridis paulum subluceat.*"

[4]) H. recte: ἔτι δὲ καὶ κ. τ. λ.; in ed. R. deest δέ.

[5]) Cod. Vaticanus: τετορευμένην. R.

τὴν ἐπίχροιαν, ὁμιχλώδης δέ τις, καὶ ταῖς μαρμαρυγαῖς ἀμβλύτερος· ὁ δὲ ἐν τῷ πορθμῷ τῷ κατὰ Βόσπορον, κνεφωδέστερος [1]) τοῦ Βρεττανικοῦ, καὶ πελιδνὸς, καὶ τέλεον ἀμυδρὸς, ἁπαλός τε καὶ μακρομεγέθης. Καὶ γεννᾶται δὲ ὁ ἐν τῷ κατὰ Βόσπορον πορθμῷ, οὐκ ἐν ταῖς πίνναις, [2]) ὅ ἐστιν ὀστράκων εἶδος μαργαριτοφόρον, ἀλλ' ἐν τοῖς προσαγορευομένοις μυσί· τούτοις δὲ, λέγω δὴ τοῖς κατὰ Βόσπορον, ἡ νομὴ ἐν τέλμασίν ἐστιν. Ἱστόρηται δὲ καὶ τέταρτον γένος εἶναι μαργαριτῶν περὶ τὴν Ἀκαρνανίαν ἐν ταῖς τῶν ὀστρέων πίνναις. Οὐ σπουδαῖοι δὲ οὗτοι ἄγαν, [3]) ἀλλὰ καὶ ἄῤῥυθμοι, καὶ τὸ σχῆμα καὶ τὸ χρῶμα τέλεον διατεθολωμένοι καὶ ῥυπῶντες. Καὶ ἄλλοι δὲ παρὰ τούτους εἰσὶ περὶ τὴν αὐτὴν Ἀκαρνανίαν πάντων ἕνεκεν ἀπόβλητοι.

8. Ταῦτα δὲ συναγαγὼν ἐκ τῆς περὶ λίθων πραγματείας, φημὶ τὸν Σωτῆρα, ἐπιστάμενον διαφορὰν μαργαριτῶν, ὧν ἐν τῷ γένει εἰσὶ καὶ καλοὶ καὶ ἄλλοι [4]) φαῦλοι, εἰρηκέναι τό· „ὁμοία [5]) ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ ζητοῦντι τοὺς [6]) καλοὺς μαργαρίτας·" εἰ γὰρ μὴ καὶ φαῦλοι ἦσάν τινες ἐν μαργαρίταις, οὐκ ἂν εἴρηται· [7]) „ζητοῦντι καλοὺς μαργαρίτας." Ἐν τοῖς παντοδαποῖς δὲ ἐπαγγελλομένοις ἀλήθειαν λόγοις καὶ τοῖς φέρουσιν αὐτοὺς ζητεῖ τοὺς μαργαρίτας· καὶ ἔστωσαν, ἵνα οὕτως ὀνομάσω, οἱ ἀπὸ τῆς οὐρανίου δρόσου συλλαμβάνοντες κόγχοι, καὶ κύοντες ἐξ οὐρανοῦ λόγον ἀληθείας, προφῆται, οἱ καλοὶ μαργαρῖται, οὓς ὁ

---

[1]) H. ad margin., R. in notis: „Cod. Reg. κνφωδέστερος."

[2]) H. et R. h. l. et paulo post: πίναις.

[3]) Ed. Huet. min. accur. ἄγγαν.

[4]) In Cod. Vatic. deest ἄλλοι. R.

[5]) Matth. XIII, 45. coll. pag. 20. not. 1.

[6]) H. et R. h. l. τοὺς καλούς κ. τ. λ. Cfr. pag. 20. not. 1.

[7]) H. ad marg., R. in notis: „Cod. Reg. εἴρητο."

κατὰ τὴν προκειμένην λέξιν ζητεῖ ἔμπορος ἄνθρωπος. Ὁ δὲ ἀγελάρχης τῶν μαργαριτῶν, ᾧ εὑρισκομένῳ καὶ οἱ λοιποὶ συνευρίσκονται, ὁ πολυτίμητος μαργαρίτης, ὁ Χριστὸς τοῦ Θεοῦ, ὁ ὑπὲρ τὰ τίμια γράμματα καὶ νοήματα τοῦ νόμου καὶ τῶν προφητῶν λόγος, οὗ εὑρεθέντος καὶ τ' ἄλλα πάντα εὐμαρῶς παραλαμβάνονται. Διαλέγεται δὲ ὁ Σωτὴρ τοῖς μαθηταῖς πᾶσιν, ὡς ἀνθρώποις ἐμπόροις, οὐ μόνον ζητοῦσι τοὺς καλοὺς μαργαρίτας, ἀλλὰ καὶ εὑροῦσιν αὐτοὺς καὶ κεκτημένοις, ἐν οἷς φησι· „μὴ βάλητε[1]) τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων.“ Δῆλον δὲ, ὅτι τοῖς μαθηταῖς ταῦτα λέλεκται, ἐκ τοῦ προτετάχθαι τῶν λόγων τό· „ἰδὼν[2]) δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος· καὶ καθίσαντος αὐτοῦ, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ·“ ἐν γὰρ τῷ εἱρμῷ τῶν λόγων ἐκείνων εἴρηται· „μὴ δῶτε[3]) τὸ ἅγιον τοῖς κυσὶ, μηδὲ βάλητε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων.“ Μήποτε οὖν ὁ μὴ ἔχων μαργαρίτας, ἢ τὸν πολύτιμον μαργαρίτην, οὐδὲ μαθητής ἐστι τοῦ Σωτῆρος,[4]) τοὺς μαργαρίτας τοὺς καλοὺς, οὐ τοὺς νεφώδεις, οὐδὲ τοὺς ἀχλυώδεις, ὁποῖοί εἰσιν οἱ τῶν ἑτεροδόξων λόγοι, οὐ πρὸς ἀνατολὰς γεννώμενοι, ἀλλὰ πρὸς δυσμὰς ἢ πρὸς βοῤῥᾶν, εἰ χρὴ καὶ[5]) ταῦτα προσπαραλαμβάνειν,[6]) δι' ἣν εὕρομεν διαφορὰν μαργαριτῶν ἐν διαφόροις γινομένων[7]) τόποις. Τάχα δὲ οἱ τεθολωμένοι λόγοι καὶ αἱ[8]) ἐν τοῖς ἔργοις τῆς[9]) σαρκὸς κατειλιγμέναι αἱρέ-

---

[1]) Matth. VII, 6. coll. pag. huj. not. 3.

[2]) Ibid. V, 1.

[3]) Ibid. VII, 6. Edd. N. T. τοὺς μαργ. ὑμῶν κ. τ. λ.

[4]) R. recte in notis: „exciderat ex ed. Huet. vox σωτῆρος, quam omnes Codd. Mss. restituunt.“

[5]) Desideratur καί in ed. R.

[6]) Cod. Vatic. προσλαμβάνειν. R.

[7]) Idem Codex: γενομένην. R.

[8]) Desideratur αἱ in edd. H. et R.

[9]) Deest τῆς in ed. R.

σεις, οἱ ἀχλυώδεις εἰσὶ καὶ οἱ ἐν τέλμασι γινόμενοι [1]) μαργαρῖται οὐ καλοί.

9. Συνάψεις δὲ τῷ ζητοῦντι καλοὺς μαργαρίτας τό· „ζητεῖτε, [2]) καὶ εὑρήσετε·“ [3]) καὶ τό· „πᾶς ὁ ζητῶν εὑρίσκει.“ Τί γὰρ ζητεῖτε; ἢ τί πᾶς ὁ ζητῶν εὑρίσκει; Ἀποτολμήσας εἴπω· τοὺς μαργαρίτας, καὶ τὸν μαργαρίτην, ὃν ὁ πάντα δοὺς [4]) καὶ ζημιωθεὶς κτᾶται· „δι᾽ ὅν,“ φησὶν ὁ Παῦλος· „τὰ πάντα [5]) ἐζημιώθην, ἵνα Χριστὸν κερδήσω·“ „πάντα“ λέγων τοὺς καλοὺς μαργαρίτας, ἵνα Χριστὸν κερδήσω, τὸν ἕνα πολύτιμον μαργαρίτην. Τίμιον μὲν οὖν λύχνος τοῖς ἐν σκότει, καὶ χρεία λύχνου, ἕως ἀνατείλῃ ὁ ἥλιος· τιμία δὲ καὶ ἡ ἐπὶ τοῦ προσώπου Μωυσέως δόξα, ἐγὼ δ᾽ οἶμαι ὅτι καὶ τῶν προφητῶν, καὶ καλὸν θέαμα, δι᾽ ἧς εἰσαγόμεθα πρὸς τὸ δυνηθῆναι ἰδεῖν τὴν δόξαν Χριστοῦ, ᾗ μαρτυρῶν ὁ πατήρ φησιν· „οὗτός [6]) ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, εἰς ὃν ηὐδόκησα.“ Ἀλλ᾽ „οὐ δεδόξασται [7]) τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης,“ καὶ χρεία ἡμῖν πρότερον δόξης τῆς ἐπιδεχομένης [8]) κατάργησιν ὑπὲρ τῆς ὑπερβαλλούσης δόξης, ὡς χρεία γνώσεως τῆς ἐκ μέρους, [9]) ἥτις καταργηθήσεται, ὅταν ἔλθῃ τὸ τέλειον. Πᾶσα τοίνυν ψυχὴ,

---

1) Alter Cod., quem vidit Tarinus, habet: *γεννώμενοι,* alter: *γενόμενοι.* R.

2) Matth. VII, 7. — 8. coll. edd. N. T.

3) Alius Cod., quem consuluit Tarinus, *εὑρίσκετε.* R.

4) Unus e Tarinianis Codd. *ὃν ἅπαντα δούς.* R.

5) Philipp. III, 8. coll. edd. N. T. et pag. 26. lin 4. et 5. a fine cap. huj.

6) Matth. III, 17. Edd. N. T. *ἐν ᾧ εὐδόκησα.*

7) II Cor. III, 10. Ed. Lachm. *εἵνεκεν,* ed. Knapp. *ἕνεκεν.*

8) *τῆς ἐπιδεχομένης.* Sic habent omnes Codd. Mss. Perperam autem ed. Huet. *τῆς ἐκδεχομένης.* R.

9) I Cor. XIII, 9. 10.

ἐρχομένη εἰς νηπιότητα καὶ ὁδεύουσα ἐπὶ τὴν τελειότητα, δεῖται, μέχρις ἐνστῇ αὐτῇ τὸ πλήρωμα τοῦ χρόνου, παιδαγωγοῦ καὶ οἰκονόμων καὶ ἐπιτρόπων, ἵνα μετὰ ταῦτα πάντα ὁ πρότερον μηδὲν διαφέρων δούλου, κύριος πάντων ὢν ἀπολάβῃ, ἐλευθερωθεὶς ἀπὸ παιδαγωγοῦ καὶ οἰκονόμων καὶ ἐπιτρόπων, τὰ πατρῷα,[1]) τὰ ἀνάλογον τῷ πολυτιμήτῳ μαργαρίτῃ, καὶ τῷ ἐρχομένῳ τελείῳ καταργοῦντι τὸ ἐκ μέρους, ὅταν τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ χωρῆσαί τις δυνηθῇ, προεγγυμνασάμενος ταῖς, ἵν' οὕτως ὀνομάσω, ὑπερεχομέναις γνώσεσιν ὑπὸ τῆς Χριστοῦ γνώσεως. Ἀλλ' οἱ πολλοὶ, μὴ νοήσαντες τὸ κάλλος τῶν πολλῶν μαργαριτῶν νομικῶν, καὶ τὴν ἔτι ἐκ μέρους γνῶσιν τὴν πᾶσαν προφητικὴν, οἴονται δύνασθαι, χωρὶς ἐκείνων τρανουμένων καὶ καταλαμβανομένων, δι' ὅλων εὑρεῖν τὸν ἕνα πολύτιμον μαργαρίτην, καὶ θεωρῆσαι τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ, οὗ συγκρίσει πάντα, τὰ πρὸ τῆς τηλικαύτης καὶ τοσαύτης γνώσεως οὐ σκύβαλα τῇ ἰδίᾳ φύσει τυγχάνοντα, σκύβαλα ἀναφαίνεται, ἅπερ ἐστὶ τὰ παραβαλλόμενα τάχα τῇ συκῇ ὑπὸ τοῦ ἀμπελουργοῦ κόπρια,[2]) αἴτια τυγχάνοντα τοῦ αὐτὴν καρποφορῆσαι.

10. Τοῖς πᾶσι τοίνυν ὁ χρόνος, καὶ καιρὸς τῷ παντὶ πράγματι ὑπὸ τὸν οὐρανὸν, καὶ ἔστι τις καιρὸς τοῦ συναγαγεῖν τοὺς καλοὺς μαργαρίτας λίθους, καὶ καιρὸς μετὰ[3]) τὴν συναγωγὴν αὐτῶν τοῦ εὑρεῖν ἕνα πολύτιμον μαργαρίτην, ὅτε καθήκει ἀπελθόντα[4]) πωλῆσαι πάντα ὅσα τις ἔχει, ἵνα ἀγοράσῃ τὸν μαργαρίτην ἐκεῖνον. Ὥσπερ γὰρ πάντα τὸν ἐσόμενον σοφὸν ἐν λόγοις ἀληθείας δεήσει στοιχειωθῆναι πρότερον, καὶ ἐπὶ

---

1) Edd. H. et R. τὰ πατρῶα.

2) Luc. XIII, 8.

3) Ed. Huet. min. accurate: μέν.

4) Cod. Vaticanus: ἀπελθεῖν καὶ πωλῆσαι. R.

πλεῖον διαβῆναι τῆς στοιχειώσεως, καὶ[1]) περὶ πολλοῦ ποιεῖσθαι τὴν στοιχείωσιν, οὐ μὴν[2]) ἀπομένειν ἐν τῇ στοιχειώσει, ὡς τιμήσαντα αὐτὴν κατὰ τὰς ἀρχὰς, ἀλλὰ διαβάντα ἐπὶ τὴν τελειότητα χάριν ἔχειν τῇ εἰσαγωγῇ, ὡς χρησίμως[3]) γενομένῃ κατὰ τὰ πρότερα· οὕτως τελείως νοηθέντα τὰ νομικὰ καὶ τὰ προφητικὰ, στοιχείωσίς ἐστι πρὸς τελείως[4]) νοούμενον τὸ εὐαγγέλιον, καὶ πάντα τὸν περὶ τῶν Χριστοῦ Ἰησοῦ ἔργων καὶ λόγων νοῦν.

11. „Πάλιν[5]) ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν.“ Ὥσπερ ἐπὶ τῶν εἰκόνων καὶ τῶν ἀνδριάντων αἱ ὁμοιότητες οὐκ ἐξ ὅλων εἰσὶν ὁμοιότητες ἐκείνων, πρὸς ἃ ταῦτα γίνεται, ἀλλ' ἡ μὲν ἐν ἑνὶ ἐπιπέδῳ ξύλῳ, φέρε εἰπεῖν, κηρογραφουμένη εἰκὼν τῆς ἐπιφανείας μετὰ τοῦ χρώματος ἔχει τὴν ὁμοιότητα, οὐκέτι δὲ σώζει τὰς εἰσοχὰς, καὶ τὰς ἐξοχὰς, ἀλλ' ἔμφασιν μόνην αὐτῶν· ἡ δὲ κατὰ τοὺς ἀνδριάντας πλάσις τὸ μὲν κατὰ τὰς εἰσοχὰς καὶ τὰς ἐξοχὰς πειρᾶται σώζειν ὁμοίωμα, οὐκέτι δὲ καὶ κατὰ τὴν χρόαν· ἐὰν δὲ καὶ κήρινον ἐκμαγεῖον γένηται, σώζειν μὲν πειρᾶται ἀμφότερα, λέγω δὲ καὶ κατὰ τὴν χρόαν, καὶ κατὰ τὰς εἰσοχὰς καὶ ἐξοχὰς, οὐ μὴν καὶ τῶν ἐν βάθει εἰκών ἐστιν· οὕτω μοι νόει καὶ ἐπὶ τῶν κατὰ τὸ εὐαγγέλιον ὁμοιώσεων, τὴν βασιλείαν τῶν οὐ-

---

[1]) Deest καί in Cod. Vaticano. R.

[2]) H. οὐ μὴν ἀπομ. ἐν τ. στοιχ., R. in textu: οὐ μὲν ἀπομέν. ἐν τ. στοιχειώσει, in notis: „Unus e Tarinianis Codd. οὐ μὴν ἐπιμένειν ἐπὶ τῇ στοιχειώσει.“

[3]) H. et R. χρησίμῳ γενομένῃ κ. τ. λ.

[4]) H. et R. in textu: πρὸς τελείωσιν νοούμενον, H. tamen, quae R. quoque affert, in notis: „ita Mss. Holm. et Reg., sed sine sensu. Scribendum videtur: τελείως. Erasmus delet vocem τελείωσιν, vertit enim: *ad intelligendum evangelium.*“

[5]) Matth. XIII, 47.

ρανῶν, ὁμοιουμένην τινὶ, ὁμοιοῦσθαι οὐ διὰ πάντα τὰ προσόντα τῷ εἰς ὃ ἡ ὁμοίωσις, ἀλλὰ διά τινα ὧν χρήζει ὁ παραληφθεὶς λόγος. Καὶ ἐνταῦθα τοίνυν „ὁμοία ἐστὶν ἡ βασιλεία[1]) τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν,“ οὐχ ὡς οἴονταί τινες, παριστάντες τῷ λόγῳ φύσεις εἶναι ὑποκειμένας διαφόρους τῶν ὑπὸ τὴν σαγήνην ἐληλυθότων πονηρῶν καὶ δικαίων· ὥστε νομίζειν εἶναι διὰ τό· „ἐκ παντὸς γένους συναγαγούσῃ·“[2]) δικαίων πολλὰς καὶ διαφόρους φύσεις, ὁμοίως δὲ καὶ πονηρῶν· τῇ γὰρ τοιαύτῃ ἐκδοχῇ ἐναντιοῦνται πᾶσαι[3]) αἱ τὸ αὐτεξούσιον ἐμφαίνουσαι γραφαὶ, καὶ αἰτιώμεναι μὲν τοὺς ἁμαρτάνοντας, ἀποδεχόμεναι δὲ τοὺς κατορθοῦντας· οὐκ ἂν δικαίως μέμψεως τοῖς ἀπὸ τῶν γενῶν,[4]) φύσει τοιούτων τυγχανόντων, ἀκολουθούσης, ἢ ἐπαίνου τοῖς ἀπὸ τῶν ἀστειοτέρων. Ἰχθύων γὰρ φαύλων καὶ καλῶν ἡ αἰτία, οὐ περὶ τὰς ψυχὰς τῶν ἰχθύων ἐστὶν, ἀλλὰ περὶ ἐκεῖνο, ὅπερ ἐπιστάμενος ὁ λόγος εἶπεν· „ἐξαγαγέτω[5]) τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν·“ ὅτε καὶ „ἐποίησεν ὁ θεὸς τὰ κήτη τὰ μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδατα κατὰ γένη αὐτῶν.“ Οὐκοῦν ἐκεῖ μὲν „πᾶσαν ψυχὴν ζώων ἑρπετῶν ἐξήγαγε τὰ ὕδατα κατὰ γένη αὐτῶν,“ οὐκ οὔσης τῆς αἰτίας περὶ αὐτήν· ἐνταῦθα δὲ ἡμεῖς ἐσμεν οἱ αἴτιοι τοῦ εἶναι καλὰ, καὶ ἄξια τῶν λεγομένων ἀγγῶν[6]) γένη, ἢ σαπρὰ καὶ ἄξια τοῦ ἔξω βληθῆναι· οὐ γὰρ φύσις ἐν ἡμῖν αἰτία τῆς πονηρίας, ἀλλὰ προαίρεσις ἑκού-

---

[1]) Matth. XIII, 47.

[2]) H. ad marg., R. in notis: „Cod. Reg. συναγούσῃ.“ Cfr. Matth. XIII, 47.

[3]) Desideratur πᾶσαι in ed. Huetii.

[4]) Legendum esse videtur: ἀπὸ τῶν φαύλων γενῶν, φύσει κ. τ. λ. Cfr. pag. 29. not. 1.

[5]) Genes. I, 20. — 21.

[6]) Matth. XIII, 48.

σιος οὖσα κακοποιητική. Οὕτως δὲ οὐδὲ φύσις αἰτία δικαιοσύνης, ὡς ἀνεπίδεκτος ἀδικίας, ἀλλὰ λόγος ὃν παρεδεξάμεθα, ὁ κατασκευάζων δικαίους· καὶ γὰρ τὰ μὲν τῶν ἐνύδρων γένη οὐκ ἔστιν ἰδεῖν μεταβάλλοντα ἀπὸ φαύλων ὡς ἐν ἰχθύσι γενῶν[1]) ἐπὶ τὰ ἀστεῖα, ἢ ἀπὸ τῶν βελτιόνων ἐπὶ τὰ χείρονα· τοὺς δὲ ἐν ἀνθρώποις δικαίους ἢ πονηροὺς ἀεὶ ἔστι θεωρεῖν, ἢ ἐπὶ τὴν ἀρετὴν ἐκ κακίας φθάνοντας, ἢ ἀπὸ τῆς ἐπ' ἀρετὴν προκοπῆς ἀναλυομένους ἐπὶ τὴν τῆς κακίας χύσιν. Διὸ[2]) καὶ ἐν τῷ Ἰεζεκιὴλ περὶ μὲν τοῦ ἀπὸ ἀνομίας ἐπιστρέφοντος ἐπὶ τὴν τήρησιν τῶν θείων ἐντολῶν τοιαῦτα γέγραπται· „καὶ[3]) ὁ ἄνομος ἐὰν ἀποστρέψῃ ἐκ πασῶν ἀνομιῶν αὐτοῦ ὧν ἐποίησε," καὶ τὰ ἑξῆς, ἕως τοῦ· „ὡς τὸ ἀποστρέψαι αὐτὸν ἐκ τῆς ὁδοῦ τῆς πονηρᾶς, καὶ ζῆν αὐτόν·" περὶ δὲ τοῦ ἀναλυομένου ἀπὸ τῆς ἐπ' ἀρετὴν προκοπῆς ἐπὶ τὴν τῆς κακίας χύσιν τοιαῦτα· „ἐν[4]) δὲ τῷ ἀποστρέψαι δίκαιον ἐκ[5]) τῆς δικαιοσύνης αὐτοῦ, καὶ ποιῆσαι ἀδικίαν," καὶ τὰ ἑξῆς, ἕως τοῦ· „καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ, αἷς ἥμαρτεν, ἐν αὐταῖς ἀποθανεῖται." Ἢ λεγέτωσαν ἡμῖν οἱ ἐκ τῆς κατὰ σαγήνην παραβολῆς φύσεις εἰσάγοντες, ὁ ἄνομος ὕστερον

---

[1]) Deest γενῶν, quod habet ed. H., in ed. R. Cfr. pag. 28. not. 4.

[2]) Verba: Διὸ καὶ ἐν τῷ Ἰεζεκ. et sequentia, usque ad haec: τοιαῦτα· ἐν δὲ τῷ, desiderabantur in Cod. Holm., ut monuit Huet., (qui scripsit: „in nostro Cod.") nec in Erasmi interpretatione comparent: ea per librariorum incuriam exciderunt, quae e Codd. Reg. et Vaticano (H. scripsit: „quae nos e Cod. Reg. supplevimus") supplentur. R.

[3]) Ezech. XVIII, 21. LXX. interpretes: ἐκ πασῶν τῶν ἀνομιῶν κ. τ. λ. — 23.

[4]) Ibid. XVIII, 24.

[5]) Codd. Reg. (H. ad. marg.) et Vaticanus: ἀπὸ τῆς κ. τ. λ. R.

ἀποστρέφων ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ ὧν ἐποίησε, καὶ φυλάσσων πάσας[1]) *τὰς ἐντολὰς τοῦ κυρίου, καὶ ποιῶν δικαιοσύνην καὶ ἔλεον, ποίας φύσεως ἦν ἄνομος ὤν; οὐ γὰρ δὴ τῆς ἐπαινετῆς. Ἀλλ' εἰ ἄρα ψεκτῆς, καὶ ποίας φύσεως εὐλόγως ἂν λεχθῇ, ὅτε ἀποστρέφει ἐκ πασῶν τῶν ἀνομιῶν ἑαυτοῦ ὧν ἐποίησεν; εἰ μὲν γὰρ τῆς φαύλης διὰ τὰ πρότερα, πῶς*[2]) *μετέβαλεν ἐπὶ τὰ βελτίονα; εἰ δὲ τῆς ἀστείας διὰ τὰ δεύτερα, πῶς ἀστείας φύσεως τυγχάνων ἄνομος ἦν; Τὸ δ' ὅμοιον ἐπαπορήσεις καὶ περὶ τοῦ ἀποστρέφοντος δικαίου ἐκ τῆς δικαιοσύνης αὐτοῦ, καὶ ποιοῦντος ἀδικίαν κατὰ πάσας τὰς ἀνομίας. Πρὶν γὰρ ἀποστρέψαι ἀπὸ τῆς δικαιοσύνης, ἐν δικαίοις ἔργοις τυγχάνων, φαύλης φύσεως οὐκ ἦν· φαύλη γὰρ φύσις οὐκ ἂν ἐν δικαιοσύνῃ γένοιτο, ἐπεὶ μὴ δύναται δένδρον πονηρὸν, ἡ κακία, καρποὺς ἀγαθοὺς ποιεῖν τοὺς ἀπὸ ἀρετῆς. Πάλιν τε αὖ οὐκ ἂν ἀστείας καὶ ἀμεταβλήτου φύσεως ὤν, ἀπὸ τοῦ καλοῦ ἀπέστρεψεν ἄν, μετὰ τὸ χρηματίσαι· „δίκαιος ἐκ*[3]) *τῆς δικαιοσύνης αὐτοῦ,“ ἐπὶ τὸ ποιῆσαι ἀδικίαν κατὰ πάσας τὰς ἀνομίας αὐτοῦ, ἃς ἐποίησε.*

12. *Τούτων δὲ εἰρημένων νομιστέον ὡμοιῶσθαι τὴν βασιλείαν τῶν οὐρανῶν „σαγήνῃ*[4]) *βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ ἐκ παντὸς γένους συναγαγούσῃ,“*[5])

---

[1]) H. et R. in textu: *φυλάσσ. τὰς ἐντολάς κ. τ. λ.*, H. tamen ad marg. „Cod. Reg.,“ R. in notis: „„Codd. Reg. et Vatic. *φυλάσσ. πάσας τὰς ἐντολάς.*“ “

[2]) Verba: *πῶς μετέβαλεν ἐπί κ. τ. λ.*, usque ad id: *πῶς ἀστείας φύσεως*, ab Holm. Cod. (H. scripsit: „a nostro Cod.“), et Erasmi interpretatione aberant, supplentur autem (H. scripsit: „ea nos Cod. Reg. debemus“) e Codd. Reg. et Vaticano. R.

[3]) Ezech. XVIII, 24.

[4]) Matth. XIII, 47.

[5]) Cod. Vaticanus: *συναγούσῃ.* R. — Cfr. pag. 28 not. 2.

εἰς παράστασιν τοῦ ποικίλου τῶν ἐν ἀνθρώποις προαιρέσεων, διαφορὰν πρὸς ἀλλήλας πλείστην ὅσην ἐχουσῶν, ὡς εἶναι τό· „ἐκ παντὸς γένους συναγαγούσῃ,“[1]) ἐπαινετοὺς καὶ ψεκτοὺς, ἐν ταῖς πρὸς τὰ εἴδη τῶν ἀρετῶν ἢ τῶν κακιῶν ἐπιῤῥεπείαις. Σαγήνης[2]) δὲ πλοκῇ ποικίλῃ ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν, κατὰ τὴν πεπλεγμένην ἐκ παντοδαπῶν καὶ ποικίλων νοημάτων παλαιὰν καὶ καινὴν γραφήν. Ὥσπερ[3]) τῶν ὑπὸ τὴν σαγήνην πιπτόντων ἰχθύων, οἱ μὲν κατὰ τάδε τὰ μέρη τῆς σαγήνης εὑρίσκονται, οἱ δὲ καθ' ἕτερα, καὶ ἕκαστος ὑφ' ὃ κεκράτηται μέρος· οὕτως εὕροις ἂν καὶ ἐπὶ τῶν ὑπὸ τὴν[4]) σαγήνην τῶν γραφῶν ἐληλυθότων, τινὰς μὲν κεκρατημένους ὑπὸ τὴν προφητικὴν πλοκὴν, φέρ' εἰπεῖν, Ἠσαΐου κατὰ τόδε τὸ ῥητὸν, ἢ Ἱερεμίου, ἢ Δανιὴλ, ἄλλους δὲ κατὰ νομικὴν, καὶ ἄλλους κατὰ εὐαγγελικὴν, καί τινας κατὰ ἀποστολικήν· πρῶτον γὰρ ἁλισκόμενός τις ὑπὸ τοῦ λόγου, ἢ δοκῶν ἁλίσκεσθαι, ἔκ τινος λαμβάνεται μέρους τῆς ὅλης σαγήνης. Οὐδὲν δὲ ἄτοπον, εἴ τινες τῶν ἁλόντων ἰχθύων ἐμπεριέχονται ὅλῃ τῇ τῆς ἐν ταῖς γραφαῖς σαγήνης πλοκῇ, καὶ πανταχόθεν συνέχονται καὶ κρατοῦνται, διαδρᾶναι μὴ δυνάμενοι, ἀλλ' ὡσπερεὶ πάντοθεν καταδουλούμενοι, καὶ ἐκπεσεῖν τῆς σαγήνης οὐκ ἐώμενοι. Βέβληται δὲ ἡ σαγήνη αὕτη εἰς τὴν θάλασσαν, τὸν πανταχοῦ τῆς οἰκουμένης τῶν ἀνθρώπων κυματούμενον βίον, καὶ ἐν τοῖς ἁλμυροῖς πράγμασι τοῦ βίου νηχόμενον. Αὕτη δὲ ἡ σαγήνη πρὸ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ[5]) Χριστοῦ ὅλη

---

[1]) Cod. Vaticanus: *συναχθέν*. R.

[2]) H. et R. non male in textu: *σαγήνῃ δέ κ. τ. λ.*, H. tamen ad margin., R. in notis: „forte scribendum: *σαγήνης δέ κ. τ. λ.*“

[3]) Huet., quum vertat: *et quemadmodum*, legisse videtur: *Καὶ ὥσπερ κ. τ. λ.* Nec male.

[4]) Desideratur *τήν* in ed. R.

[5]) H. et R. in textu: *Ἰησοῦ*, omisso *Χριστοῦ*; H.

μὲν πεπληρωμένη οὐκ ἦν· ἔλειπε γὰρ τῇ νομικῇ καὶ προφητικῇ πλοκῇ ὁ εἰπών· „μὴ[1]) νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι.“ Καὶ πεπλήρωται ἡ τῆς σαγήνης πλοκὴ ἐν τοῖς εὐαγγελίοις, καὶ τοῖς Χριστοῦ διὰ τῶν ἀποστόλων λόγοις. Διὰ τοῦτο οὖν „ὁμοία[2]) ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ ἐκ παντὸς γένους συναγαγούσῃ.“ Δύναται δὲ χωρὶς τῶν ἀποδεδομένων τό· „ἐκ παντὸς γένους[3]) συναγαγούσῃ,“ δηλοῦν τὴν ἀπὸ παντὸς γένους ἐθνῶν κλῆσιν. Οἱ δὲ[4]) διακονησάμενοι τῇ βληθείσῃ εἰς τὴν θάλασσαν σαγήνῃ, ὁ κύριός ἐστι τῆς σαγήνης Ἰησοῦς Χριστὸς, καὶ οἱ προσελθόντες ἄγγελοι,[5]) καὶ διακονησάμενοι αὐτῷ, οἵτινες οὐκ ἀναβιβάζουσιν ἀπὸ τῆς θαλάσσης τὴν σαγήνην, οὐδὲ φέρουσιν ἐπὶ τὸν ἔξω αὐτῆς αἰγιαλὸν, τὰ ἔξω τοῦ βίου πράγματα, ἐὰν μὴ πληρωθῇ ἡ σαγήνη, τουτέστι τὸ πλήρωμα τῶν ἐθνῶν εἰς αὐτὴν εἰσέλθῃ. Ὅταν δὲ εἰσέλθῃ,[6]) τότε αὐτὴν ἀναβιβάζουσιν ἀπὸ τῶν τῇδε καὶ κάτω πραγμάτων, καὶ φέρουσιν ἐπὶ τὸν τροπικῶς καλούμενον αἰγιαλόν· ἔνθα ἔργον ἔσται τῶν ἀναβιβασάντων αὐτὴν καὶ καθίσαι παρὰ τῷ αἰγιαλῷ, καὶ ἱδρύσαι ἑαυτοὺς ἐκεῖ, ἵνα ἕκαστον μὲν τῶν ὑπὸ τὴν σαγήνην καλῶν εἰς τὸ οἰκεῖον τάγμα καταστήσωσι κατὰ τὰ ὀνομαζόμενα ἐνταῦθα αὐτῶν ἀγγεῖα, τὰ δὲ ἐναντίως ἔχοντα καὶ σαπρὰ καλού-

---

tamen ad marg. „Cod. Reg.,“ R. in notis: „„Codd. Reg. et Vatican. *Ἰησοῦ Χριστοῦ.*““

[1]) Matth. V, 17.

[2]) Ibid. XIII, 47.

[3]) Desideratur h. l. *γένους* in edd. H. et R.

[4]) H. ad marg., R. in notis: „Cod. Reg. *ὅθεν δὲ διακονησάμενοι κ. τ. λ.*“

[5]) Matth. IV, 11.

[6]) H. ad marg. „Cod. Reg.,“ R. in notis: „„Codd. Reg. et Vaticanus: *ἔλθῃ.*““

μενα ἔξω βάλωσι. Τὸ δέ· „ἔξω," ἡ κάμινός ἐστι τοῦ πυρὸς, ὡς ὁ Σωτὴρ ἡρμήνευσεν εἰπών· „οὕτως[1]) *ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος· ἐξελεύσονται οἱ ἄγγελοι, καὶ ἀφοριοῦσιν αὐτοὺς τοὺς πονηροὺς ἐκ μέσου*[2]) *τῶν δικαίων, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός." Πλὴν τηρητέον, ὅτι ἤδη διὰ τῆς τῶν ζιζανίων παραβολῆς, καὶ τῆς προκειμένης ὁμοιώσεως διδασκόμεθα, ὅτι ἄγγελοι μέλλουσι πιστεύεσθαι τὸ διακρῖναι καὶ διαχωρίσαι τοὺς φαύλους ἀπὸ τῶν δικαίων· ἀνωτέρω μὲν γὰρ λέγεται, ὅτι „ἀποστελεῖ*[3]) *ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα, καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων·" ἐνταῦθα δὲ, ὅτι „ἐξελεύσονται οἱ ἄγγελοι, καὶ ἀφοριοῦσι τοὺς πονηροὺς ἐκ μέσου τῶν δικαίων, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός."*

13. *Τούτοις δὲ οὐκ ἀκολουθεῖ, ὅπερ οἴονταί τινες, ὅτι καὶ τῶν ἁγίων ἀγγέλων εἰσὶ κρείττους οἱ ἄνθρωποι οἱ ἐν Χριστῷ σωζόμενοι· πῶς γὰρ δύνανται οἱ ὑπὸ τῶν ἁγίων*[4]) *ἀγγέλων εἰς ἄγγη βαλλόμενοι τοῖς βάλλουσιν εἰς τὰ ἄγγη παραβάλλεσθαι, ὑπὸ τὴν ἐκείνων τεταγμένοι ἐξουσίαν; Ταῦτα δέ φαμεν, οὐκ ἀγνοοῦντές τινων ἀγγέλων, τῶν μὴ τοιαύτην οἰκονομίαν ἐγκεχειρισμένων,*[5]) *ἀλλ' οὐδὲ τούτων πάντων διαφέρειν τοὺς*

---

[1]) Matth. XIII, 49. In edd. N. T. *αὐτούς* ante *τοὺς πονηρούς* non legitur, nec male dixeris, coll. pag. huj. lin. 10. a fine, idem ex verbis linea seq. obviis originem cum facillime ducere potuisse, tum eam revera duxisse.

[2]) H. ad marg., R. in notis: „Cod. Regius: *μέσων.*"

[3]) Matth. XIII, 41. 42. — 49. 50. coll. pag. huj. not. 1.

[4]) Deest *ἁγίων* in ed. R.

[5]) H. et R. *ἐνκεχειρισμένων.*

ἐν Χριστῷ σωθησομένους ἀνθρώπους. Ἀνέγνωμεν γὰρ καὶ τό· „εἰς ἃ ἐπιθυμοῦσιν[1]) ἄγγελοι παρακύψαι·“ ἔνθα οὐκ εἴρηται· πάντες ἄγγελοι. Οἴδαμεν καὶ τό· „ἀγγέλους[2]) κρινοῦμεν·“ ὅπου[3]) μὴ λέλεκται· πάντας ἀγγέλους. Τούτων δὲ ἀναγεγραμμένων περὶ τῆς σαγήνης, καὶ τῶν ὑπὸ τὴν σαγήνην, ὁ βουλόμενος πρὸ τῆς συντελείας τοῦ αἰῶνος, καὶ πρὸ τοῦ ἐξελθόντας τοὺς ἀγγέλους ἀφορίσαι τοὺς πονηροὺς ἐκ μέσου[4]) τῶν δικαίων, μὴ εἶναι καὶ πονηροὺς ὑπὸ τὴν σαγήνην ἐκ παντὸς γένους, ἔοικε μήτε τὴν γραφὴν νενοηκέναι, καὶ ἀδυνάτων[5]) ἐπιθυμεῖν. Διὸ μὴ ξενιζώμεθα, ἐάν, πρὸ τοῦ ἀφορισθῆναι τοὺς πονηροὺς ἐκ μέσου τῶν δικαίων ὑπὸ τῶν ἐπὶ τοῦτο[6]) ἐξαποστελλομένων ἀγγέλων, ὁρῶμεν ἡμῶν τὰ ἀθροίσματα πεπληρωμένα καὶ πονηρῶν. Ἀλλ᾿ εἴθε μὴ πλείους οὗτοι τυγχάνοιεν ὄντες τῶν δικαίων, οἱ βληθησόμενοι εἰς τὴν κάμινον τοῦ πυρός. Ἐπεὶ δὲ ἐλέγομεν ἐν ἀρχῇ, ὅτι αἱ παραβολαὶ καὶ αἱ ὁμοιώσεις οὐκ εἰς πάντα, οἷς παραβάλλονται ἢ ὁμοιοῦνται, παραλαμβάνονται, ἀλλ᾿ εἴς τινα, ἔτι τοῦτο κατασκευαστέον καὶ ἐκ τῶν λεχθησομένων, ὅτι ἐπὶ μὲν τῶν ἰχθύων, ὡς πρὸς τὴν ζωὴν αὐτῶν, φαῦλόν τι αὐτοῖς συμβαίνει, τὸ ὑπὸ τὴν σαγήνην εὑρεθῆναι.[7]) Τῆς γὰρ κατὰ φύσιν αὐτοῖς ζωῆς στερίσκονται, καὶ οὔτε εἰς ἄγγη βαλλόμενοι, οὔτε ἔξω ῥιπτόμενοι πλεῖόν τι πάσχουσι

---

[1]) I Petr. I, 12.

[2]) I Cor. VI, 3.

[3]) H. ad marg., R. in notis: „Cod. Reg. ἔνθα μὴ λέλεκται.“

[4]) H. ad marg., R. in notis: „Cod. Reg. μέσων.“

[5]) H. et R. ἀδύνατον ἐπιθυμεῖν.

[6]) Ita habebat unus e Codd., quos consuluerat Tarinus, melius quam ed. Huetii: ἐπὶ τούτῳ ἐξαποσταλησομένων. R.

[7]) Ed. H. εὑρεθῆναι, ed. R. εὑρηθῆναι.

τοῦ ἀπολέσαι τὴν ὡς ἐν ἰχθύσι ζωήν· ἐπὶ δὲ τῶν, δι' ἃ λαμβάνεται ἡ παραβολὴ, φαῦλον μέν ἐστι τὸ εἶναι ἐν θαλάσσῃ, καὶ μὴ ὑπὸ τὴν σαγήνην ἐλθεῖν, ἐπὶ τῷ εἰς ἄγγη μετὰ τῶν καλῶν βληθῆναι. Οὕτω δὲ ἰχθῦς[1]) μὲν φαῦλοι ἔξω βάλλονται καὶ ῥιπτοῦνται· οἱ δὲ κατὰ τὴν προκειμένην ὁμοίωσιν φαῦλοι βάλλονται εἰς τὴν κάμινον τοῦ πυρὸς, ἵνα τὰ ἐν τῷ Ἰεζεχιὴλ[2]) περὶ τῆς καμίνου εἰρημένα καὶ ἐπὶ τούτους φθάσῃ· „καὶ ἐγένετο[3]) λόγος κυρίου πρός με λέγων· υἱὲ ἀνθρώπου, ἰδοὺ γεγόνασί μοι ὁ οἶκος Ἰσραὴλ ἀναμεμιγμένοι πάντες χαλκῷ καὶ σιδήρῳ," καὶ τὰ ἑξῆς, ἕως τοῦ· „καὶ ἐπιγνώσεσθε, διότι[4]) ἐγὼ κύριος ἐξέχεα τὸν θυμόν μου ἐφ' ὑμᾶς."

14. „Συνήκατε[5]) ταῦτα πάντα; Λέγουσι· ναί." Ὁ γινώσκων[6]) τὰ ἐν ταῖς καρδίαις τῶν ἀνθρώπων Χριστὸς Ἰησοῦς, ὡς καὶ περὶ τούτου ἐδίδαξεν ἐν τῷ εὐαγγελίῳ ὁ Ἰωάννης, οὐκ ἀγνοῶν ἐρωτᾷ, ἀλλ' ἅπαξ ἀναλαβὼν ἄνθρωπον, χρῆται καὶ τοῖς αὐτοῦ πᾶσιν, ὧν ἓν καὶ τὸ[7]) ἐρωτᾷν. Καὶ οὐ θαυμαστὸν, εἰ ὁ Σωτὴρ τοῦτο ποιεῖ, ὅπου γε καὶ ὁ τῶν ὅλων[8]) θεὸς, τροποφορῶν τοὺς ἀνθρώπους, ὡς εἴ τις τροποφορήσαι ἄνθρωπος τὸν υἱὸν αὐτοῦ, πυνθάνεται, ὡς ἐν τῷ· „Ἀδὰμ,[9]) ποῦ εἶ;" καί· „ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου;" Βιασάμενος δέ τις ἐνταῦθα φήσει, οὐκ ἐρωτηματικῶς εἰρη-

---

[1]) H. et R. minus accurate, ille ἰχθύς, hic ἰσχῦς.

[2]) H. et R. h. l., cfr. pag. 29. lin. 10., Ἰεζεχιήλ.

[3]) Ezech. XXII, 17. 18. — 22.

[4]) H. ad marg. „Cod. Reg. ὅτε (min. accurate? pro ὅτι)," R. in notis: „„ὅτι.""

[5]) Matth. XIII, 51. Ed. Knapp. λέγουσιν αὐτῷ· Ναὶ, κύριε, ed. Lachm. λέγουσιν αὐτῷ· Ναί.

[6]) Ev. Joann. II, 25.

[7]) Deest τό in ed. Huetii.

[8]) H. ad marg., R. in notis: „Cod. Reg. ἀγγέλων."

[9]) Gen. III, 9. — IV, 9.

σθαι, ἀλλὰ ἀποφαντικῶς, τό· „συνήκατε.“ Ἐρεῖ δ' ὅτι καὶ οἱ μαθηταὶ, μαρτυροῦντες αὐτοῦ τῇ[1]) ἀποφάσει, λέγουσιν αὐτῷ τό· „ναί.“ Πλὴν εἴτε ἐρωτᾷ, εἴτε ἀποφαίνεται, ἀναγκαίως λέγεται, οὐ τὸ „ταῦτα“ μόνον, δεικτικὸν ὄν, οὐδὲ τὸ „πάντα“ μόνον, ἀλλὰ τό· „ταῦτα πάντα.“ Ἔοικε δὲ νῦν τοὺς μαθητὰς παριστάναι πρὸ τῆς τῶν οὐρανῶν βασιλείας γραμματεῖς[2]) γεγονέναι· ἀλλὰ τούτῳ ἐναντιώσεται τὸ ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων τοῦτον εἰρημένον τὸν τρόπον· „θεωροῦντες[3]) δὲ τὴν τοῦ[4]) Πέτρου παῤῥησίαν καὶ Ἰωάννου, καὶ καταλαβόντες, ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον, ἐπεγίνωσκόν τε αὐτοὺς, ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν.“ Ἐπιζητήσαι τις οὖν πρὸς ταῦτα· εἰ μὲν γραμματεῖς ἦσαν, πῶς ἀγράμματοι ἐν ταῖς Πράξεσι λέγονται καὶ ἰδιῶται; εἰ δ' ἦσαν ἀγράμματοι καὶ ἰδιῶται, πῶς σαφέστατα γραμματεῖς ὑπὸ τοῦ Σωτῆρος ὀνομάζονται; Λεχθείη δ' ἂν εἰς τὰ ἐζητημένα, ὅτι ἤτοι οὐ πάντες, ἀλλὰ Πέτρος καὶ Ἰωάννης ἀγράμματοι καὶ ἰδιῶται ἐν ταῖς Πράξεσιν εἴρηνται, πλείονες δ' ἦσαν οἱ μαθηταὶ, ἐφ' οἷς συνιεῖσι πάντα λέλεκται τό· „πᾶς γραμματεὺς,“ καὶ τὰ ἑξῆς· ἢ γραμματεὺς πᾶς ὁ μεμαθητευμένος τῇ κατὰ τὸ γράμμα τοῦ νόμου διδασκαλίᾳ ὀνομάζεται, ὡς καὶ τοὺς ἀγραμμάτους μὲν καὶ ἰδιώτας, ἀγομένους δὲ ὑπὸ[5]) τῷ τοῦ νόμου γράμματι, γραμματεῖς λέγεσθαι κατά τι σημαινόμενον. Καὶ ἰδιωτῶν γε μάλιστά ἐστι, μὴ εἰδότων τροπολογεῖν, μηδὲ συνιέν-

---

[1]) Unus e Codd., quos Tarinus vidit, habebat τὴν ἀπόφασιν. R.

[2]) Matth. XIII, 52.

[3]) Act. IV, 13. Edd. N. T. καταλαβόμενοι pro καταλαβόντες.

[4]) Deest τοῦ in edd. H. et R.

[5]) H. ad marg., R. in notis: „Cod. Reg. ὑπὸ τὸ τοῦ νόμου γράμμα.“

των τὰ τῆς ἀναγωγῆς τῶν γραφῶν, ἀλλὰ τῷ γράμματι ψιλῷ πιστευόντων, καὶ τοῦτο ἐκδικούντων, τὸ χρηματίζειν αὐτοὺς γραμματεῖς. Οὕτως δέ τις διηγήσεται καὶ τό· „οὐαὶ [1]) ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί·" ὡς παντὶ εἰρημένον τῷ πλὴν τοῦ γράμματος μηδὲν ἐπισταμένῳ. Ἔνθα ζητήσεις, εἰ ὥσπερ νομικὸς γραμματεὺς, οὕτως ἐστὶ καὶ εὐαγγελικὸς, καὶ ὥσπερ τὸν νόμον ἀναγινώσκων, καὶ ἀκούων, καὶ λέγων, ἅτινά ἐστιν [2]) ἀλληγορούμενα, οὕτω καὶ τὸ εὐαγγέλιον, ὡς εἰδέναι, τηρουμένης τῆς κατὰ τὰ γενόμενα ἱστορίας, τὴν ἐπὶ τὰ πνευματικὰ ἄπταιστον ἀναγωγὴν, ἵνα μὴ ᾖ μαθήματα πνευματικὰ [3]) πονηρίας, ἀλλ', ἐναντίως ἔχοντα πνευματικοῖς πονηρίας, πνευματικὰ ἀγαθότητος. Μαθητεύεται δὲ τῇ βασιλείᾳ τῶν οὐρανῶν γραμματεὺς, κατὰ μὲν τὸ ἁπλούστερον, ὅτε ἀπὸ Ἰουδαϊσμοῦ ἀναλαμβάνει τις τὴν Ἰησοῦ Χριστοῦ ἐκκλησιαστικὴν διδασκαλίαν· κατὰ δὲ τὸ βαθύτερον, ὅτε τὰς διὰ τοῦ γράμματος τῶν γραφῶν εἰσαγωγὰς παραλαβών τις ἀναβαίνει ἐπὶ τὰ πνευματικὰ, ὀνομαζόμενα βασιλείαν τῶν οὐρανῶν. Καὶ καθ' ἕκαστόν γε διανόημα ἐπιτυγχανόμενον, καὶ ἐπαναβεβηκότως νοηθὲν, καὶ παραδειχθὲν, καὶ ἀποδειχθὲν, ἔστι νοῆσαι βασιλείαν οὐρανοῦ, ὡς, τὸν περισσεύοντα τῇ ἀψευδεῖ γνώσει, ἐν τῇ βασιλείᾳ γίνεσθαι τοῦ πλήθους τῶν οὕτως ἀποδεδομένων οὐρανῶν. Οὕτω δὲ καὶ τροπολογήσεις τό· „μετανοεῖτε· ἤγγικε [4]) γὰρ ἡ βασιλεία τῶν οὐρανῶν·" ἵν' οἱ γραμματεῖς, τουτέστιν οἱ τῷ γράμματι ψιλῷ προσαναπαυόμενοι, μετανοοῦντες ἀπὸ τῆς τοιαύτης ἐκδοχῆς, μαθητεύωνται [5]) τῇ διὰ Ἰησοῦ Χριστοῦ, τοῦ ἐμψύχου Λόγου, πνευμα-

---

[1]) Matth. XXIII, 13. coll. Luc. XI, 44.
[2]) Gal. IV, 24.
[3]) Ephes. VI, 12.
[4]) Matth. III, 2. et IV, 17. coll. Luc. X, 11.
[5]) Ed. R. μαθητεύονται.

τικῇ διδασκαλίᾳ, καλουμένῃ βασιλείᾳ οὐρανῶν. Διὰ τοῦτο καὶ, ὅσον μὲν Ἰησοῦς Χριστὸς, ὁ ἐν ἀρχῇ πρὸς τὸν Θεὸν Θεὸς Λόγος, οὐκ ἐπιδημεῖ ψυχῇ, οὐκ ἔστιν ἐν ἐκείνῃ ἡ βασιλεία τῶν οὐρανῶν· ὅταν δὲ ἐγγύς τις[1]) γένηται τοῦ χωρῆσαι τὸν Λόγον, τούτῳ ἐγγίζει ἡ βασιλεία τῶν οὐρανῶν. Εἰ δὲ ταὐτόν ἐστιν ὑποστάσει, εἰ καὶ[2]) μὴ ἐπινοίᾳ, βασιλεία οὐρανῶν καὶ βασιλεία θεοῦ, δηλονότι πρὸς οὓς λέγεται· „ἡ βασιλεία[3]) τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστι·“ πρὸς τούτους ἂν λέγοιτο καὶ τό· ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστι· καὶ μάλιστα διὰ τὴν ἀπὸ τοῦ γράμματος ἐπὶ τὸ πνεῦμα μετάνοιαν· ὅτι[4]) ἡνίκα[5]) ἂν ἐπιστρέψῃ τις πρὸς κύριον, περιαιρεῖται τὸ ἐπὶ τῷ γράμματι κάλυμμα· ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν. Ὁ δε ἀληθῶς οἰκοδεσπότης, καὶ ἐλεύθερός ἐστι καὶ πλούσιος· πλουτῶν διὰ τὸ ἀπὸ γραμματείας μεμαθητεῦσθαι τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἐν παντὶ λόγῳ τῷ παρὰ τῆς παλαιᾶς διαθήκης, καὶ ἐν πάσῃ γνώσει τῇ περὶ τῆς καινῆς Χριστοῦ Ἰησοῦ διδασκαλίας, καὶ τὸν πλοῦτον τοῦτον ἔχων ἀποκείμενον ἐν τῷ αὐτοῦ θησαυρῷ, ᾧ θησαυρίζει, ὡς βασιλείᾳ μεμαθητευθεὶς τῶν οὐρανῶν, ἐν οὐρανῷ, ὅπου[6]) οὔτε σὴς ἀφανίζει, οὔτε κλέπται διορύσσουσι. Καὶ ἔστι γε ἀληθῶς ὁρίσασθαι περὶ τοῦ, ὡς ἀποδεδώκαμεν, ἐν οὐρανοῖς θησαυρίζοντος, ὅτι οὐδὲ εἷς σὴς τῶν παθῶν ἅψασθαι αὐτοῦ τῶν πνευματικῶν καὶ οὐρανίων δύναται

---

1) Deest τις in ed. R.

2) H. et R. in textu rectissime: εἰ καὶ μὴ ἐπινοίᾳ. Iidem in notis: „Erasmus: *quod si in re nullum est discrimen, atque etiam sensu*: videtur legisse: εἰ καὶ ἐπινοίᾳ.“

3) Luc. XVII, 21.

4) H. et R. in textu: ὅτε; iidem tamen, H. ad marg. „scrib.,“ R. in notis: „„forte scribendum: ὅτι.“ “

5) II Cor. III, 16. — 17. coll. edd. N. T.

6) Matth. VI, 20.

χρημάτων. Σὴς δὲ τῶν παθῶν εἶπον, λαβὼν ἀφορμὴν ἀπὸ τῶν παροιμιῶν, ἐν αἷς γέγραπται· „ὥσπερ [1]) ἐν ξύλῳ σκώληξ, οὕτως λύπη ἀνδρὸς βλάπτει καρδίαν·“ σκώληξ γὰρ καὶ σής ἐστιν ἡ λύπη, βλάπτουσα καρδίαν, τὴν μὴ ἐν οὐρανοῖς καὶ τοῖς πνευματικοῖς ἔχουσαν τοὺς θησαυροὺς, ἐν οἷς ἐάν τις θησαυρίζῃ, — ἐπεὶ ὅπου [2]) ὁ θησαυρὸς, ἐκεῖ καὶ ἡ καρδία —, ἐν οὐρανοῖς ἔχει τὴν καρδίαν, καὶ δι' αὐτὴν λέγει· „ἐὰν [3]) παρατάξηται ἐπ' ἐμὲ παρεμβολὴ, οὐ φοβηθήσεται ἡ καρδία μου.“ Οὕτω δὲ οὐδὲ κλέπται, περὶ ὧν εἶπεν ὁ Σωτὴρ, ὅτι „πάντες [4]) ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καὶ λησταί·“ διορύσσειν δύνανται τὰ ἐν οὐρανοῖς τεθησαυρισμένα, καὶ τὴν παροῦσαν αὐτοῖς καρδίαν, καὶ διὰ τοῦτο λέγουσαν· „συνήγειρε, [5]) καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ·“ καί· „ἡμῶν [6]) δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει.“

15. *Ἐπεὶ δὲ „πᾶς [7]) γραμματεὺς, μαθητευθεὶς τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδε-*

---

[1]) Prov. XXV, 20., ubi in LXX. virorum versione plura leguntur, haecce: *ὥσπερ σὴς ἐν ἱματίῳ καὶ σκώληξ ξύλῳ, οὕτως κ. τ. λ.* Quae quidem singula, male, ut videtur, loco nostro omissa, jure restitueris.

[2]) Matth. VI, 21. Luc. XII, 34.

[3]) Psalm. XXVII, 3. (XXVI.).

[4]) Ev. Joann. X, 8.

[5]) Ephes. II, 6. Deest *ἡμᾶς* post voc. *συνεκάθισεν* in edd. N. T., verbo autem *Χριστῷ* adjectum in iisdem legitur: *Ἰησοῦ*.

[6]) Philipp. III, 20. Edd. N. T. *γάρ* pro *δέ* exhibent.

[7]) Matth. XIII, 52. Ed. Knapp., ut nos, *τῇ βασιλ.*, ed. Lachm. *ἐν τῇ βασιλείᾳ*. Utraque porro editio *ἐκβάλλει* habet pro *προφέρει*; in fine denique ed. Knapp. *θησαυροῦ αὐτοῦ*, ed. Lachm., ut in nostro textu, *θησ. αὐτοῦ* exhibet.

σπότῃ, ὅστις [1]) προφέρει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά·" δηλονότι καὶ, κατὰ τὴν καλουμένην τῆς προτάσεως ἀντιστροφὴν, πᾶς ὅστις μὴ [2]) προφέρει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ, καὶ παλαιὰ, οὐκ ἔστι γραμματεὺς μαθητευθεὶς τῇ βασιλείᾳ τῶν οὐρανῶν. Συνάγειν οὖν παντὶ τρόπῳ πειρατέον ἐν τῇ καρδίᾳ ἡμῶν διὰ τοῦ προσέχειν τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ, καὶ ἐν τῷ νόμῳ [3]) κυρίου μελετᾷν ἡμέρας καὶ νυκτὸς, οὐ μόνον τὰ καινὰ τῶν εὐαγγελίων, καὶ τῶν ἀποστόλων, καὶ τῆς ἀποκαλύψεως αὐτῶν λόγια, ἀλλὰ καὶ παλαιὰ τοῦ σκιὰν ἔχοντος τῶν μελλόντων ἀγαθῶν νόμου, καὶ τῶν ἀκολούθως αὐτοῖς προφητευσάντων προφητῶν. Συναχθήσεται δὲ ταῦτα, ἐπὰν καὶ ἀναγινώσκωμεν καὶ γινώσκωμεν, καὶ μεμνημένοι [4]) τούτων πνευματικὰ πνευματικοῖς εὐκαίρως συγκρίνωμεν, [5]) οὐ τὰ ἀσύγκριτα πρὸς ἄλληλα συγκρίνοντες, ἀλλὰ συγκριτὰ, καὶ ὁμοιότητά τινα ἔχοντα λέξεως ταὐτὸν σημαινούσης, καὶ νοημάτων, καὶ δογμάτων, ἵν' ἐπὶ στόματος δύο, ἢ τριῶν, ἢ καὶ πλειόνων μαρτύρων τῶν ἀπὸ τῆς γραφῆς στήσωμεν καὶ βεβαιώσωμεν πᾶν ῥῆμα τοῦ θεοῦ. Καὶ διὰ τούτων δὲ δυσωπητέον τοὺς ὅσον ἐφ' ἑαυτοῖς τὴν θεότητα διαιροῦντας, καὶ διακόπτοντας ἀπὸ τῶν παλαιῶν τὰ καινὰ, ὡς μακρὰν τυγχάνοντας τῆς πρὸς τὸν οἰκοδεσπότην ὁμοιώσεως, προφέροντα ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά. Ἐπεὶ δὲ ὁ [6]) ὁμοι-

---

[1]) Verba: ὅστις προφ. ἐκ τ. θησ. αὐτ. καινὰ κ. παλαιά in ed. H. accurate expressa leguntur, in ed. tamen R. eadem prorsus desiderantur.

[2]) Recte μή adest in ed. H., male idem omittitur in ed. R.

[3]) Psalm. I, 2.

[4]) H. ad marg., R. in notis: „Cod. Reg. μιμνησκόμενοι."

[5]) Ed. R. recte συγκρίνωμεν, ed. H. συγκρίνομεν.

[6]) Deest ὁ in edd. H. et R.

ούμενός τινι, ἕτερός ἐστι παρ᾽ ἐκεῖνον ᾧ ὁμοιοῦται, ἔσται ὁ μὲν μαθητευθεὶς τῇ βασιλείᾳ τῶν οὐρανῶν γραμματεὺς ὁ ὁμοιούμενος, ἕτερος δὲ παρὰ τοῦτον ὁ οἰκοδεσπότης, ὃς προφέρει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά. Ὁ δὲ ὁμοιούμενος αὐτῷ, ὡς τοῦτον μιμούμενος, τὸ παραπλήσιον ποιεῖν βούλεται. Μήποτε οὖν ὁ μὲν οἰκοδεσπότης ἄνθρωπος, αὐτός ἐστιν ὁ Ἰησοῦς, προφέρων ἐκ τοῦ θησαυροῦ αὐτοῦ, κατὰ τὸν καιρὸν τῆς διδασκαλίας,[1]) *καινὰ μὲν, τὰ πνευματικὰ, καὶ ἀεὶ ἀνακαινούμενα ὑπ᾽ αὐτοῦ ἐν τῷ ἔσω τῶν δικαίων ἀνθρώπῳ, καὶ αὐτῶν*[2]) *ἀνακαινουμένων ἀεὶ ἡμέρᾳ*[3]) *καὶ ἡμέρᾳ· παλαιὰ δὲ, τὰ ἐν γράμμασιν ἐντετυπωμένα λίθοις, καὶ λιθίναις καρδίαις τοῦ παλαιοῦ ἀνθρώπου, ἵνα τῇ συγκρίσει τοῦ γράμματος, καὶ τῇ παραστάσει τοῦ πνεύματος, πλουτίσῃ τὸν μαθητευθέντα τῇ βασιλείᾳ τῶν οὐρανῶν γραμματέα, καὶ ποιήσῃ ἑαυτῷ ὅμοιον, ἕως ὁ μαθητὴς γένηται ὡς ὁ διδάσκαλος, μιμούμενος πρῶτον τὸν μιμητὴν τοῦ Χριστοῦ, μετὰ δὲ τοῦτον καὶ αὐτὸν τὸν Χριστὸν, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Παύλου· „μιμηταί*[4]) *μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ.“ Δύναται δὲ καὶ ἁπλούστερον Ἰησοῦς ὁ οἰκοδεσπότης προφέρειν ἐκ τοῦ θησαυροῦ αὐτοῦ, καινὰ μὲν, τὴν εὐαγγελικὴν διδασκαλίαν, παλαιὰ δὲ, τὴν σύγκρισιν τῶν ἀπὸ νόμου καὶ προφητῶν παραλαμβανομένων ῥητῶν, ὧν παραδείγματά ἐστιν ἐν τοῖς εὐαγγελίοις εὑρεῖν. Περὶ δὲ τούτων τῶν παλαιῶν καὶ καινῶν ἀκουστέον καὶ τοῦ πνευματικοῦ νόμου, λέγοντος ἐν Λευιτικῷ· „καὶ*[5]) *φάγεσθε παλαιὰ, καὶ παλαιὰ παλαιῶν, καὶ πα-*

---

[1]) H. et R. h. l. *διδασκαλείας*.

[2]) Deest quidem *αὐτῶν* in edd. H. et R., idem tamen vocabulum Huetius legisse videtur, quum vertat: *qui et ipsi renovantur* etc.

[3]) II Cor. IV, 16.

[4]) I Cor. XI, 1.

[5]) Levit. XXVI, 10.

λαιὰ ἐκ προσώπου νέων ἐξοίσετε.[1]) Καὶ θήσω τὴν σκηνήν μου ἐν ὑμῖν.“ Ἐσθίομεν γὰρ ἐν εὐλογίᾳ τὰ παλαιά,[2]) τοὺς προφητικοὺς λόγους, καὶ τούτων παλαιῶν τὰ παλαιά, τοὺς νομικούς· καὶ ἐλθόντων τῶν νέων καὶ εὐαγγελικῶν, βιοῦντες κατὰ τὸ εὐαγγέλιον τὰ παλαιὰ τοῦ γράμματος ἐκ προσώπου νέων ἐκφέρομεν, καὶ τίθησι τὴν ἑαυτοῦ σκηνὴν ἐν ἡμῖν, πληρῶν ἣν εἶπεν ἐπαγγελίαν· „ἐνοικήσω καὶ[3]) ἐμπεριπατήσω ἐν αὐτοῖς.“

16. „Καὶ ἐγένετο[4]) ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς ταύτας, μετῆρεν ἐκεῖθεν. Καὶ ἐλθὼν εἰς τὴν πατρίδα[5]) αὐτοῦ.“ Ἐπεὶ ἐν τοῖς ἀνωτέρω ἐξητάσαμεν, μήποτε τὰ μὲν τοῖς ὄχλοις λελαλημένα παραβολαὶ ἦσαν, τὰ δὲ τοῖς μαθηταῖς ὁμοιότητες, καὶ τὰς εἰς τοῦτο ὑποπεσούσας παρατηρήσεις ἐξεθέμεθα, ὡς οἶμαι, οὐκ εὐκαταφρονήτους τυγχανούσας, χρὴ εἰδέναι, ὅτι δόξει ἐκείνοις πᾶσιν ἐναντιοῦσθαι τὸ ἐπιλέγεσθαι οὐκ ἐπὶ ταῖς παραβολαῖς μόνον, ἀλλὰ καὶ ἐπὶ ταῖς, ὡς ἐξεδώκαμεν, ὁμοιότησι, τό· „καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς ταύτας, μετῆρεν ἐκεῖθεν.“ Ζητοῦμεν οὖν, πότερον ἐκεῖνα πάντα ἀθετητέον, ἢ δύο γένη παραβολῶν λεκτέον, τῶν τε τοῖς ὄχλοις λαλουμένων, καὶ τῶν τοῖς μαθηταῖς ἐπαγγελλομένων· ἢ καὶ ὁμώνυμον τὸ τῆς παραβολῆς ὄνομα νομιστέον· ἢ τό· „καὶ[6]) ἐγένετο ὅτε

---

[1]) H. in textu: ἐξοίσεται, ad marg. recte: „scrib. ἐξοίσετε.“

[2]) H. ad marg., R. in notis: „Cod. Reg. πνευματικά.“

[3]) II Cor. VI, 16. coll. edd. N. T. et Levit. XXVI, 12.

[4]) Matth. XIII, 53. 54. Ed. Knapp. μετῆρεν et αὐτοῦ, ed. Lachm., ut edd. H. et R., μετῆρεν atque αὐτοῦ.

[5]) De verbis, quae voc. αὐτοῦ in edd. N. T. sequuntur: ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν, cfr. pag. 43. lin. 9. et 10. a fine textus.

[6]) Deest h. l. καί in edd. H. et R. Cfr. pag. huj. lin. 10. et 19. et pag. 43. not. 2.

ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς ταύτας·“ ἐπὶ τὰς ἀνωτέρω παραβολὰς μόνας τὰς πρὸ τῶν ὁμοιώσεων ἀνενεκτέον. Διὰ γάρ τό· „ὑμῖν δέδοται[1]) γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν· τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς·“ οὐχ οἷόντε λέγειν τοῖς μαθηταῖς, ἅτε οὐκ οὖσι τῶν ἔξω, ἐν παραβολαῖς ἐκείνοις τὸν Σωτῆρα λελαληκέναι. Τούτῳ δὲ ἀκολουθεῖ, ἤτοι τό· „καὶ[2]) ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς ταύτας, μετῆρεν ἐκεῖθεν·“ ἀναφέρεσθαι ἐπὶ τὰς ἀνωτάτω εἰρημένας παραβολὰς, ἢ ὁμώνυμον εἶναι τὸ τῆς παραβολῆς ὄνομα, ἢ δύο γένη εἶναι παραβολῶν, ἢ μηδ' ὅλως εἶναι παραβολὰς, ἃς ὠνομάσαμεν[3]) ὁμοιώσεις. Πρόσχες δὲ, ὅτι ἔξω τῆς πατρίδος ἑαυτοῦ λέγει τὰς παραβολὰς, ἃς „ὅτε[4]) ἐτέλεσε, μετῆρεν ἐκεῖθεν. Καὶ ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ,[5]) ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν·“ καὶ ὁ Μάρκος δέ φησι· „καὶ ἦλθεν[6]) εἰς τὴν πατρίδα αὐτοῦ, καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ.“ Ζητητέον οὖν καὶ κατὰ τὴν λέξιν, πότερον Νάζαρα[7]) λέγει τὴν πατρίδα αὐτοῦ, ἢ Βηθλεέμ· Νάζαρα μὲν, διὰ τό· „Ναζωραῖος[8]) κληθήσεται·“ Βηθλεὲμ δὲ, ἐπεὶ ἐν αὐτῇ γεγένηται. Ἔτι δὲ ἐφίστημι, μήποτε δυνάμενοι οἱ εὐαγγελισταὶ εἰπεῖν· ἐλθὼν εἰς Βηθλεέμ· ἤ· ἐλθὼν εἰς Νάζαρα. Τοῦτο μὲν οὐ πεποιήκασι, πατρίδα δὲ ὠνομάκασι, διά τι μυστικῶς ἐν τῷ τόπῳ περὶ τῆς

---

1) Luc. VIII, 10. coll. Matth. XIII, 11. et Marc. IV, 11.

2) Deest h. l. *καί* in edd. H. et R. Cfr. pag. 42. not. 6.

3) H. et R. minus accurate, ille *ἃς ὀνομάσαμεν*, hic *ἃ ὠνομάσαμεν*.

4) Matth. XIII, 53. 54. coll. pag. 42. not. 4. et 5.

5) Ed. H. h. l. *αὐτοῦ*. Cfr. pag. 42. not. 4.

6) Marc. VI, 1. Ed. Knapp. *πατρίδα αὐτοῦ*, ed. Lachm., ut in nostro textu, *πατρίδα αὐτοῦ*.

7) H. et R. h. l. et seqq. constanter *Νάζαρα*.

8) Ed. H. *Ναζαραῖος*. Cfr. Matth. II, 23.

πατρίδος αὐτοῦ δηλούμενον, ὅλης τῆς Ἰουδαίας, ἐν ᾗ ἠτίμωται κατὰ τό· „οὐκ[1]) *ἔστι προφήτης ἄτιμος,*[2]) *εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ.“ Καὶ ἐάν τίς γε κατανοήσῃ Ἰησοῦν Χριστὸν, Ἰουδαίοις*[3]) *μὲν σκάνδαλον, παρ' οἷς μέχρι τοῦ νῦν διώκεται, ἐν δὲ τοῖς ἔθνεσι κηρυσσόμενον, καὶ πεπιστευμένον, — ἕως γὰρ πάσης τῆς γῆς ἔδραμεν ὁ λόγος αὐτοῦ —, ὄψεται ὅτι Ἰησοῦς ἐν μὲν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ εἶχε, παρὰ δὲ τοῖς ξένοις*[4]) *τῶν διαθηκῶν τιμᾶται, τοῖς ἔθνεσι. Τίνα δὲ διδάσκων ἔλεγεν ἐν τῇ συναγωγῇ αὐτῶν, οὐκ ἀναγεγράφασιν οἱ εὐαγγελισταὶ, ἀλλ' ὅτι τηλικαῦτα καὶ τοιαῦτα ἦν, ὥστε ἐκπλήττεσθαι*[5]) *πάντας. Καὶ εἰκὸς, ὅτι ὑπὲρ γραφὴν ἦν τὰ εἰρημένα. Πλὴν ἐν τῇ συναγωγῇ αὐτῶν ἐδίδασκεν, οὐ σχίζων ἀπ' αὐτῆς, οὐδὲ ἀθετῶν αὐτήν.*

17. *Τὸ δέ· „τούτῳ*[6]) *πόθεν ἡ σοφία αὕτη;“ πλείονα σαφῶς ἐμφαίνει καὶ ἐξαίρετον σοφίαν τῶν λόγων τοῦ Ἰησοῦ, ἀξίαν τοῦ· „καὶ ἰδοὺ*[7]) *πλεῖον Σολομῶντος ὧδε,“ καὶ δυνάμεις*[8]) *μείζους ἐποίει τῶν ἐν Ἠλίᾳ*[9]) *καὶ ἐν Ἐλισσαίῳ, καὶ ἔτι πρότερον*[10]) *ἐν Μωυσῇ, καὶ*

---

[1]) Matth. XIII, 57. Ed. Knapp. *ἐν τ. πατρίδι αὐτοῦ, καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ*, ed. Lachm. *ἐν τῇ πατρίδι καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ.*

[2]) *ἄτιμος.* Ex ed. Huet. exciderat haec vox, quae suppletur ex omnibus Mss.

[3]) I Cor. I, 23.

[4]) Ephes. II, 12.

[5]) Matth. XIII, 54.

[6]) Matth. XIII, 54. Edd. N. T. *πόθεν τούτῳ* pro *τούτῳ πόθεν.*

[7]) Ibid. XII, 42.

[8]) H. absque causa in notis: „*δυνάμεις κ. τ. λ.* Haec proferre videtur tanquam e N. T., quae in eo tamen non reperiuntur.“

[9]) Ed. H. *ἐν Ἠλίᾳ*, ed. R. h. l. *ἐν Ἐλίᾳ.*

[10]) H. in textu: *πρὸ τοῦ*, ad marg.: „Cod. Reg. *πρό-*

Ἰησοῦ τοῦ Ναυῆ. Ἔλεγον δὲ οἱ θαυμάζοντες, οὐκ εἰδότες αὐτὸν παρθένου υἱὸν, οὐδὲ πιστεύοντες, εἰ καὶ ἐλέγετο, ἀλλ' ὑπολαμβάνοντες εἶναι Ἰωσὴφ τοῦ τέκτονος· „οὐχ οὗτός ἐστιν[1]) ὁ τοῦ τέκτονος υἱός;“ Καὶ ὅλην γε τὴν φαινομένην αὐτοῦ ἐγγυτάτω συγγένειαν ἐξευτελίζοντες, ἔφασκον τό· „οὐχ[2]) ἡ μήτηρ αὐτοῦ λέγεται Μαριάμ; καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσὴφ καὶ Σίμων καὶ Ἰούδας; καὶ αἱ ἀδελφαὶ αὐτοῦ, οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσίν; ᾤοντο[3]) οὖν αὐτὸν εἶναι Ἰωσὴφ καὶ Μαρίας υἱόν· τοὺς δὲ ἀδελφοὺς Ἰησοῦ φασί τινες εἶναι, ἐκ παραδόσεως ὁρμώμενοι τοῦ ἐπιγεγραμμένου κατὰ Πέτρον εὐαγγελίου, ἢ τῆς βίβλου Ἰακώβου, υἱοὺς Ἰωσὴφ ἐκ προτέρας γυναικὸς, συνῳκηκυίας αὐτῷ πρὸ τῆς Μαρίας. Οἱ δὲ ταῦτα λέγοντες, τὸ ἀξίωμα τῆς

τερον;“ R. in textu πρότερον, in notis: „„Cod. Holmiensis: καὶ ἔτι πρὸ τοῦ ἐν Μωσῇ (non Μωυσῇ).““

[1]) Matth. XIII, 55.

[2]) Ibid. XIII, 55. 56. Ed. Lachm., ut in nostro textu, vers. 55. οὐχ ἡ μήτηρ κ. τ. λ. et καὶ Ἰωσήφ, ed. Knapp. οὐχὶ ἡ μήτηρ κ. τ. λ. et καὶ Ἰωσῆς.

[3]) H. in addendis, quae R. quoque in addendis et corrigendis affert: „Origenes in Catena Corderiana in Joann., ad cap. II, 12. Ζητεῖται παρὰ πολλοῖς περὶ τῶν ἀδελφῶν Ἰησοῦ, πῶς εἶχε τούτους, τῆς Μαρίας μέχρι τελευτῆς παρθένου διαμεινάσης. Ἀδελφοὺς μὲν οὐκ εἶχε φύσει, οὔτε τῆς παρθένου τεκούσης ἕτερον, οὐδὲ αὐτὸς ἐκ τοῦ Ἰωσὴφ τυγχάνων. Νόμῳ τοιγαροῦν ἐχρημάτισαν αὐτοῦ ἀδελφοὶ, υἱοὶ Ἰωσὴφ ὄντες ἐκ προτεθνηκυίας γυναικὸς, καὶ ἐπεὶ καθ' ὁμολογίας γυνὴ αὐτοῦ ἡ Μαριὰμ ἐχρημάτισε. Τοῦτο γὰρ ὁ Μωϋσέως διδάσκει νόμος, μοιχείας τιμωρίαν ἐπάγων κατὰ τοῦ ἐπιβαίνοντος μνηστευθείσῃ παρθένῳ· ἐπιφέρεται γὰρ τό· ἀνθ' ὧν ἐταπείνωσε τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ, τὴν κατεγγυηθεῖσαν αὐτῷ παρθένον γυναῖκα λέγων. Ἀκολούθως τῇ τοιαύτῃ διατάξει ἀδελφοὶ τοῦ Ἰησοῦ εἴρηνται οἱ ἐκ τοῦ Ἰωσήφ, εἰ καὶ αὐτὸς ἐξ αὐτοῦ μὴ τυγχάνει.“

Μαρίας ἐν παρθενίᾳ τηρεῖν μέχρι τέλους βούλονται, ἵνα μὴ τὸ κριθὲν ἐκεῖνο σῶμα διακονήσασθαι τῷ εἰπόντι Λόγῳ· „πνεῦμα[1]) ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι·“ γνῷ κοίτην ἀνδρὸς μετὰ τὸ ἐπελθεῖν ἐν αὐτῇ πνεῦμα ἅγιον, καὶ τὴν ἐπισκιάκυῖαν αὐτῇ δύναμιν ἐξ ὕψους. Καὶ οἶμαι λόγον ἔχειν, ἀνδρῶν μὲν καθαρότητος τῆς ἐν ἁγνείᾳ ἀπαρχὴν γεγονέναι τὸν Ἰησοῦν, γυναικῶν δὲ τὴν Μαριάμ· οὐ γὰρ εὔφημον, ἄλλῃ[2]) παρ' ἐκείνην τὴν ἀπαρχὴν τῆς παρθενίας ἐπιγράψασθαι. Ἰάκωβος δέ ἐστιν οὗτος, ὃν λέγει Παῦλος ἰδεῖν ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ εἰπών· „ἕτερον[3]) δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου.“ Ἐπὶ τοσοῦτον δὲ διέλαμψεν οὗτος ὁ Ἰάκωβος ἐν τῷ λαῷ ἐπὶ δικαιοσύνῃ, ὡς Φλάβιον Ἰώσηπον ἀναγράψαντα ἐν εἴκοσι βιβλίοις τὴν Ἰουδαϊκὴν ἀρχαιολογίαν, τὴν αἰτίαν παραστῆσαι βουλόμενον τοῦ τὰ τοσαῦτα πεπονθέναι τὸν λαὸν, ὡς καὶ τὸν ναὸν κατασκαφῆναι, εἰρηκέναι κατὰ μῆνιν Θεοῦ ταῦτα αὐτοῖς ἀπηντηκέναι, διὰ τὰ εἰς Ἰάκωβον, τὸν ἀδελφὸν Ἰησοῦ τοῦ λεγομένου Χριστοῦ, ὑπ' αὐτῶν τετολμημένα. Καὶ τὸ[4]) θαυμαστόν ἐστιν, ὅτι τὸν Ἰησοῦν ἡμῶν οὐ καταδεξάμενος εἶναι Χριστὸν, οὐδὲν ἧττον Ἰακώβῳ δικαιοσύνην ἐμαρτύρησε τοσαύτην. Λέγει δὲ, ὅτι καὶ ὁ λαὸς ταῦτα ἐνόμιζε διὰ τὸν Ἰάκωβον πεπονθέναι. Καὶ Ἰούδας ἔγραψεν ἐπιστολὴν, ὀλιγόστιχον μὲν, πεπληρωμένην δὲ τῶν τῆς οὐρανίου χάριτος ἐῤῥω-

---

[1]) Luc. I, 35. H. et R. h. l. *ἀπελεύσεται*. Cfr. pag. huj. lin. 5.

[2]) H. et R. in textu *ἄλλην*, H. tamen ad margin. „scrib.,“ R. in notis: „„forte scribendum: *ἄλλῃ*.““

[3]) Galat. I, 19.

[4]) H. et R. in textu: *καὶ τό κ. τ. λ.*, iidem tamen, ille ad marg., hic in notis: „forte scribendum: *καί τοι θαυμαστόν*, vel: *καὶ τοῦτο θαυμαστόν*.“

μένων λόγων, ὅστις ἐν τῷ προοιμίῳ εἴρηκεν· „Ἰούδας Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου.“ Περὶ δὲ Ἰωσὴφ, καὶ Σίμωνος, ἡμεῖς[1]) οὐδὲν ἱστορήσαμεν· τὸ δέ· „καὶ[2]) αἱ ἀδελφαὶ αὐτοῦ, οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσί;“ δοκεῖ μοι τοιοῦτόν τι σημαίνειν· τὰ ἡμέτερα φρονοῦσιν, οὐ τὰ τοῦ Ἰησοῦ, καὶ οὐδὲν ξένον ἔχουσιν ἐξαιρέτου συνέσεως, ὡς ὁ Ἰησοῦς. Μήποτε δὲ ἐμφαίνεται διὰ τούτων ἐπαπόρησις περὶ τοῦ· μηδὲ ἄνθρωπον εἶναι, ἀλλά τι θειότερον τὸν Ἰησοῦν, υἱὸν μὲν ὄντα, ὡς ὑπελάμβανον, Ἰωσὴφ καὶ Μαρίας, ἀδελφὸν δὲ τεσσάρων, οὐδὲν δ᾽ ἧττον καὶ ἑτέρων θηλειῶν, καὶ μηδὲν ἔχοντά τινι τῶν ἐκ γένους παραπλήσιον, μηδ᾽ ἐκ παιδεύσεως καὶ διδασκαλίας ἐπὶ τοσοῦτον σοφίας καὶ δυνάμεως ἐληλακότα. Καὶ γὰρ ἀλλαχοῦ λέγουσι· „πῶς[3]) οὗτος γράμματα οἶδε μὴ μεμαθηκώς;“ Ὧν παραπλήσιόν ἐστι καὶ τὸ ἐνταῦθα λεγόμενον. Πλὴν οἱ λέγοντες ταῦτα, καὶ ἐπὶ τοσοῦτον ἐπαποροῦντες καὶ ἐκπλησσόμενοι, οὐκ ἐπίστευον μὲν, ἐσκανδαλίζοντο[4]) δὲ ἐν αὐτῷ, ὡσεὶ τοὺς ὀφθαλμοὺς τῆς διανοίας κρατούμενοι ὑπὸ δυνάμεων, ἃς ἔμελλεν ἐν τῷ καιρῷ τοῦ πάθους θριαμβεύειν ἐν τῷ ξύλῳ.

18. „Ὁ δὲ Ἰησοῦς[5]) εἶπεν αὐτοῖς· οὐκ ἔστι προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ.“ Ζητητέον πότερον καθολικῶς ἴσον δύναται ἐπὶ πάντα προφήτην ἀναφερόμενον τὸ λεγόμενον, ὡς ἑκάστου τῶν προφητῶν ἐν τῇ ἰδίᾳ πατρίδι ἀτιμωθέντος μόνῃ, οὐ παντὸς τοῦ ἀτιμωθέντος ἐν τῇ πατρίδι ἀτιμωθέντος· ἤ, διὰ τὸ ἑνικῶς εἰρῆσθαι, περὶ ἑνὸς ταῦτα λέλεκται. Εἰ μὲν οὖν περὶ ἑνὸς ταῦτα λέγεται, ἀρκεῖ τὰ εἰρημένα, ἀναφερόν-

---

1) Deest ἡμεῖς in ed. R.
2) Matth. XIII, 56.
3) Ev. Joann. VII, 15. — H. et R. εἶδε pro οἶδε.
4) Matth. XIII, 57.
5) Matth. XIII, 57. coll. pag. 44. not. 1.

των ἡμῶν τὸ γεγραμμένον εἰς τὸν Σωτῆρα. Εἰ δὲ καθολικόν ἐστιν, ἀπὸ μὲν τῆς ἱστορίας οὐκ ἀληθές· οὔτε γὰρ Ἠλίας ἐν Θεσβὼν[1]) τῆς Γαλαὰδ ἠτιμώθη, οὔτε Ἐλισσαῖος ἐν Ἐβαλμαουλᾷ, οὔτε ὁ Σαμουὴλ ἐν Ἀρμαθαῒμ, οὐθ' Ἱερεμίας ἐν Ἀναθώθ. Τροπολογούμενον δὲ, καὶ πάνυ ἀληθές· χρὴ γὰρ πατρίδα νομίζειν αὐτῶν τὴν Ἰουδαίαν, καὶ συγγενεῖς τὸν Ἰσραὴλ ἐκεῖνον, οἰκίαν δὲ τάχα τὸ σῶμα. Ἠτιμώθησαν γὰρ πάντες ἐν τῇ Ἰουδαίᾳ ὑπὸ τοῦ κατὰ σάρκα Ἰσραὴλ, ἔτι ὄντες ἐν τῷ σώματι, ὡς ἐν ταῖς τῶν ἀποστόλων Πράξεσι γέγραπται ἐν ἐλεγμῷ λεγόμενον πρὸς τὸν λαόν· „τίνα[2]) γὰρ τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν, τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου;" Παρὰ δὲ τῷ Παύλῳ ἐν τῇ πρὸς Θεσσαλονικεῖς προτέρᾳ τὰ ὅμοια λέλεκται· „ὑμεῖς[3]) δὲ μιμηταὶ ἐγενήθητε, ἀδελφοὶ, τῶν ἐκκλησιῶν τοῦ θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ ἐν Χριστῷ Ἰησοῦ, ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων, τῶν καὶ τὸν κύριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων." Οὐκ ἔστιν οὖν προφήτης ἄτιμος ἐν τοῖς ἔθνεσιν· ἢ γὰρ οὐδ' ὅλως οἴδασιν αὐτὸν, ἢ μαθόντες, καὶ παραδεξάμενοι αὐτὸν προφήτην, τιμῶσι. Τοιοῦτοι δὲ οἱ ἀπὸ ἐκκλησίας. Ἀτιμάζονται δὲ οἱ προφῆται, πρῶτον μὲν, διωχθέντες κατὰ ἱστορίαν ὑπὸ τοῦ λαοῦ· δεύτερον δὲ, μὴ πιστευομένης αὐτῶν τῆς προφητείας ὑπὸ τοῦ λαοῦ. Εἰ γὰρ ἐπίστευον[4]) Μωσῇ καὶ προφήταις, ἐπίστευον

---

[1]) H. et R., ut in textu nostro, *Θεσβών*. Iidem tamen paulo post *Ἐβαλμαουλᾶ*.

[2]) Act. VII, 52. Edd. N. T. *τίνα τῶν προφητῶν — ὑμῶν; καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας κ. τ. λ.*

[3]) I Thess. II, 14. 15. Edd. N. T. vers. 14. *ὑμεῖς γὰρ μιμηταί κ. τ. λ.*

[4]) Ev. Joann. V, 46.

ἂν Χριστῷ, τῷ παραστήσαντι ὅτι ἀκολουθεῖ τοῖς πιστεύουσι Μωυσῇ καὶ προφήταις, πιστεύειν Χριστῷ, καὶ τοῖς μὴ πιστεύουσι Χριστῷ, τὸ μὴ πιστεύειν Μωσεῖ.[1]) Ἔτι δὲ ὥσπερ διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμάζειν ὁ ἁμαρτάνων λέγεται, οὕτω διὰ τοῦ μὴ πιστεύειν τῷ προφητευομένῳ ἀτιμάζεται ὑπὸ τοῦ ἀπιστοῦντος ταῖς προφητείαις ὁ προφήτης. Χρήσιμα δὲ, ὡς πρὸς τὴν ἱστορίαν, ἀναλέξασθαι ἃ πέπονθεν Ἱερεμίας ἐν τῷ λαῷ, ἐφ' οἷς εἶπε· „καὶ[2]) εἶπα· οὐ μὴ λαλήσω, οὐδὲ μὴ ὀνομάσω τὸ ὄνομα κυρίου." Καὶ πάλιν ἀλλαχοῦ· „διετέλεσα[3]) μυκτηριζόμενος." Ὅσα δὲ καὶ ὑπὸ τοῦ τότε βασιλέως τοῦ Ἰσραὴλ πέπονθεν, ἐν τῇ προφητείᾳ αὐτοῦ ἀναγέγραπται. Καὶ Μωσέα δὲ ὅτι ἦλθον πολλάκις λιθόλευστον ποιῆσαι οἱ ἀπὸ τοῦ λαοῦ, καὶ τοῦτο γέγραπται. Καὶ ἦν αὐτῷ πατρὶς, οὐχ οἱ λίθοι τινὸς τόπου, ἀλλ' οἱ ἀκολουθήσαντες αὐτῷ ὁ λαὸς, παρ' οἷς καὶ αὐτὸς ἠτιμώθη. Καὶ Ἡσαΐας δὲ πεπρίσθαι ὑπὸ τοῦ λαοῦ ἱστόρηται· εἰ δέ τις οὐ προσίεται τὴν ἱστορίαν διὰ τὸ ἐν τῷ ἀποκρύφῳ Ἡσαΐᾳ αὐτὴν φέρεσθαι, πιστευσάτω τοῖς ἐν τῇ πρὸς Ἑβραίους οὕτω γεγραμμένοις· „ἐλιθάσθησαν,[4]) ἐπρίσθησαν, ἐπειράσθησαν·" τὸ γάρ· „ἐπρίσθησαν·" ἐπὶ τὸν Ἡσαΐαν ἀναφέρεται, ὥσπερ τό· „ἐν φόνῳ μαχαίρας ἀπέθανον·" ἐπὶ τὸν Ζαχαρίαν, φονευθέντα[5]) μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, ὡς ὁ Σωτὴρ ἐδίδαξε, μαρτυρῶν, ὡς οἶμαι, γραφῇ, μὴ φερομένῃ μὲν ἐν τοῖς κοινοῖς καὶ δε-

---

[1]) H. et R. h. l. *Μωσεῖ.*

[2]) Jerem. XX, 9. In LXX. virorum versione pro verbis: *οὐ μὴ — κυρίου* haec leguntur: *οὐ μὴ ὀνομάσω τὸ ὄνομα τοῦ κυρίου, καὶ οὐ μὴ λαλήσω ἔτι ἐπὶ τῷ ὀνόματι αὐτοῦ. Κ. τ. λ.*

[3]) Ibid. XX, 7. coll. LXX. interpretum versione.

[4]) Hebr. XI, 37.

[5]) Matth. XXIII, 35.

δημευμένοις βιβλίοις, εἰκὸς δ' ὅτι ἐν ἀποκρύφοις φερομένη. Ἠτιμώθησαν δὲ ἐν τῇ πατρίδι παρὰ τοῖς Ἰουδαίοις, καὶ περιελθόντες[1]) „*ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι,*" *καὶ τὰ ἑξῆς· πάντες γὰρ* „*οἱ θέλοντες*[2]) *ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται.*" *Εἰκὸς δ' ὅτι τοῦτο ἐπιστάμενος ὁ Παῦλος, τὸ*[3]) *προφήτην ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχειν, πολλαχοῦ τὸν λόγον κηρύξας, οὐκ ἐκήρυξεν ἐν Ταρσῷ. Καὶ οἱ ἀπόστολοι διὰ τοῦτο κατέλιπον τὸν Ἰσραὴλ, ἐποίησαν δὲ τὸ προστεταγμένον ὑπὸ τοῦ Σωτῆρος·* „*μαθητεύσατε*[4]) *πάντα τὰ ἔθνη·*" *καὶ τό·* „*ἔσεσθέ μοι*[5]) *μάρτυρες ἔν τε Ἱερουσαλὴμ καὶ πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς.*" *Πεποιήκασι μὲν οὖν τὸ προστεταγμένον ἐν τῇ Ἰουδαίᾳ καὶ Ἱερουσαλήμ· ἀλλ' ἐπεὶ προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει, μὴ παραδεξαμένων Ἰουδαίων τὸν Λόγον, ἀπεληλύθασιν εἰς τὰ ἔθνη. Πρόσχες δὲ, εἰ δύνασαι διὰ τό·* „*ἐκχεῶ*[6]) *ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσι·*" *πεπληρωμένον μετὰ τὴν παρουσίαν τοῦ Σωτῆρος ἐν ταῖς ἀπὸ τῶν ἐθνῶν ἐκκλησίαις λέγειν, ὅτι οἱ πρότερον ἐκ τοῦ κόσμου, καὶ διὰ τοῦ*[7]) *πιστεύειν γενόμενοι οὐκέτι ἐκ τοῦ κόσμου,*

---

[1]) R. in textu, H. ad marg. recte *περιελθόντες*. R. in notis: „ita habent Codd. Vatican. et. Tarinianus; editio vero Huet. (in textu) *ὑπελθόντες*, sicque Cod. Anglicanus." Cfr. ep. ad Hebr. XI, 37.

[2]) II Tim. III, 12.

[3]) H. et R. in textu recte *τὸ προφήτην κ. τ. λ.*, iidem tamen, ille ad marg. „scrib.," hic in notis: „„forte scribendum: *τὸν προφήτην*.""

[4]) Matth. XXVIII, 19.

[5]) Act. I, 8. Ed. Lachm. *καὶ πάσῃ τ. Ἰουδαίᾳ κ. τ. λ.*, ed. Knapp *καὶ ἐν πάσῃ κ. τ. λ.*

[6]) Joel. II, 28 coll. LXX. virorum versione.

[7]) Deest *τοῦ* ed. Huetiana.

ἐν τῇ ἰδίᾳ πατρίδι, τῷ κόσμῳ, ἅγιον πνεῦμα λαβόντες, καὶ προφητεύοντες, τιμὴν οὐκ ἔχουσιν, ἀλλὰ ἀτιμάζονται. Διὸ μακάριοί εἰσι τὰ αὐτὰ τοῖς προφήταις παθόντες, κατὰ τὸ ὑπὸ τοῦ Σωτῆρος λεγόμενον· „κατὰ[1]*) ταὐτὰ γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν.“ Τούτοις δέ τις ἐμμελῶς*[2]*) προσέχων, εἰ διὰ τὸ πάνυ εὐτόνως βιοῦν, καὶ ἐλέγχειν τοὺς ἁμαρτάνοντας, μισοῖτο καὶ ἐπιβουλεύοιτο, ὡς διωκόμενος καὶ ὀνειδιζόμενος ἕνεκεν δικαιοσύνης, οὐ μόνον οὐ λυπηθήσεται, ἀλλὰ καὶ χαρήσεται καὶ ἀγαλλιάσεται, πειθόμενος διὰ ταῦτα μισθὸν ἔχειν πολὺν ἐν τοῖς οὐρανοῖς ἀπὸ τοῦ ὁμοιώσαντος αὐτὸν τοῖς προφήταις, ἐκ τοῦ ταὐτὰ*[3]*) πεπονθέναι. Ἀτιμάζεσθαι τοίνυν ἐν τῷ κόσμῳ καὶ παρὰ τοῖς ἁμαρτάνουσι, βαρουμένοις τῷ βίῳ τοῦ δικαίου, χρὴ τὸν ζηλοῦντα βίον προφητικὸν, καὶ χωρήσαντα τὸ ἐν ἐκείνοις πνεῦμα.*

19. *Ἑξῆς ἔστιν ἰδεῖν τό· „οὐκ*[4]*) ἐποίησεν ἐκεῖ δυνάμεις πολλὰς διὰ τὴν ἀπιστίαν αὐτῶν.“ Διὰ τούτων δὲ διδασκόμεθα, ὅτι αἱ δυνάμεις ἐν τοῖς πιστεύουσιν ἐγίνοντο, ἐπεὶ παντὶ τῷ ἔχοντι δοθήσεται*[5]*) καὶ περισσευθήσεται, ἐν ἀπίστοις δὲ οὐ μόνον οὐκ ἐνήργουν αἱ δυνάμεις, ἀλλ', ὡς ὁ Μάρκος ἀνέγραψεν, οὐδὲ ἐδύναντο ἐνεργεῖν. Πρόσχες γὰρ τῷ· „οὐκ ἠδύνατο*[6]*) ἐκεῖ οὐδεμίαν ποιῆσαι δύναμιν·“ οὐ γὰρ εἶπεν· οὐκ ἤθελεν· ἀλλ' „οὐκ*[7]*) ἠδύνατο·“ ὡς ἐρχομένης μὲν ἐπὶ*

[1]) Luc. VI, 23. Edd. H. et R. *κατὰ ταῦτα κ. τ. λ.*, ed. Knapp. *κατὰ ταὐτά κ. τ. λ.*, ed. Lachm. *κατὰ τὰ αὐτά κ. τ. λ.*

[2]) H. et R. *ἐμμελῶς*.

[3]) H. et R. *ταῦτα*.

[4]) Matth. XIII, 58.

[5]) Ibid. XIII, 12.

[6]) Marc. VI, 5. Ed. Knapp. *οὐδεμίαν δύναμιν ποιῆσαι*, ed. Lachm. *ποιῆσαι οὐδεμίαν δύναμιν*.

[7]) Ed. R. h. l. *οὐκ ἐδύνατο*.

τὴν ἐνεργοῦσαν δύναμιν συμπράξεως ὑπὸ πίστεως ἐκείνου, εἰς ὃν ἐνήργει ἡ δύναμις, κωλυομένης δὲ ἐνεργεῖν ὑπὸ τῆς ἀπιστίας. Ὅρα οὖν, ὅτι πρὸς τοὺς εἰπόντας· „διὰ[1]) τί οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό;“ εἶπε· „διὰ τὴν ὀλιγοπιστίαν ὑμῶν.“ Καὶ πρὸς τὸν ἀρξάμενον καταποντίζεσθαι Πέτρον λέλεκται· „ὀλιγόπιστε,[2]) εἰς τί ἐδίστασας;“ Ἀλλὰ καὶ ἡ αἱμοῤῥοοῦσα, μὴ ἀξιώσασα περὶ τῆς θεραπείας, ἀλλὰ μόνον λογισαμένη, εἰ ἅψαιτο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, ὅτι ἰαθήσεται, ἰάθη παραχρῆμα, καὶ ὁμολογεῖ τῷ τρόπῳ τῆς ἰάσεως ὁ Σωτὴρ λέγων· „τίς[3]) μου ἥψατο; ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ᾽ ἐμοῦ.“ Καὶ τάχα ὥσπερ ἐπὶ τῶν σωμάτων ἐστί τισι πρός τινα φυσικὴ ὁλκὴ, ὡς τῇ μαγνησίᾳ λίθῳ πρὸς σίδηρον, καὶ τῷ καλουμένῳ Νάφθᾳ πρὸς πῦρ, οὕτως τῇ τοιᾷδε πίστει πρὸς θείαν δύναμιν· καθὸ εἴρηται καὶ τό· „ἐὰν ἔχητε[4]) πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ· μετάβηθι ἔνθεν ἐκεῖ, καὶ μεταβήσεται.“ Ἀκριβῶς δὲ δοκοῦσί μοι ὁ Ματθαῖος καὶ ὁ Μάρκος, τὸ ὑπερέχον τῆς θείας δυνάμεως παραστῆσαι βουλόμενοι, ὅτι καὶ ἐν ἀπιστίᾳ δύναται, ἀλλ᾽ οὐκ ἐπὶ πλεῖον δύναται, ὅσον δύναται ἐν πίστει τῇ τῶν εὐεργετουμένων, εἰρηκέναι, οὐχ ὅτι οὐκ ἐποίησε δυνάμεις διὰ τὴν ἀπιστίαν[5]) αὐτῶν, ἀλλ᾽ οὐκ ἐποίησεν ἐκεῖ δυνάμεις πολλάς. Καὶ ὁ Μάρκος δὲ οὐκ εἶπεν, ὅτι οὐκ ἐδύνατο ἐκεῖ οὐδεμίαν ποιῆσαι δύναμιν, καὶ

---

[1]) Matth. XVII, 19. Ed. Knapp. διατί ἡμεῖς οὐκ κ. τ. λ., ed. Lachm. διὰ τί ἡμεῖς οὐκ κ. τ. λ. — 20. Ed. Knapp. διὰ τὴν ἀπιστίαν ὑμῶν, ed. Lachm., ut in nostro textu: διὰ τ. ὀλιγοπ. ὑμῶν.

[2]) Matth. XIV, 31.

[3]) Marc. V, 32. et Luc. VIII, 46. coll. vers. 45.

[4]) Matth. XVII, 20. Ed. Knapp. μετάβηθι ἐντεῦθεν ἐκεῖ, ed. Lachm. μετάβα ἔνθεν ἐκεῖ.

[5]) Matth. XIII, 58.

ἔστη ἐπὶ τούτῳ, ἀλλὰ προσέθηκεν· „εἰ [1]) μὴ ὀλίγοις ἀῤῥώστοις ἐπιθεὶς τὰς χεῖρας ἐθεράπευσε,“ νικώσης τῆς ἐν αὐτῷ δυνάμεως καὶ οὕτως τὴν ἀπιστίαν. Δοκεῖ δέ μοι, ὅτι, ὥσπερ ἐπὶ τῶν σωματικῶν οὔτε αὐτάρκης γεωργία πρὸς συγκομιδὴν καρπῶν, ἐὰν μὴ τὸ περιέχον [2]) εἰς τοῦτο συνεργῇ, μᾶλλον δὲ τὸ περιέχον ποιότητι ὁποίᾳ βούλεται ὁ κοσμῶν, καὶ ποιῶν αὐτὸ ὁποῖον θέλει· οὔτε τὸ περιέχον χωρὶς γεωργίας, μᾶλλον δὲ ὁ προνοῶν οὐ ποιῆσαι ἂν ἀνατεῖλαι ἀπὸ τῆς γῆς τὰ ἀπὸ τῆς γῆς ἀνατέλλοντα χωρὶς γεωργίας· — ἅπαξ γὰρ τοῦτο πεποίηκεν ἐν τῷ· „βλαστησάτω [3]) ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα —“ οὕτω δὲ οὔτε τὰ ἐνεργήματα τῶν δυνάμεων χωρὶς πίστεως τῆς τῶν θεραπευομένων τὸ αὐτοτελὲς ἔργον ἐπιδείκνυται πρὸς ἴασιν, οὐθ' ἡ πίστις, ὁποία ποτ' ἂν ᾖ, χωρὶς τῆς θείας δυνάμεως. Καὶ τὸ γεγραμμένον δὲ περὶ σοφίας ἐφαρμόσεις καὶ τῇ πίστει, καὶ ταῖς ἀρεταῖς κατ' εἶδος, ὥστε τοιοῦτον ποιῆσαι λόγον· „κἂν [4]) γάρ τις ᾖ τέλειος ἐν πίστει ἐν υἱοῖς ἀνθρώπων, τῆς ἀπὸ σοῦ δυνάμεως ἀπούσης, εἰς οὐδὲν λογισθήσεται·“ ἢ τέλειος τῇ σωφροσύνῃ, ὡς ἐν υἱοῖς ἀνθρώπων, τῆς ἀπὸ σοῦ σωφροσύνης ἀπούσης, εἰς οὐδὲν λογισθήσεται· ἢ τέλειος ἐν δικαιοσύνῃ, καὶ ταῖς λοιπαῖς ἀρεταῖς, τῆς ἀπὸ σοῦ δικαιοσύνης, [5]) καὶ τῶν ἀπὸ σοῦ λοιπῶν ἀρε-

---

[1]) Marc. VI, 5.

[2]) H. et R. in textu: *περιεχόμενον*, iidem tamen, ille ad marg. „scrib.,“ hic in notis: „„scribendum forte: *περιέχον*.““

[3]) Gen. I, 11.

[4]) Sap. Sal. IX, 6. In LXX. virorum versione desunt, quae Orig. de consilio interjecit, verba: *ἐν πίστει*.

[5]) H. ad marg. „scrib. *δικαιοσ. ἀπούσης*,“ R. in notis recte: „„post (voc.) *δικαιοσύνης* scribendum, aut certe subintelligendum videtur: *ἀπούσης*.

τῶν, εἰς οὐδὲν λογισθήσεται. Ὅθεν· „μὴ καυχάσθω[1]) ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, μηδὲ ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ·“ τὸ γὰρ καυχήσεως ἄξιον, οὐχ ἡμέτερον, ἀλλὰ δῶρόν ἐστι θεοῦ, ἡ ἀπ' αὐτοῦ σοφία, καὶ ἡ ἀπ' αὐτοῦ ἰσχύς· καὶ οὕτω τὰ λοιπά.

20. „Ἐν ἐκείνῳ[2]) τῷ καιρῷ ἤκουσεν Ἡρώδης ὁ τετράρχης τὴν ἀκοὴν Ἰησοῦ, καὶ εἶπε τοῖς παισὶν ἑαυτοῦ· οὗτός ἐστιν Ἰωάννης ὁ Βαπτιστής.“ Παρὰ δὲ τῷ Μάρκῳ[3]) οὕτως, καὶ παρὰ τῷ Λουκᾷ οὕτως. Διαφόρους δόξας εἶχον οἱ Ἰουδαῖοι, τινὰς μὲν ψευδεῖς, ὁποίας[4]) ἐφρόνουν οἱ Σαδδουκαῖοι περὶ ἀναστάσεως νεκρῶν, ὡς οὐκ ἐγειρομένων, καὶ περὶ ἀγγέλων, ὡς οὐχ ὑπαρχόντων, ἀλλὰ τροπολογουμένων τῶν περὶ αὐτῶν ἀναγεγραμμένων μόνον, καὶ μηδὲν ὡς πρὸς τὴν ἱστορίαν ἀληθὲς ἐχόντων· ἑτέρας δὲ ὡς ἀληθεῖς, ὡς περὶ ἀναστάσεως[5]) νεκρῶν, ὅτι ἐγείρονται, ἐδίδασκον οἱ Φαρισαῖοι. Τὸ οὖν ζητούμενον κατὰ τὸν τόπον ἐστὶν, εἰ τοιαύτη τις ἦν περὶ ψυχῆς δόξα, ἣν ἐφρόνει Ἡρώδης ἐσφαλμένως, καί τινες τῶν ἀπὸ τοῦ λαοῦ, ὅτι ὁ πρὸ ὀλίγου ἀναιρεθεὶς ὑπ' αὐτοῦ Ἰωάννης, ἀνέστη ἀπὸ τῶν νεκρῶν μετὰ τὸ ἀποκεφαλισθῆναι, καὶ ἦν ὁ[6]) αὐτὸς ἑτέρῳ ὀνόματι χρώμενος, καὶ καλούμενος νῦν Ἰησοῦς, δεκτικὸς τῶν αὐτῶν[7]) δυνάμεων, αἳ πρότερον ἐνήργουν ἐν τῷ Ἰωάννῃ. Ποίαν οὖν ἔχει πιθανότητα, τὸν ἐπὶ τοσοῦτον γνώριμον παντὶ λαῷ, καὶ διαβόητον ἐν

---

[1]) Jerem. IX, 23. LXX. interpretes pro μηδέ κτλ. haec habent: καὶ μὴ καυχάσθω ὁ ἰσχυρός κτλ.

[2]) Matth. XIV, 1. Ed. Knapp. τ. παισὶν αὐτοῦ, ed. Lachm. τ. παισὶν αὐτοῦ.

[3]) Marc. VI, 14. et Luc. IX, 7.

[4]) Act. XXIII, 8.

[5]) Act. XXIII, 6. 8.

[6]) Deest ὁ in ed. Huetiana.

[7]) H. et R. in textu quidem: αὐτοῦ, iidem tamen, ille ad marg., hic in notis recte: „scribendum αὐτῶν.“

ὅλῃ τῇ Ἰουδαίᾳ, ὃν ἔλεγον υἱὸν εἶναι τοῦ τέκτονος καὶ Μαρίας, καὶ ἀδελφοὺς ἔχειν τοιούσδε, καὶ ἀδελφὰς, νομίζεσθαι εἶναι οὐχ ἕτερον Ἰωάννου, ᾧ πατὴρ ἦν Ζαχαρίας, καὶ μήτηρ Ἐλισάβετ, οὐδ' αὐτοὶ ἄσημοι ἐν τῷ λαῷ; Εἰκὸς δ' ὅτι ὁ λαὸς, φρονοῦντες περὶ τοῦ Ἰωάννου, ὅτι ὄντως προφήτης ἦν, καὶ τοσοῦτοι τυγχάνοντες, ὡς φοβεῖσθαι τοὺς Φαρισαίους, διὰ τὸ μὴ δυσάρεστον δοκεῖν τῷ λαῷ λέγειν, ἀποκρίνεσθαι· „πότερον[1]) ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων τὸ βάπτισμα αὐτοῦ·" οὐκ ἠγνόουν υἱὸν αὐτὸν τυγχάνειν Ζαχαρίου. Τάχα δὲ καὶ εἴς τινας ἔφθασεν αὐτῶν τὰ τῆς ἑωραμένης ὀπτασίας ἐν τῷ ναῷ,[2]) φανέντος τῷ Ζαχαρίᾳ τοῦ Γαβριήλ. Ποίαν δὴ οὖν ἔχει πιθανότητα ἡ τοῦ εἴτε Ἡρώδου, εἴτε τινῶν ἀπὸ τοῦ λαοῦ ἀπάτη πρὸς τὸ νομίσαι, ὅτι οὐ δύο τινὲς γεγόνασιν ὁ Ἰωάννης καὶ ὁ Ἰησοῦς, ἀλλ' εἷς καὶ ὁ[3]) αὐτὸς ὢν Ἰωάννης, ἀναστὰς μετὰ τὸ ἀποκεφαλισθῆναι ἐκ τῶν νεκρῶν, ἐκλήθη Ἰησοῦς; Λέγοι δ' ἄν τις, τὴν τῆς μετενσωματώσεως ψευδοδοξίαν γεγονέναι ἐν τῷ Ἡρώδῃ καί τισι τῶν ἀπὸ τοῦ λαοῦ, ἀφ' ἧς ᾤοντο τόν ποτε Ἰωάννην ἐν γενέσει γενέσθαι, καὶ ἐκ νεκρῶν ἐληλυθέναι εἰς τὸν βίον ὡς Ἰησοῦν. Ἀλλ' οὐδὲ ταύτην τὴν ψευδοδοξίαν πιθανὴν ἐᾷ νομισθῆναι ὁ μεταξὺ χρόνος τῆς γενέσεως Ἰωάννου καὶ Ἰησοῦ, οὐ πλείων[4]) μηνῶν ἓξ τυγχάνων. Τάχα δὲ μᾶλλον τοιαύτη τις ὑπόληψις ἦν ἐν τῷ Ἡρώδῃ, ὅτι αἱ ἐνεργήσασαι δυνάμεις ἐν τῷ Ἰωάννῃ μετέστησαν[5]) ἐπὶ τὸν Ἰησοῦν, ἀφ' ὧν Ἰωάννης Βαπτιστὴς εἶναι πεπίστευτο ἐν τῷ λαῷ. Καὶ χρήσαιτό τις ἐπιχειρήματι τοιούτῳ· ὥσπερ διὰ τὸ

---

[1]) Matth. XXI, 25. coll. edd. N. T.

[2]) H. et R. in notis: „Cod. Holmiens. *ἐν τῷ λαῷ*, perperam. Vide Luc. I, 22."

[3]) Desideratur ὁ in ed. R.

[4]) H. recte *πλείων*, R. min. accurate *πλεῖον*.

[5]) H. et R. *μεθέστησαν*.

πνεῦμα καὶ τὴν δύναμιν Ἠλίου, καὶ οὐ διὰ τὴν ψυχὴν αὐτοῦ, περὶ Ἰωάννου λέγεται· „αὐτός[1]) ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι·“ τοῦ ἐν Ἠλίᾳ πνεύματος καὶ τῆς ἐν ἐκείνῳ δυνάμεως μετεληλυθυιῶν ἐπὶ τὸν Ἰωάννην, οὕτως ᾤετο ὁ Ἡρώδης τὰς ἐν Ἰωάννῃ δυνάμεις, ἐν μὲν τῷ Ἰωάννῃ ἐνηργηκέναι τὰ τοῦ βαπτίσματος καὶ τῆς διδασκαλίας· — Ἰωάννης γὰρ ἐποίησε σημεῖον οὐδὲ[2]) ἕν —· ἐν δὲ τῷ Ἰησοῦ τὰς τεραστίους δυνάμεις. Τὸ δ' ὅμοιόν τις φήσει ὑπειληφέναι τοὺς εἰρηκότας Ἠλίαν πεφηνέναι[3]) ἐν τῷ Ἰησοῦ, ἢ προφήτην ἕνα τῶν ἀρχαίων ἐγηγέρθαι. Οὐδὲν δὲ ζητήσεως ἔχεται τὸ δόγμα τῶν εἰρηκότων, ὅτι προφήτης[4]) ὡς εἷς τῶν προφητῶν ἦν Ἰησοῦς. Ψευδὴς μὲν οὖν ὁ τοῦ εἴτε Ἡρώδου λόγος περὶ τοῦ Ἰησοῦ ἐστιν ἀναγεγραμμένος, εἴτε ὁ ὑπό τινων εἰρημένος. Πλὴν δοκεῖ μοι μᾶλλον ἔχεσθαι πιθανότητος τὸ ἀνάλογον, τὸ[5]) ἐν πνεύματι καὶ δυνάμει Ἠλίου προεληλυθέναι τὸν Ἰωάννην, τοῖς νῦν ὑπονοουμένοις περὶ Ἰωάννου καὶ Ἰησοῦ ὑπὸ τούτων. Ἐπεὶ δὲ πρῶτον ἐμάθομεν, ὅτι μετὰ τὸν πειρασμὸν ὁ Σωτὴρ, ἀκούσας ὅτι[6]) Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν, δεύτερον[7]) δὲ ὅτι ἐν τῷ δεσμωτηρίῳ τυγ-

---

1) Matth. XI, 14.

2) Ed. Huet. *οὐδ' ἕν.* Cfr. Ev. Joann. X, 41.

3) Ed. R. *πεφηνέναι.* Cfr. Luc. IX, 8.

4) Marc. VI, 15.

5) Ed. Huet. min. accur. *τῷ ἐν πνεύματι κ. τ. λ.* Cfr. Luc. I, 17.

6) *ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν, δεύτερον δὲ ὅτι ἐν τῷ δεσμωτηρίῳ τυγχάνων ἀκούσας.* Haec, quae desiderabantur in Codd. Holm. et Reg., atque adeo in ed. Huet., supplentur e Codd. Mss. Vaticano, Anglicano et Tariniano. R.

7) Huet., quum vertat: *deinde didicimus Joannem,* legisse videtur, et recte quidem: *δεύτερον δὲ, ὅτι ὁ Ἰωάννης ἐν τῷ κ. τ. λ.*

χάνων, ἀκούσας τὰ περὶ τοῦ Ἰησοῦ, πέμψας δύο τῶν μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ· „σὺ[1]) εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;“ καὶ τρίτον ἁπαξαπλῶς, ὅτι Ἡρώδης εἶπε περὶ τοῦ Ἰησοῦ, ὅτι αὐτός „ἐστιν[2]) Ἰωάννης ὁ Βαπτιστής· αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν·“ οὐδαμόθεν δὲ προέγνωμεν τὸν τρόπον τῆς ἀναιρέσεως τοῦ Βαπτιστοῦ, διὰ τοῦτο νῦν καὶ τοῦτο ἀνέγραψεν ὁ Ματθαῖος, καὶ ὁ Μάρκος δὲ αὐτῷ παραπλησίως· ὁ δὲ Λουκᾶς τὰ πολλὰ τῆς παρὰ τούτοις παρεσιώπησεν ἱστορίας.

21. Ἔχει δὲ οὕτως ἡ τοῦ Ματθαίου λέξις· „ὁ[3]) γὰρ Ἡρώδης κρατήσας τὸν Ἰωάννην, ἔδησεν αὐτὸν ἐν τῇ φυλακῇ.“ Εἰς ταῦτ' οὖν δοκεῖ μοι, ὅτι ὥσπερ ὁ νόμος καὶ οἱ προφῆται μέχρι Ἰωάννου, μεθ' ὃν ἔληξεν ἡ προφητικὴ ἀπὸ Ἰουδαίων χάρις· οὕτως ἡ τῶν βασιλευσάντων ἐν τῷ λαῷ ἐξουσία, μέχρι τοῦ ἀναιρεῖν τοὺς νομιζομένους ἀξίους θανάτου αὐτοῖς ὑπάρχουσα, ἕως Ἰωάννου ἦν, καὶ ἀναιρεθέντος τοῦ τελευταίου τῶν προφητῶν παρανόμως ὑπὸ τοῦ Ἡρώδου, ἀφῃρέθη ὁ Ἰουδαίων βασιλεὺς τῆς τοῦ ἀναιρεῖν ἐξουσίας· εἰ γὰρ μὴ ἀφῄρητο αὐτὴν ὁ Ἡρώδης, οὐκ ἂν ἐδίκασεν ὁ Πιλάτος τὸν Ἰησοῦν τὴν ἐπὶ θανάτῳ, ἀλλ' ἤρκεσεν ἂν εἰς τοῦτο Ἡρώδης μετὰ τῆς τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ εἰς τοῦτο βουλῆς. Καὶ τότε, οἶμαι, πεπλήρωται τὸ ὑπὸ τοῦ Ἰακὼβ πρὸς Ἰούδαν τοῦτον εἰρημένον τὸν τρόπον· „οὐκ[4]) ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐξ Ἰσραήλ, ἕως ἂν ἔλθῃ ὃ ἀπόκειται, καὶ αὐτὸς

---

[1]) Matth. XI, 2. 3. coll. Luc. VII, 19.

[2]) Matth. XIV, 2.

[3]) Ibid. XIV, 3. Ed. Knapp. ἔδησεν αὐτὸν καὶ ἔθετο ἐν φυλακῇ, ed. Lachm. ἔδ. αὐτὸν καὶ ἐν τῇ φυλακῇ ἀπέθετο. Cfr. pag. 58. not. 2. et p. 59. not. 2.

[4]) Gen. XLIX, 10. coll. Tom. I. ed. nostrae pag. 48. not. 4. et Tom. II. ejusd. ed. pag. 46. not. 6. et pag. 47. lin. 3. et 4.

προσδοκία ἐθνῶν.“ Τάχα δὲ καὶ ἀφηρέθησαν τὴν ἐξουσίαν ταύτην Ἰουδαῖοι, τῆς θείας παρασχούσης προνοίας τῇ τοῦ Χριστοῦ διδασκαλίᾳ ἐν τῷ λαῷ νομὴν, ἵνα κἂν κωλύηται ὑπ' Ἰουδαίων[1]) *αὕτη, ἀλλὰ μὴ μέχρι ἀναιρέσεως τῶν πιστευόντων χωρῇ, δοκούσης κατὰ νόμον γίγνεσθαι. Ἡρώδης δὲ κρατήσας τὸν Ἰωάννην, ἔδησεν*[2]) *ἐν φυλακῇ, καὶ ἀπέθετο, σύμβολον ποιῶν τοῦτο, ὅσον ἐφ' ἑαυτῷ, καὶ τῇ κακίᾳ τοῦ λαοῦ, καταδῆσαι καὶ κατακλεῖσαι λόγον τὸν προφητικὸν, καὶ κωλῦσαι αὐτὸν ἔτι μένειν τῆς ἀληθείας κήρυκα ἐπ' ἐλευθερίᾳ, ὡς τὸ πρότερον. Τοῦτο δὲ πεποίηκεν Ἡρώδης „διὰ Ἡρωδιάδα*[3]) *τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ. Ἔλεγε γὰρ αὐτῷ ὁ Ἰωάννης· οὐκ ἔξεστί σοι ἔχειν αὐτήν.“ Οὗτος δὲ ὁ Φίλιππος ἦν τετράρχης τῆς Ἰτουραίας*[4]) *καὶ Τραχωνίτιδος χώρας. Τινὲς μὲν οὖν οἴονται, ὅτι ἀποθανόντος Φιλίππου, θυγατέρα καταλιπόντος Ἡρωδιάδα, ἔγημε τὴν τοῦ ἀδελφοῦ γυναῖκα ὁ Ἡρώδης, τοῦ νόμου*[5]) *τὸν γάμον ἐν ἀπαιδίᾳ συγχωροῦντος. Ἡμεῖς δὲ μηδαμῇ*[6]) *σαφῶς εὑρίσκοντες τεθνηκέναι τὸν Φίλιππον, μεῖζον ἔτι τὸ παρανόμημα τῷ Ἡρώδῃ λογιζόμεθα γεγονέναι, ὅτι καὶ ζῶντος ἀπέστησε τοῦ ἀδελφοῦ τὴν γυναῖκα.*

22. *Διόπερ προφητικῇ παῤῥησίᾳ κεκοσμημένος ὁ Ἰωάννης, καὶ μὴ καταπληττόμενος τὸ βασιλικὸν ἀξίωμα*

---

[1]) H. et R. *ὑπ' Ἰουδαίων.*

[2]) Matth. XIV, 3. coll. pag. 57. not. 3. et pag. 59. not. 2.

[3]) Matth. XIV, 4. Ed. Knapp. *τ. ἀδελφοῦ αὐτοῦ. Ἔλ. γὰρ αὐτῷ ὁ Ἰωάννης,* ed. Lachm. *τ. ἀδ. αὐτοῦ· ἔλεγ. γὰρ ὁ Ἰωάνν. αὐτῷ.*

[4]) Ed. H. *Ἰτουραίας,* ed. R. *Ἰτουρίας.* Cfr. Luc. III, 1.

[5]) Gen. XXXVIII, 8. Deuteron. XXV, 5. Ruth. IV, 5. coll. Matth. XXII, 24., Marc. XII, 19. et Luc. XX, 28.

[6]) H. et R. *μηδαμή.*

τοῦ Ἡρώδου, μηδὲ διὰ τὸ δέος τοῦ θανάτου παρασιωπῶν περὶ τοῦ τηλικούτου ἁμαρτήματος, ἔλεγε τῷ Ἡρώδῃ θείου πληρωθεὶς φρονήματος· „οὐκ[1]) ἔξεστί σοι ἔχειν αὐτήν·“ „οὐ γάρ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου.“ Ὁ μὲν Ἡρώδης κρατήσας τὸν Ἰωάννην, δήσας ἀπέθετο[2]) ἐν τῇ φυλακῇ, μὴ τολμῶν πάντη ἀποκτεῖναι, καὶ[3]) τὸν προφητικὸν λόγον ἀνελεῖν ἀπὸ τοῦ λαοῦ· ἡ δὲ τοῦ βασιλέως τῆς Τραχωνίτιδος γυνὴ, πονηρά τις οὖσα δόξα, καὶ μοχθηρὰ διδασκαλία, θυγατέρα ἐγέννησεν ὁμώνυμον, ἧς τὰ δοκοῦντα εὔρυθμα κινήματα, ἀρέσαντα τῷ Ἡρώδῃ τὰ γενέσεως ἀγαπῶντι πράγματα, αἴτια γεγένηται τοῦ μηκέτι εἶναι ἐν τῷ λαῷ κεφαλὴν προφητικήν. Μέχρι δὲ τοῦ δεῦρο νομίζω, τὰ δοκοῦντα κατὰ τὸν νόμον εἶναι κινήματα τοῦ λαοῦ τῶν Ἰουδαίων, μὴ ἄλλο τι τυγχάνειν ἢ τῆς Ἡρωδιάδος θυγατρός· ἀλλ᾿ ἡ[4]) Ἡρωδιάδος ὄρχησις ἐναντία ἦν ὀρχήσει ἁγίᾳ, ἣν οἱ μὴ ὀρχησάμενοι ὀνειδισθήσονται ἀκούοντες· „ηὐλήσαμεν[5]) ὑμῖν, καὶ οὐκ ὠρχήσασθε.“ Καὶ ἐν γενεθλίοις δὲ παρανόμου βασιλεύοντος αὐτῶν λόγου ὀρχοῦνται, ὡς ἀρέσκειν ἐκείνῳ τῷ λόγῳ τὰς κινήσεις αὐτῶν. Ἐτήρησε μὲν οὖν τις τῶν πρὸ ἡμῶν τὴν ἀναγεγραμμένην ἐν Γενέσει[6]) τοῦ Φαραὼ γενέθλιον, καὶ διηγήσατο ὅτι ὁ φαῦλος, τὰ γενέσεως ἀγαπῶν πράγματα, ἑορτάζει γενέθλιον· ἡμεῖς δὲ ἀπ᾿ ἐκείνου ταύτην εὑρόντες ἀφορμὴν, ἐπ᾿ οὐδεμιᾶς[7]) γραφῆς

---

[1]) Matth. XIV, 4. — Marc. VI, 18. coll. edd. N. T. et Levit. XVIII, 16.

[2]) Matth. XIV, 3. coll. p. 57. not. 3. et p. 58. not. 2.

[3]) Deest καί in ed. Huetiana.

[4]) Desideratur ἡ in ed. Huetii.

[5]) Matth. XI, 17. et Luc. VII, 32.

[6]) Genes. XL, 20.

[7]) Edd. H. et R. h. l. ἐπ᾿ οὐδεμίας. — H. et R. in Addendis et Corrigendis: „Orig. in Gen. XL, 20. ex a-

εὕρομεν ὑπὸ δικαίου γενέθλιον ἀγόμενον. Ἄδικος γὰρ μᾶλλον ἐκείνου τοῦ Φαραὼ ὁ Ἡρώδης. Καὶ γὰρ ὑπ' ἐκείνου μὲν ἐν γενεθλίῳ ἀρχισιτοποιὸς ἀναιρεῖται· ὑπὸ δὲ τούτου Ἰωάννης, οὗ μείζων ἐν γεννητοῖς [1]) γυναικῶν οὐδεὶς ἐγήγερται, περὶ οὗ ὁ Σωτὴρ λέγει· „ἀλλὰ [2]) τί ἐξεληλύθατε; προφήτην ἰδεῖν; ναὶ λέγω ὑμῖν, καὶ περισσότερον προφήτου.“ Ἀλλὰ εὐχαριστητέον τῷ θεῷ, ὅτι εἰ καὶ ἡ προφητικὴ ἀπὸ τοῦ λαοῦ ἦρται χάρις, ἡ πάσης ἐκείνης μείζων ἐξεχύθη εἰς τὰ ἔθνη διὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ, ὃς ἐγένετο „ἐν νεκροῖς [3]) ἐλεύθερος·“ εἰ γὰρ καὶ „ἐσταυρώθη [4]) ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως θεοῦ.“ Ἔτι δὲ ὅρα τὸν λόγον, παρ' ᾧ καθαρὰ μὲν καὶ ἀκάθαρτα ἐξετάζεται βρώματα· καταφρονεῖται δὲ προφητεία ἐπὶ πίνακι ἀντὶ ὄψου προαγομένη. Τὴν δὲ κεφαλὴν τῆς προφητείας Ἰουδαῖοι οὐκ ἔχουσι, τὸ κεφάλαιον πάσης προφητείας Χριστὸν Ἰησοῦν ἀρνούμενοι, καὶ ἀποκεφαλίζεται ὁ προφήτης δι' ὅρκον, ἐφ' οἷς μᾶλλον ἐπιορκεῖν ἢ εὐορκεῖν ἔδει· οὐ ταὐτὸν γὰρ ἦν ἔγκλημα προπετείας ὅρκων, καὶ τῆς διὰ τὴν προπετείαν ἐπιορκίας ἔγκλημα ἀναιρέσεως προφητικῆς. Καὶ οὐ διὰ τοῦτο μόνον ἀποκεφαλίζεται, ἀλλὰ καὶ τοὺς συνανακειμένους, βουλομένους μᾶλλον ἀναιρεθῆναι τὸν προφήτην, ἢ ζῆν. Συνανάκεινται δὲ καὶ

---

tena Romana: τῶν μὲν πρὸ ἡμῶν ἐτήρησέ τις, ὅτι φαῦλός ἐστιν ὁ τὰ γενέσεως τιμῶν πράγματα, καὶ τὴν ἡμέραν τῆς γενέσεως αὐτοῦ ἀποδεχόμενος· ἡμεῖς δὲ βεβαιοῦμεν τὴν διήγησιν καὶ ἐπὶ τοῦ Ἡρώδου, τὸ παραπλήσιον εὑρόντες, ὅτε καὶ ἡ θυγάτηρ Ἡρωδιάδος ὠρχήσατο, καὶ ἀπετμήθη ἡ Ἰωάννου κεφαλὴ, καὶ οὐδαμοῦ δίκαιος φαίνεται γενέθλιον ἄγων ἡμέραν.“

[1]) Ed. R. min. recte: ἐν γενητοῖς. Cfr. Matth. XI, 11.

[2]) Luc. VII, 26. Edd. N. T. ἀλλὰ τί ἐξήλθατε ἰδεῖν προφήτην; ναὶ λέγω κ. τ. λ.

[3]) Psalm. LXXXVIII, 5. (LXXXVII.)

[4]) II Cor. XIII, 4.

συνεστιῶνται λόγῳ μοχθηρῷ, Ἰουδαίων βασιλεύοντι, οἱ ἐπὶ τῇ γενέσει αὐτοῦ εὐφραινόμενοι. Χρήσῃ δέ ποτε χαριέντως τῷ ῥητῷ πρὸς τοὺς προπετῶς ὀμνύοντας,[1] καὶ θέλοντας ἐμπεδοῦν ὅρκους ἐπὶ παρανομίᾳ παραληφθέντας, λέγων ὅτι οὐ πᾶσα τήρησις ὅρκων ἐστὶ καθήκουσα, ὡς οὐδὲ ἡ[2] τοῦ Ἡρώδου. Ἔτι δὲ πρόσχες, ὅτι οὐ μετὰ παῤῥησίας, ἀλλὰ κρύφα καὶ ἐν φυλακῇ φονεύει τὸν Ἰωάννην ὁ Ἡρώδης. Καὶ γὰρ οὐ μετὰ παῤῥησίας ἀρνεῖται ὁ νῦν Ἰουδαίων λόγος τὰς προφητείας, δυνάμει δὲ καὶ ἐν κρυπτῷ αὐτὰς ἀρνεῖται, καὶ ἐλέγχεται αὐταῖς ἀπιστῶν. Ὥσπερ γὰρ εἰ ἐπίστευον[3] Μωυσῇ, τῷ Ἰησοῦ ἐπίστευσαν ἂν, οὕτως εἰ ἐπίστευον τοῖς προφήταις, προσήκαντο ἂν τὸν προφητευόμενον. Ἀπιστοῦντες δὲ τούτῳ, κἀκείνοις ἀπιστοῦσι, καὶ ἀποτέμνουσιν ἐν φυλακῇ κατακλείσαντες τὸν λόγον τὸν προφητικὸν, καὶ ἔχουσιν αὐτὸν νεκρὸν, καὶ διαιρεθέντα, καὶ μηδαμοῦ ὑγιῆ, ἐπεὶ μὴ νοοῦσιν αὐτόν. Ἀλλ' ἡμεῖς ὁλόκληρον ἔχομεν τὸν Ἰησοῦν, πληρωθείσης τῆς περὶ αὐτοῦ λεγούσης προφητείας· „ὀστοῦν[4] οὐ συντριβήσεται.“

23. Οἱ μαθηταὶ δὲ ἐλθόντες τοῦ Ἰωάννου, θάπτουσιν αὐτοῦ τὸ λείψανον, καὶ „ἐλθόντες[5] ἀπήγγειλαν τῷ Ἰησοῦ.“ Ὁ δὲ ἀνεχώρησεν εἰς ἔρημον τόπον, τὰ ἔθνη· καὶ μετὰ τὴν τῶν προφητῶν ἀναίρεσιν ὄχλοι αὐτῷ ἠκολούθησαν ἀπὸ τῶν πανταχοῦ πόλεων, ὅντινα πολὺν ὄντα θεασάμενος ἐσπλαγχνίσθη, καὶ ἐθεράπευσε τοὺς ἀῤῥώστους αὐτῶν, καὶ μετὰ τοῦτο τρέφει τοῖς εὐλογηθεῖσι καὶ πλεονάσασιν ἐξ ὀλίγων ἄρτων τοὺς ἀκο-

---

1) H. et R. ὀμνύοντας.

2) Deest ἡ in edd. H. et R.

3) Ev. Joann. V, 46.

4) Ev. Joann. XIX, 36. Edd. N. T. συντριβήσεται αὐτοῦ. Cfr. Exod. XII, 46. et Num. IX, 12.

5) Matth. XIV, 12.

λουθήσαντας αὐτῷ. „Ἀκούσας[1]) δὲ ὁ Ἰησοῦς ἀνεχώρησεν ἐν πλοίῳ ἐκεῖθεν εἰς ἔρημον τόπον κατ' ἰδίαν.“ Τὸ μὲν ῥητὸν διδάσκει ἡμᾶς, ὅση δύναμις ἀπὸ τῶν διωκόντων, καὶ τῆς προσδοκίας τοῦ διὰ τῶν λόγων ἐπιβουλεύεσθαι, ἀναχωρεῖν· — τοῦτο μὲν γὰρ κατὰ τὸ εὔλογιστον γένοιτ' ἂν —· τὸν δὲ δυνάμενον ἔξω εἶναι τῶν περιστατικῶν, ὁμόσε χωρεῖν αὐτοῖς, προπετές ἐστι καὶ θρασύ. Τίς δὲ ἔτι ἀμφιβάλοι ἂν περὶ τοῦ ἐκκλίνειν τὰ τοιαῦτα, οὐ μόνον ἐπὶ τοῖς κατὰ τὸν Ἰωάννην τοῦ Ἰησοῦ ἀναχωρήσαντος, ἀλλὰ καὶ διδάσκοντος, καὶ λέγοντος· „ἐὰν[2]) διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἑτέραν.“ Ἐπελθόντα μὲν οὖν οὐ παρ' ἡμᾶς πειρασμὸν ἀναγκαῖον ὑπομένειν εὐγενῶς λίαν καὶ τεθαῤῥηκότως· παρὸν δὲ ἐκκλίνειν, τοῦτο μὴ ποιεῖν τολμηρόν. Ἐπεὶ δὲ μετὰ τὸ ῥητὸν καὶ κατὰ ἀναγωγὴν τὸν τόπον ἐξεταστέον, λεκτέον, ὅτι ἐπιβουλευθείσης παρὰ Ἰουδαίοις τῆς προφητείας, καὶ ἀναιρεθείσης διὰ τὸ τιμᾶσθαι παρ' αὐτοῖς τὰ γενέσεως πράγματα, καὶ κατὰ ἀποδοχὴν κενῶν κινημάτων γεγενημένων, ὡς μὲν παρ' ἀληθείᾳ δικαζούσῃ, ἀῤῥύθμων[3]) καὶ ἐκμελῶν, ὡς δ' ὑπολαμβάνει ὁ τῶν φαύλων ἄρχων, καὶ οἱ συνεστιώμενοι αὐτῷ, εὐρύθμων καὶ ἀρεσκόντων ἐκείνοις, ἀναχωρεῖ ὁ[4]) Ἰησοῦς ἀπὸ τοῦ τόπου, ἐν ᾧ προφητεία ἐπιβουλευθεῖσα κατεδικάσθη· ἀναχωρεῖ δὲ εἰς τὸν ἔρημον θεοῦ παρὰ τοῖς ἔθνεσι τόπον, ἵνα ὁ τοῦ θεοῦ λόγος, αἰρομένης τῆς βασιλείας ἀπ' ἐκείνων, καὶ διδομένης ἔθνει[5]) ποιοῦντι τοὺς καρποὺς αὐτῆς, γένηται ἐν

---

[1]) Matth. XIV, 13. Ed. Knapp. *Καὶ ἀκούσ. ὁ Ἰησ., ἀνεχώρ. ἐκεῖθ. ἐν πλ. εἰς κ. τ. λ.*, ed. Lachm. *ἀκούσ. δὲ ὁ Ἰησ. ἀνεχώρ. ἐκεῖθ. ἐν πλ. εἰς κ. τ. λ.*

[2]) Matth. X, 23. Edd. N. T. *ὅταν δὲ διώκωσιν κτλ.*

[3]) Ed. Huet. min. accurate *ἀρυθμῶν*.

[4]) Desideratur *ὁ* in ed. Huetii.

[5]) Matth. XXI, 43.

τοῖς ἔθνεσι, καὶ δι' αὐτὸν πολλὰ[1]) γένηται τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, μήτε νόμον, μήτε προφήτας δεδιδαγμένης, ἢ τῆς ἐχούσης τὸν ἄνδρα, τὸν νόμον. Ὅτε μὲν οὖν πάλαι ὁ λόγος παρὰ Ἰουδαίοις ἦν, οὐχ οὕτως ἦν παρ' αὐτοῖς, ὡς παρὰ τοῖς ἔθνεσι. Διὸ λέλεκται ἐν πλοίῳ, τουτέστι τῷ σώματι, εἰς τὸν ἔρημον τόπον κατ' ἰδίαν γεγονέναι, ἀκούσαντα περὶ τῆς ἀναιρέσεως τοῦ προφήτου.[2]) Κατ' ἰδίαν δὲ γενόμενος εἰς τὴν ἔρημον, ἦν ἐν αὐτῇ, τῷ ἰδιάζοντα εἶναι τὸν Λόγον, καὶ τὴν διδασκαλίαν αὐτοῦ παρὰ τὰ εἰθισμένα ἐν τοῖς ἔθνεσι γίνεσθαι καὶ νενομισμένα. Καὶ οἱ ἐν τοῖς ἔθνεσιν[3]) ὄχλοι, ἀκούσαντες Λόγον ἐπιδεδημηκέναι τῇ ἐρήμῳ αὐτῶν, καὶ τοῦτον κατ' ἰδίαν τυγχάνειν, ὡς προαποδεδώκαμεν, ἠκολούθησαν αὐτῷ ἀπὸ τῶν ἰδίων πόλεων, τῷ ἕκαστον καταλελοιπέναι τὰ πάτρια τῆς δεισιδαιμονίας ἔθη, καὶ τῷ τοῦ Χριστοῦ προσεληλυθέναι νόμῳ. Πεζῇ δὲ αὐτῷ, καὶ οὐκ ἐν πλοίῳ ἠκολούθησαν, ἅτε μὴ τῷ σώματι, ἀλλὰ γυμνῇ τῇ ψυχῇ, καὶ τῇ ἀπὸ τοῦ Λόγου πεισθείσῃ προαιρέσει ἠκολουθηκότες τῇ εἰκόνι[4]) τοῦ θεοῦ. Καὶ πρὸς τούτους γε ὁ Ἰησοῦς ἐξέρχεται, μὴ χωροῦντας προσιέναι πρὸς αὐτὸν, ἵνα τοῖς ἔξω γενόμενος[5]) ἔσω, τοὺς ἔξω εἰσαγάγῃ. Πολὺς δὲ ὁ ἔξω ὄχλος, εἰς ὃν ἐξέρχεται ὁ τοῦ θεοῦ Λόγος, καὶ ἐκχέας τὸ φῶς τῆς ἐπισκοπῆς αὐτοῦ εἰς αὐτὸν, εἶδεν αὐτὸν, καὶ ἰδὼν τοῦ ἐλεεῖσθαι[6]) μᾶλλον αὐτοὺς ἀξίους, διὰ

---

[1]) Jes. LIV, 1. coll. ep. ad Gal. IV, 27.

[2]) H. et R. in notis: „legebat Erasmus: τῆς προφητείας.“

[3]) Ed. Huetiana: ἐν τ. ἔθνεσι ὄχλοι κ. τ. λ.

[4]) II Cor. IV, 4. Gal. I, 15. Hebr. I, 3. coll. Sap. Salom. VII, 26.

[5]) Ed. H. recte γενόμ. ἔσω, τοὺς κ. τ. λ., ed. R. γενόμενος, ἔσω τοὺς κ. τ. λ.

[6]) H. recte ἐλεεῖσθαι, R. ἐλεῖσθαι.

τὸ ἐν τοιοῖσδέ τισιν[1]) εἶναι, ὡς φιλάνθρωπος πέπονθεν ὁ ἀπαθὴς τὸ[2]) σπλαγχνισθῆναι, καὶ οὐ μόνον ἐσπλαγχνίσθη, ἀλλὰ καὶ τοὺς ἀῤῥώστους αὐτῶν ἐθεράπευσεν, ἔχοντας ποικίλα καὶ παντοδαπὰ ἀπὸ τῆς κακίας ἀῤῥωστήματα.

24. Εἰ δὲ θέλεις ἰδεῖν, ποῖά ἐστι τὰ τῆς ψυχῆς ἀῤῥωστήματα, κατανόει μοι τοὺς φιλαργύρους, καὶ τοὺς φιλοδόξους, καὶ τοὺς φιλόπαιδας, καὶ εἴ τίς ἐστι φιλόγυνος. Καὶ τούτους γὰρ ἐν τοῖς ὄχλοις ἰδὼν, καὶ σπλαγχνισθεὶς ἐπ᾽ αὐτοῖς ἐθεράπευσεν. Οὐ πᾶν δὲ ἁμάρτημα νομιστέον ἀῤῥωστίαν εἶναι, ἀλλ᾽ ὅπερ ἐναπέσκηψεν ὅλῃ τῇ ψυχῇ. Οὕτω γάρ ἐστιν ἰδεῖν[3]) τοὺς μὲν φιλαργύρους, ὅλους τεταμένους[4]) ἐπὶ τὸ ἀργύριον, καὶ τὴν τούτου φρουρὰν καὶ συναγωγήν· τοὺς φιλοδόξους, ἐπὶ τὸ δοξάριον· κεχήνασι γὰρ περὶ τὸν ἀπὸ τῶν πολλῶν καὶ χυδαιοτέρων ἔπαινον. Καὶ τὸ ἀνάλογον νοήσεις ἐπὶ ὧν ὠνομάσαμεν[5]) λοιπῶν, καὶ εἴ τι ἄλλο τούτοις ἐστὶ παραπλήσιον. Ἐπεὶ οὖν διηγούμενοι τό· „ἐθεράπευσε[6]) τοὺς ἀῤῥώστους αὐτῶν·“ εἴπομεν, μὴ πᾶν ἁμάρτημα εἶναι ἀῤῥώστημα, ἄξιον ἀπὸ τῆς γραφῆς καὶ περὶ τῆς διαφορᾶς τούτων παραμυθήσασθαι. Φησὶ δὴ ὁ Ἀπόστολος Κορινθίοις, ποικίλα ἔχουσιν ἁμαρτήματα, γράφων· „διὰ τοῦτο[7]) ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί.“ Ἄκουε γὰρ ἐν τούτοις τοῦ καὶ σύνδεσμον πλέκοντος, καὶ συμπεπλεγμένον ποιοῦντος ἐκ διαφόρων ἁμαρτη-

---

1) Ed. H. τοιοίσδέ τισιν, ed. R. τοιοισδέτισιν.

2) H. ad marg., R. in textu: τό; H. in textu: τῷ.

3) Ed. H. γάρ ἐστιν ἰδεῖν, ed. R. min. accur. ἐστιν γάρ ἰδεῖν.

4) H. τεταγμένους, R. recte τεταμένους.

5) H. minus accurate ὠνομάσωμεν.

6) Matth. XIV, 14.

7) I Cor. XI, 30.

μάτων, καθὸ[1]) οἱ μέν εἰσιν ἀσθενεῖς, ἕτεροι δὲ ἄῤῥωστοι πλέον ἢ ἀσθενεῖς, καὶ ἄλλοι παῤ ἀμφοτέρους οἱ κοιμώμενοι. Οἱ μὲν γὰρ ὀλισθηρῶς διὰ τὴν τῆς ψυχῆς ἀδυναμίαν πρὸς τὸ ὁτιποτοῦν ἁμαρτάνειν ἔχοντες, κἂν μὴ ὅλοι ὦσιν εἴδους τινὸς ἁμαρτίας, ὡς οἱ ἄῤῥωστοι, ἀσθενεῖς εἰσι μόνον· οἱ δὲ ὅλῃ ψυχῇ καὶ ὅλῃ καρδίᾳ καὶ ὅλῃ διανοίᾳ, ἀντὶ τοῦ τὸν θεὸν ἀγαπᾷν, ἀγαπῶντες ἀργύρια, ἢ δοξάρια, ἢ γυναῖκα, ἢ παῖδας, οὗτοι πλέον ἢ ἀσθενείας πεπόνθασι, καί εἰσιν ἄῤῥωστοι. Κοιμῶνται δὲ οἱ δέον προσέχειν καὶ ἐγρηγορέναι τῇ ψυχῇ, τοῦτο μὲν οὐ ποιοῦντες, ἀπὸ δὲ πολλῆς ἀπροσεξίας νυστάζοντες τὴν προαίρεσιν, καὶ ὑπνώττοντες τοῖς λογισμοῖς· οἵτινες ἐνυπνιαζόμενοι, σάρκα μὲν μιαίνουσι, κυριότατον δὲ ἀθετοῦσι, δόξας δὲ βλασφημοῦσιν. Οὗτοι δὲ, διὰ τὸ κοιμᾶσθαι, ἐν κεναῖς εἰσι φαντασίαις, καὶ παραβαλλομέναις ἐνυπνίοις, ταῖς[2]) περὶ τῶν πραγμάτων, τὰ μὲν ὕπαρ καὶ ἀληθῆ οὐκ ἀποδεχόμενοι, ὑπὸ δὲ τῶν ἐν ταῖς κεναῖς φαντασίαις ἀπατώμενοι· περὶ ὧν καὶ ἐν τῷ Ἡσαΐᾳ λέγεται τό· „ὃν[3]) τρόπον ἐνυπνιάζεται ὁ διψῶν ὡς ὁ πίνων, καὶ ἐξαναστὰς ἔτι διψᾷ, ἡ δὲ ψυχὴ αὐτοῦ εἰς κενὸν ἤλπισεν· οὕτως ἔσται ὁ πλοῦτος πάντων τῶν ἐθνῶν, ὅσοι ἐπεστράτευσαν ἐν[4]) Ἱερουσαλήμ.“ Εἰ καὶ ἐδόξαμεν οὖν παρεκβεβηκέναι, διηγούμενοι διαφορὰν ἀσθενῶν καὶ ἀῤῥώστων καὶ κοιμωμένων, διὰ τὸ τὸν Ἀπόστολον ἐν τῇ πρὸς Κορινθίους εἰρηκέναι, ἃ[5]) ἐξεθέμεθα, τὴν παρέκβασιν πε-

[1]) Ed. H. καθ' οἱ μέν εἰσιν κ. τ. λ.

[2]) H. et R. in notis: „verba: ταῖς — πραγμάτων, praetermisit Erasmus.“

[3]) Jes. XXIX, 8. Vulgares LXX. interpretum editiones: τῶν ἐθνῶν πάντων, ὅσοι ἐπεστράτ. ἐπὶ τὸ ὄρος Σιών.

[4]) H. et R. in notis: „Ms. Alexandrinus: ἐπὶ Ἱερουσαλὴμ καὶ ἐπὶ τὸ ὄρος Σιών.“

[5]) I Cor. XI, 30.

ποιήμεθα, βουληθέντες παραστῆσαι, τί σημαίνεται νοητὸν ἐκ τοῦ· „καὶ ἐθεράπευσε[1]) τοὺς ἀῤῥώστους αὐτῶν.“

25. Μετὰ τοῦτό φησιν ὁ λόγος, ὅτι „ὀψίας[2]) δὲ γενομένης προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· ἔρημός ἐστιν ὁ τόπος, καὶ ἡ ὥρα παρῆλθεν ἤδη. Ἀπόλυσον οὖν τοὺς ὄχλους, ἵνα ἀπελθόντες εἰς τὰς κώμας, ἀγοράσωσιν ἑαυτοῖς βρώματα.“ Καὶ πρῶτόν γε τήρησον, ὅτι μέλλων τοὺς τῆς εὐλογίας ἄρτους διδόναι τοῖς μαθηταῖς, ἵνα παραθῶσι τοῖς ὄχλοις, ἐθεράπευσε τοὺς ἀῤῥώστους, ἵνα ὑγιάναντες τῶν τῆς εὐλογίας μεταλάβωσιν ἄρτων· οὐ γὰρ δύνανται οἱ ἔτι ἄῤῥωστοι χωρῆσαι τοὺς τῆς Ἰησοῦ εὐλογίας ἄρτους. Ἀλλὰ καὶ ἐάν τις δέον ἀκούειν τοῦ· „δοκιμαζέτω[3]) δὲ ἕκαστος ἑαυτὸν, καὶ οὕτως ἐσθιέτω ἐκ τοῦ ἄρτου,“ καὶ τὰ λοιπὰ, τούτων μὲν μὴ κατακούῃ, ὡς ἔτυχε δὲ μεταλαμβάνῃ ἄρτου κυρίου, καὶ ποτηρίου αὐτοῦ, ἀσθενὴς ἢ ἄῤῥωστος γίνεται, ἢ καὶ, ἐκ τοῦ, ἵν' οὕτως εἴπω, καροῦσθαι ὑπὸ τῆς τοῦ ἄρτου δυνάμεως, κοιμώμενος.

---

[1]) Matth. XIV, 14.

[2]) Ibid. XIV, 15. Edd. N. T. ἤδη παρῆλθεν habent, et οὖν post ἀπόλυσον omittunt.

[3]) I Cor. XI, 28. Edd. N. T. δοκιμ. δὲ ἄνθρωπος ἑαυτὸν, καὶ οὕτ. ἐκ τ. ἄρτου ἐσθιέτω.

ΩΡΙΓΕΝΟΥΣ
ΕΚ ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ
ΜΑΤΘΑΙΟΝ
ΕΥΑΓΓΕΛΙΟΝ
ΕΞΗΓΗΤΙΚΩΝ

Τόμος [1]) ια΄.

1. „Ὀψίας [2]) δὲ γενομένης προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ," τουτέστιν ἐπὶ συντελείᾳ τοῦ αἰῶνος, καθ' ὃν ἐστιν εὐκαίρως εἰπεῖν τό· „ἐσχάτη [3]) ὥρα ἐστίν·" ἐν τῇ Ἰωάννου ἐπιστολῇ κείμενον· οἵτινες μηδέπω νοοῦντες ὃ ἔμελλε ποιεῖν ὁ Λόγος, φασὶν αὐτῷ ὅτι „ἐρημός [4]) ἐστιν ὁ τόπος," ὁρῶντες τὴν τοῦ θεοῦ, καὶ νόμου, καὶ Λόγου ἐρημίαν ἐν τοῖς πολλοῖς· λέγουσι

---

[1]) Τόμος ιά. Codd. Vatic. et Tarinian. hunc titulum exhibent, et ex sequentibus: Ὀψίας δὲ γενομένης κ. τ. λ., ordiuntur Tomum hunc XI. In ed. Huetii nullus est ejusmodi titulus, nec signum incipientis Tomi, unde colligebat, praecedentia non esse X., sed Tomi XI., aliter sane existimaturus, si in duos hosce Codd. nostros incidisset, in quibus manifeste uniuscujusque Tomi X., XI. et XII. limites ab invicem optime secernuntur. R.

[2]) Matth. XIV, 15. Ed. Knapp., ut nos, οἱ μαθ. αὐτοῦ, in ed. Lachm. deest αὐτοῦ.

[3]) I Joann. II, 18.

[4]) Matth. XIV, 15.

δ' αὐτῷ τό· „καὶ ἡ ὥρα [1]) παρῆλθεν·“ οἱονεὶ παρελήλυθε τὸ εὔκαιρον νόμου καὶ προφητῶν. Τάχα δὲ τοῦτο ἔλεγον, ἀναφέροντες τὸν λόγον, καὶ διὰ τὸ τὸν Ἰωάννην ἀποκεκεφαλίσθαι, καὶ τὸν νόμον, καὶ τοὺς προφήτας, οἳ ἦσαν μέχρι Ἰωάννου, πεπαῦσθαι. Παρῆλθεν οὖν, φασὶν, [2]) ἡ ὥρα, καὶ οὐ πάρεστι τροφὴ, τῷ τὸν καιρὸν αὐτῆς μηκέτι ἐνεστηκέναι, ἵν' οἱ ἐν τῇ ἐρήμῳ ἀκολουθήσαντές σοι, νόμῳ καὶ προφήταις δουλεύσωσι. Καὶ ἔτι φασὶν οἱ μαθηταί· ἀπόλυσον [3]) οὖν αὐτοὺς, ἵν' ἕκαστος, εἰ μὴ δύναται ἀπὸ τῶν πόλεων, ἀλλ' ἀπὸ τῶν κωμῶν, τῶν ἀτιμοτέρων χωρίων, ὠνήσηται βρώματα. Ταῦτα μὲν ἔφασκον οἱ μαθηταὶ, ἀπογινώσκοντες τοῖς ὄχλοις εὑρεθήσεσθαι, μετὰ τὸ καταλελύσθαι τὸ γράμμα τοῦ νόμου, καὶ πεπαῦσθαι προφητείας, παραδόξους καὶ καινὰς τροφάς. Ἀλλ' ὁ Ἰησοῦς ὅρα τί ἀποκρίνεται τοῖς μαθηταῖς, μονονουχὶ βοῶν καὶ σαφῶς λέγων· ὑμεῖς μὲν ὑπολαμβάνετε, ὅτι ἐὰν ἀπέλθωσιν ἀπ' ἐμοῦ ὁ πολὺς ὄχλος χρῄζοντες [4]) τροφῶν, ταύτας εὑρήσουσιν ἐν κώμαις μᾶλλον ἢ παρ' ἐμοὶ, καὶ ἐν συστήμασιν ἀνθρώπων, οὐ πολιτῶν, ἀλλὰ κωμητῶν, μᾶλλον ἢ ὅτι παραμένουσί μοι· ἐγὼ δὲ ὑμῖν ἀποφαίνομαι, ὅτι οὗ μὲν ὑπολαμβάνετε χρῄζειν αὐτοὺς, οὐ χρῄζουσιν, οὐ γὰρ χρείαν ἔχουσι [5]) τοῦ ἀπελθεῖν· οὗ δὲ νομίζετε αὐτοὺς μὴ ἔχειν χρείαν, τουτέστιν ἐμοῦ, ὡς μὴ δυναμένου αὐτοὺς τρέφειν, τούτου παρὰ τὴν ὑμετέραν προσδοκίαν χρείαν ἔχουσιν. Ἐπεὶ οὖν παιδεύσας ὑμᾶς ἱκα-

---

[1]) Matth. XIV, 15. Edd. N. T. κ. ἡ ὥρα ἤδη παρῆλθεν.

[2]) H. ad marg., R. in textu recte *φασίν*; R. in notis: „ita recte habet Cod. Vaticanus. Ed. Huet. (in textu) *φησίν*.“

[3]) Matth. XIV, 15.

[4]) Sic Codd. Anglican. et Vatic. Ed. H. *χρήσοντες*. R.

[5]) Ed. R. *ἔχουσιν*.

νοὺς ἐποίησα πρὸς τὸ διδόναι τοῖς δεομένοις λογικὴν τροφὴν, ὑμεῖς δότε τοῖς ἀκολουθήσασί μοι ὄχλοις φαγεῖν· ἔχετε γὰρ δύναμιν ἀπ᾽ ἐμοῦ λαβόντες, τοῦ δοῦναι τοῖς ὄχλοις φαγεῖν, ᾗτινι[1]) εἰ ἦτε ἐπιστήσαντες, κατενοήσατε ἂν ὅτι πολλῷ πλεῖον ἐγὼ δύναμαι αὐτοὺς θρέψαι, καὶ οὐκ εἰρήκειτε ἄν· „ἀπόλυσον[2]) τοὺς ὄχλους, ἵνα ἀπελθόντες ἀγοράσωσιν ἑαυτοῖς βρώματα.“

2. Ὁ μὲν οὖν Ἰησοῦς, δι᾽ ἣν ἔδωκε δύναμιν καὶ ἑτέρων θρεπτικὴν τοῖς μαθηταῖς, εἶπε· „δότε[3]) αὐτοῖς ὑμεῖς φαγεῖν·“ οἱ δὲ, μὴ ἀρνούμενοι μὲν τὸ δύνασθαι διδόναι ἄρτους, πολλῷ δὲ ὀλιγωτέρους αὐτοὺς νομίζοντες εἶναι, καὶ οὐχ ἱκανοὺς τρέφειν τοὺς ἀκολουθήσαντας τῷ Ἰησοῦ, οὐ δὲ θεωροῦντες, ὅτι ἕκαστον ἄρτον, Λόγον, ὁ Ἰησοῦς λαβὼν, εἰς ὅσον βούλεται ἐκτείνει, ποιῶν αὐτὸν διαρκῆ πᾶσιν ὅσους ἐὰν θρέψαι θέλῃ, φασίν· „οὐκ ἔχομεν[4]) ὧδε εἰ μὴ πέντε ἄρτους καὶ δύο ἰχθύας·“ πέντε μὲν ἴσως αἰνισσόμενοι ἄρτους εἶναι τοὺς αἰσθητοὺς τῶν γραφῶν λόγους, καὶ διὰ τοῦτο ἰσαρίθμους ταῖς πέντε αἰσθήσεσι· δύο δὲ ἰχθῦς, ἤτοι τὸν προφορικὸν, καὶ τον ἐνδιάθετον λόγον, ὡσπερεὶ ὄψον τυγχάνοντας τῶν ἐν ταῖς γραφαῖς αἰσθητῶν κειμένων, ἢ τάχα καὶ τὸν φθάσαντα ἐπ᾽ αὐτοὺς περὶ πατέρος καὶ υἱοῦ λόγον. Διὸ καὶ αὐτὸς ἔφαγεν ἰχθύος ὀπτοῦ[5]) ἀναστὰς, μέρος λαβὼν ἀπὸ τῶν μαθητῶν, καὶ ἀποδεξάμενος ἣν ἐδύναντο ἐκ μέρους ἀπαγγεῖλαι αὐτῷ περὶ τοῦ πατρὸς θεολογίαν. Ἡμεῖς μὲν οὖν οὕτως τῷ περὶ τῶν πέντε ἄρτων καὶ δύο ἰχθύων ἐπιβαλεῖν δεδυνήμεθα λόγῳ. Εἰκὸς δὲ, ὅτι οἱ μᾶλλον ἡμῶν συναγαγεῖν δυ-

---

[1]) Edd. H. et R. ἤ τινι εἰ ἦτε κ. τ. λ.

[2]) Matth. XIV, 15. Edd. N. T. ἵνα ἀπελθόντες εἰς τὰς κώμας ἀγοράσωσιν κ. τ. λ.

[3]) Matth. XIV, 16.

[4]) Ibid. XIV, 17.

[5]) Luc. XXIV, 42. 43.

νάμενοι τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας παρ' ἑαυτοῖς, πλείονα καὶ κρείττονα δύναιντ' ἂν ἀποδοῦναι περὶ τούτων νοῦν. Παρατηρητέον μέντοι, ὅτι τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας οἱ μαθηταὶ λέγουσιν ἔχειν παρὰ τῷ [1]) Ματθαίῳ, καὶ τῷ Μάρκῳ, καὶ τῷ Λουκᾷ, οὔθ' ὅτι πύρινοι, οὔθ' ὅτι κρίθινοι ἦσαν ὑποσημειωσάμενοι· ὁ δὲ Ἰωάννης μόνος κριθίνους εἶπεν εἶναι τοὺς ἄρτους. Διὸ [2]) τάχα οὐδὲ οἱ μαθηταὶ ὁμολογοῦσιν αὐτοὺς παρ' ἑαυτοῖς ἐν τῷ τοῦ Ἰωάννου εὐαγγελίῳ, ἀλλὰ λέγουσι παρ' αὐτῷ, ὅτι „ἐστὶ [3]) παιδάριον ὧδε, ὃ ἔχει πέντε ἄρτους κριθίνους καὶ δύο ὀψάρια.“ Καὶ ὅσον μὲν οἱ πέντε ἄρτοι οὗτοι καὶ δύο ἰχθύες οὐκ ἐφέροντο ὑπὸ τῶν μαθητῶν τοῦ Ἰησοῦ, οὐκ ηὔξανον, οὐδὲ ἐπλήθυνον, οὐδὲ ἐδύναντο τρέφειν πλείονας· ὅτε δὲ λαβὼν αὐτοὺς ὁ Σωτὴρ πρῶτον ἀνέβλεψεν εἰς τὸν οὐρανὸν, ταῖς ἀκτῖσι [4]) τῶν ὀφθαλμῶν αὐτοῦ οἱονεὶ καταβιβάζων δύναμιν ἐκεῖθεν, τὴν ἀνακραθησομένην τοῖς ἄρτοις καὶ τοῖς ἰχθύσι, μέλλουσι τρέφειν τοὺς πεντακισχιλίους, καὶ μετὰ τοῦτο ηὐλόγησε τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, τῷ λόγῳ καὶ τῇ εὐλογίᾳ αὔξων καὶ πληθύνων αὐτοὺς, καὶ τρίτον μερίζων καὶ κλῶν ἔδωκε τοῖς μαθηταῖς, ἵν' ἐκεῖνοι τοῖς ὄχλοις παραθῶσι, τότε διήρκεσαν [5]) οἱ ἄρτοι καὶ οἱ ἰχθύες, ὡς φαγεῖν πάντας, καὶ κορεσθῆναι, καί τινας τῶν εὐλογηθέντων ἄρτων μὴ χωρη-

---

[1]) Matth. XIV, 17. Marc. VI, 38. Luc. IX, 13.

[2]) Ed. Huet. corrupte: δύο τάχα οὐ οἱ μαθηταὶ ὁδ' μολογοῦσιν κ. τ. λ.

[3]) Ev. Joann. VI, 9. Ed. Knapp. ἔστι παιδ. ἓν ὧδε, ὃ ἔχει κ. τ. λ., ed. Lachm. ἔστιν παιδ. (ἓν) ὧδε, ὃς ἔχει κ. τ. λ.

[4]) H. et R. ἀκτίσι.

[5]) H. et R. (duce H.) in notis: „ita Cod. Holm. et catena in Luc. IX., quae Ms. habetur in bibliotheca Mazariniana. Videtur aliter habuisse Erasmi Codex; sic enim ipse vertit: *tunc suscipiebant illi panes.*“

σαι φαγεῖν. Ἐπερίσσευσε γὰρ τοῖς ὄχλοις τοσαῦτα, ἃ κατὰ μὲν τοὺς ὄχλους οὐκ ἦν, κατὰ δὲ τοὺς δυναμένους μαθητὰς ἆραι τὸ περισσεῦον τῶν κλασμάτων, καὶ ἀποθέσθαι εἰς κοφίνους πληρουμένους τῶν περισσευμάτων, ὄντας τὸν ἀριθμὸν τοσούτους, ὅσαι αἱ φυλαὶ τοῦ Ἰσραήλ. Περὶ μὲν οὖν τοῦ Ἰωσὴφ ἐν ψαλμοῖς γέγραπται· „αἱ χεῖρες[1]) αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν·“ περὶ δὲ τῶν Ἰησοῦ μαθητῶν, ὅτι ἦραν τὸ περισσεῦον τῶν κλασμάτων, οἱ δώδεκα, οἶμαι, δώδεκα κοφίνους, οὐχ ἡμιτελεῖς, ἀλλὰ πλήρεις. Καί εἰσιν, οἶμαι, μέχρι τοῦ δεῦρο, καὶ ἕως τῆς συντελείας τοῦ αἰῶνος, οἱ πλήρεις κόφινοι δώδεκα τῶν κλασμάτων ἄρτου ζῶντος, οὓς μὴ δύνανται οἱ ὄχλοι ἐσθίειν, παρὰ τοῖς τῶν ὄχλων κρείττοσι μαθηταῖς τοῦ Ἰησοῦ. Ἦσαν δὲ οἱ ἐσθίοντες ἀπὸ τῶν πέντε ἄρτων, τῶν πρὸ τῶν περισσευσάντων κοφίνων δώδεκα, συγγενεῖς τῷ πέντε ἀριθμῷ. Μέχρι τῶν αἰσθητῶν ἔφθασαν οἱ φαγόντες, ἐπεὶ καὶ οὗτοι ἀπὸ τοῦ ἀναβλέψαντος εἰς οὐρανὸν ἐτράφησαν, καὶ εὐλογήσαντος, καὶ κλάσαντος αὐτούς, καὶ οὐ παῖδες, οὐδὲ γυναῖκες, ἀλλὰ ἄνδρες. Εἰσὶ γὰρ καὶ ἐν αἰσθηταῖς, οἶμαι, τροφαῖς διαφοραί, ὥς τινας μὲν αὐτῶν εἶναι καταργησάντων[2]) τὰ τοῦ νηπίου, τινὰς δὲ ἔτι τῶν νηπίων καὶ σαρκίνων ἐν Χριστῷ.

3. Καὶ ταῦτα δὲ ἡμῖν λέλεκται διὰ τό· „ἐσθίοντες[3]) ἦσαν ἄνδρες πεντακισχίλιοι, χωρὶς παιδίων καὶ γυναικῶν·“ ὅπερ ἀμφίβολόν ἐστιν· ἢ γὰρ οἱ φαγόντες ἦσαν ἄνδρες πεντακισχίλιοι, καὶ οὐδεὶς ἦν ἐν τοῖς ἐσθίουσι παιδίον, ἢ γυνή· ἢ ὅτι μόνον ἄνδρες πεντακισχίλιοι ἦσαν, μὴ ἀριθμουμένων μήτε παίδων, μήτε

---

[1]) Psalm. LXXXI, 6. (LXXX.)

[2]) I Cor. XIII, 11.

[3]) Matth. XIV, 21. Ed. Knapp. ἄνδρες ὡσεὶ πεντ., χωρ. γυν. καὶ παιδίων, ed. Lachm. ἄνδρες ὡσεὶ πεντ. χωρ. παιδ. καὶ γυναικῶν.

γυναικῶν. Τινὲς μὲν οὖν, ὡς φθάσαντες εἰρήκαμεν, οὕτως ἐξειλήφασιν, ὅτι οὔτε παιδία, οὐδὲ γυναῖκες παρῆσαν τοῖς ηὐξηκόσι καὶ πεπληθυσμένοις ἀπὸ τῶν πέντε ἄρτων, καὶ τῶν δύο ἰχθύων. Εἴποι δ᾽ ἄν τις, ὅτι πολλῶν φαγόντων, καὶ κατ᾽ ἀξίαν καὶ δύναμιν μετειληφότων ἀπὸ τῶν τῆς εὐλογίας ἄρτων, οἱ μὲν ἀριθμῶν ἄξιοι, ἀνάλογον τοῖς ἐν τῇ βίβλῳ τῶν Ἀριθμῶν ἀριθμηθεῖσιν εἰκοσαετέσιν,[1]) Ἰσραηλῖτες ἄνδρες ἦσαν· οἱ δὲ μὴ ἄξιοι τηλικούτου λόγου καὶ ἀριθμοῦ, παῖδες ἦσαν, καὶ γυναῖκες. Τροπολόγει δέ μοι καὶ τοὺς παῖδας κατὰ τό· „οὐκ[2]) ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ᾽ ὡς σαρκίνοις,[3]) ὡς νηπίοις ἐν Χριστῷ·“ καὶ τὰς γυναῖκας κατὰ τό· βούλομαι δὲ τοὺς πάντας ὑμᾶς „παρθένον[4]) ἁγνὴν παραστῆσαι τῷ Χριστῷ·“ τοὺς δὲ ἄνδρας κατὰ τό· „ὅτε[5]) γέγονα ἀνὴρ, κατήργηκα τὰ τοῦ νηπίου.“ Μὴ παρέλθωμεν ἀδιήγητον καὶ τό· „κελεύσας[6]) τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοῦ χόρτου, λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν ηὐλόγησε· καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς τοὺς ἄρτους, οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. Καὶ ἔφαγον πάντες.“ Τί γὰρ σημαίνοι τό· „καὶ ἐκέλευσε πάντας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοῦ χόρτου,“ καὶ τί ἄξιόν ἐστι τῆς κελεύσεως Ἰησοῦ νοῆσαι κατὰ τὸν τόπον; Νομίζω δὲ, ὅτι τοὺς ὄχλους ἐκέλευσεν ἀνακλιθῆναι ἐν τῷ χόρτῳ διὰ τὸ ἐν Ἡσαΐᾳ λελεγμένον· „πᾶσα[7]) σὰρξ χόρτος“ τουτέστιν ὑποκάτω ποιῆσαι τὴν

---

[1]) Num. I, 3. H. et R. *εἰκοσαέτεσιν.*

[2]) I Cor. III, 1. Edd. N. T. *λαλῆσαι ὑμῖν.*

[3]) Ed. Knapp. *σαρκικοῖς*, ed. Lachm. *σαρκίνοις.*

[4]) II Cor. XI, 2. coll. edd. N. T.

[5]) I Cor. XIII, 11. Ed. Knapp. *ὅτε δὲ γέγονα κ. τ. λ.*, ed. Lachm. *ὅτε γέγονα κ. τ. λ.*

[6]) Matth. XIV, 19. 20. Ed. Knapp. *ἐπὶ τοὺς χόρτους* et *εὐλόγησε*, ed. Lachm. ut in nostro textu.

[7]) Jes. XL, 6. — Rom. VIII, 6.

σάρκα, καὶ ὑποτάξαι τὸ φρόνημα τῆς σαρκὸς, ἵν᾽ οὕτω τις δυνηθῇ ὧν εὐλογεῖ ἄρτων Ἰησοῦς μεταλαβεῖν. Εἶτα ἐπεὶ τάγματα διάφορά ἐστι τῶν δεομένων τῆς ἀπὸ Ἰησοῦ τροφῆς, μὴ πάντων τοῖς ἴσοις λόγοις τρεφομένων, διὰ τοῦτο οἶμαι τὸν μὲν Μάρκον πεποιηκέναι· „καὶ [1]) ἐπέταξεν αὐτοῖς πᾶσιν ἀνακλιθῆναι συμπόσια συμπόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ. Καὶ ἀνέπεσον πρασιαὶ πρασιαὶ ἀνὰ ἑκατὸν καὶ πεντήκοτα·" τὸν δὲ Λουκᾶν· „εἶπε [2]) δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· κατακλίνατε αὐτοὺς κλισίας ὡσεὶ ἀνὰ πεντήκοντα." Ἔδει γὰρ τοὺς ἀναπαυσομένους ἐπὶ ταῖς Ἰησοῦ τροφαῖς, ἤτοι ἐν τάγματι εἶναι τοῦ ἑκατὸν ἱεροῦ ἀριθμοῦ, καὶ τῷ θεῷ διὰ τὴν μονάδα ἀνακειμένου, ἢ ἐν τάγματι τῶν πεντήκοντα, ἀριθμῷ περιέχοντι τὴν ἄφεσιν, κατὰ τὸ μυστήριον τοῦ Ἰωβηλαίου, γινομένου διὰ πεντήκοντα ἐτίας, καὶ τῆς κατὰ τὴν Πεντηκοστὴν ἑορτῆς. Οἶμαι δὲ, ὅτι οἱ δώδεκα κόφινοι ἦσαν παρὰ τοῖς μαθηταῖς, πρὸς οὓς εἴρηται· „καθήσεσθε [3]) ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ." Καὶ ὥσπερ λέγοιτο ἂν μυστήριον εἶναι θρόνος κρίνοντος φυλὴν Ῥουβεὶμ, καὶ θρόνος κρίνοντος φυλὴν Συμεὼν, καὶ ἄλλος φυλὴν Ἰούδα, καὶ οὕτω καθεξῆς· οὕτως εἴη ἂν καὶ κόφινος τροφῆς Ῥουβεὶμ, καὶ ἄλλος Συμεὼν, καὶ ἄλλος Λευΐ. Οὐ κατὰ τὸν παρόντα δέ ἐστι λόγον νῦν τοσοῦτον ἐκβῆναι τοῦ προκειμένου, ὡς συναγαγεῖν τὰ περὶ τῶν δώδεκα φυ-

---

[1]) Marc. VI, 39. 40. Ed. Knapp. vers. 39. καὶ ἐπέτ. αὐτοῖς ἀνακλῖναι πάντας, συμπόσια κ. τ. λ., ed. Lachm. καὶ ἐπέτ. αὐτοῖς ἀνακλιθῆναι πάντας συμπόσια κ. τ. λ. Vers. 40. ed. Knapp. καὶ ἀνέπ. πρασ. πρασιαὶ, ἀνὰ ἑκ., καὶ ἀνὰ πεντ., ed. Lachm. καὶ ἀνέπ. πρασ. πρασ., κατὰ ἑκ. καὶ κατὰ πεντήκοντα.

[2]) Luc. IX, 14. Ed. Knapp. μαθητ. αὐτοῦ· κατακλίν. αὐτ. κλισ. ἀνά κ. τ. λ., ed. Lachm. μαθητ. αὐτοῦ· κατακλίν. αὐτ. κλισ. (ὡσεὶ) ἀνά κ. τ. λ.

[3]) Matth. XIX, 28. coll. edd. N. T. et Luc. XXII, 30.

λῶν, καὶ ἰδίᾳ τὰ περὶ ἑκάστης αὐτῶν, καὶ εἰπεῖν, τίς ἑκάστη τοῦ Ἰσραὴλ φυλή.

4. „Καὶ[1]) εὐθέως ἠνάγκασε τοὺς μαθητὰς ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ[2]) τοὺς ὄχλους.“ Παρατηρητέον ποσάκις εἴρηται κατὰ τοὺς αὐτοὺς τόπους τὸ ὄνομα „οἱ ὄχλοι,“ καὶ ἄλλο ὄνομα „οἱ μαθηταὶ,“ ἵν' ἐκ τῆς παρατηρήσεως καὶ τῆς περὶ τούτου συναγωγῆς θεωρηθῇ, ὅτι τὸ προκείμενον τοῖς Εὐαγγελισταῖς ἦν, διὰ τῆς εὐαγγελικῆς ἱστορίας παραστῆσαι διαφορὰς τῶν προσερχομένων[3]) τῷ Ἰησοῦ· ὧν οἱ μέν εἰσιν ὄχλοι, καὶ οὐ χρηματίζουσι μαθηταὶ, ἕτεροι δὲ οἱ μαθηταὶ κρείττους τυγχάνοντες τῶν ὄχλων. Ἀρκεῖ δὲ ἐπὶ τοῦ παρόντος ὀλίγα ῥητὰ ἡμᾶς παραθέσθαι, ἵνα ἀπὸ τούτων κινηθείς τις τὸ ὅμοιον ποιήσῃ ἐπὶ ὅλων τῶν εὐαγγελίων. Γέγραπται τοίνυν, ὡς κάτω τῶν ὄχλων τυγχανόντων, τῶν δὲ μαθητῶν ἀναβάντι εἰς τὸ ὄρος τῷ Ἰησοῦ δυναμένων προσελθεῖν, ἔνθα οὐχ[4]) οἷοίτε ἦσαν οἱ ὄχλοι γενέσθαι, τοιαῦτα· „ἰδὼν[5]) δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος· καὶ καθίσαντος αὐτοῦ, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. Καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς, λέγων· μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι,“ καὶ τὰ ἑξῆς. Καὶ πάλιν ἐν ἄλλῳ τόπῳ, ὡς τῶν ὄχλων δεομένων θεραπείας, λέλεκται· „ἠκολούθησαν[6]) αὐτῷ ὄχλοι πολλοὶ,

---

[1]) Matth. XIV, 22. Ed. Knapp. ἠνάγκ. (ὁ Ἰησοῦς) τοὺς μαθ. (αὐτοῦ) ἐμβῆναι κ. τ. λ., ed. Lachm. ἠνάγκ. τοὺς μαθ. αὐτοῦ ἐμβῆναι κ. τ. λ.

[2]) Ed. R. recte ἀπολύσῃ, ed. H. ἀπολύσει.

[3]) Ed. R. min. accurate: προσεχομένων.

[4]) Ed. H. οὐκ οἷοί τε ἦσαν κ. τ. λ.

[5]) Matth. V, 1. 2. 3. Ed. Knapp. (it. ed. Huet.) vers. 2. στόμα αὐτοῦ, ed. Lachm. (item ed. R.) στόμα αὐτοῦ.

[6]) Matth. XII, 15 Ed. Knapp. ὄχλοι πολλοί, ed.

καὶ ἐθεράπευσεν αὐτούς.“ Οὐχ εὕρομεν δὲ περὶ μαθητῶν ἀναγεγραμμένην θεραπείαν, ἐπεὶ, εἴ τίς ἐστιν ἤδη μαθητὴς τοῦ Ἰησοῦ, ὑγιαίνει ἐκεῖνος, καὶ καλῶς ἔχων δεῖται τοῦ Ἰησοῦ, οὐχὶ ἰατροῦ, ἀλλὰ κατὰ τὰς ἄλλας αὐτοῦ δυνάμεις. Πάλιν ἐν ἄλλῳ τόπῳ, λαλοῦντος[1]) αὐτοῦ τοῖς ὄχλοις, ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ εἱστήκεισαν ἔξω, ζητοῦντες λαλῆσαι αὐτῷ, ὅπερ αὐτῷ ἐδηλώθη· πρὸς ὃν ἀπεκρίνατο ἐκτείνας τὴν χεῖρα, οὐκ ἐπὶ τοὺς ὄχλους, ἀλλ' ἐπὶ τοὺς μαθητὰς, καὶ εἶπεν· „ἰδοὺ ἡ μήτηρ μου, καὶ οἱ ἀδελφοί μου,“ καὶ μαρτυρῶν τοῖς μαθηταῖς, ὡς ποιοῦσι τὸ θέλημα τοῦ πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς· „αὐτός μου καὶ ἀδελφὸς, καὶ ἀδελφὴ, καὶ μήτηρ ἐστί.“ Καὶ πάλιν ἐν ἄλλῳ τόπῳ γέγραπται, ὅτι „πᾶς[2]) ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει, καὶ ἐλάλησεν ἐν παραβολαῖς αὐτοῖς πολλά·“ εἶτα μετὰ τὴν τοῦ σπόρου παραβολὴν προσελθόντες οὐκέτι οἱ ὄχλοι, ἀλλ' οἱ μαθηταὶ, εἶπον αὐτῷ, οὐ·[3]) διὰ τί ἐν παραβολαῖς ἡμῖν λαλεῖς; ἀλλά· „διὰ[4]) τί ἐν παραβολαῖς λαλεῖς αὐτοῖς;“ ὅτε καὶ ἀποκριθεὶς εἶπεν, οὐ τοῖς ὄχλοις, ἀλλὰ τοῖς μαθηταῖς τό· „ὑμῖν[5]) δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν· τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς.“ Οὐκοῦν τῶν προσερχομένων τῷ ὀνόματι τοῦ Ἰησοῦ, οἱ

Lachm. πολλοί, omisso voc. ὄχλοι. In fine vers. utraq. editio αὐτοὺς πάντας.

[1]) Ibid. XII, 46. 47. 49. 50. coll. edd. N. T.

[2]) Matth. XIII, 2. 3. Edd. N. T. vers. 3. καὶ ἐλάλ. αὐτ. πολλὰ ἐν παραβολαῖς.

[3]) H. et R. (duce H.) in notis: „in Cod. Holmiensi οὐ insertum erat manu recentiori: optime, nam et sensus id postulat, et Erasmus expressit.“ Quibus R. haec addit: in Codd. Anglicano, Vaticano et Tariniano prima manu scriptum est.

[4]) Matth. XIII, 10.

[5]) Ibid. XIII, 11. coll. edd. N. T. (nec non pag. 76. lin. 6.) et Luc. VIII, 10.

μὲν γινώσκοντες τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, μαθηταὶ χρηματίζοιεν ἄν· οἷς δὲ τὸ τοιοῦτον οὐ δέδοται, ὄχλοι, οἳ τῶν μαθητῶν ἥττους λέγοιντ' ἄν. Πρόσχες γὰρ ἐπιμελῶς, ὅτι τοῖς μαθηταῖς εἶπε τό· „ὑμῖν δέδοται[1]) *γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν·“ περὶ δὲ τῶν ὄχλων τό· „ἐκείνοις δὲ οὐ δέδοται.“ Καὶ ἐν ἄλλῳ τόπῳ ἀφίησι*[2]) *μὲν τοὺς ὄχλους, καὶ ἔρχεται εἰς τὴν οἰκίαν, οὐχὶ δὲ τοὺς μαθητὰς, καὶ εἰς τὴν οἰκίαν αὐτοῦ προσῆλθον αὐτῷ, οὐχὶ*[3]) *οἱ ὄχλοι, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· „φράσον ἡμῖν τὴν παραβολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ.“ Ἀλλὰ καὶ ἐν ἄλλῳ τόπῳ, ἡνίκα ἀκούσας*[4]) *τὰ περὶ Ἰωάννου ὁ Ἰησοῦς ἀνεχώρησεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ' ἰδίαν, οἱ ὄχλοι ἠκολούθησαν αὐτῷ· ὅτε ἐξελθὼν εἶδε πολὺν ὄχλον, καὶ σπλαγχνισθεὶς ἐπ' αὐτοῖς, ἐθεράπευσε τοὺς ἀῤῥώστους αὐτῶν, τῶν ὄχλων, οὐχὶ τῶν μαθητῶν. Ὀψίας*[5]) *δὲ γενομένης προσῆλθον αὐτῷ, οὐχ οἱ ὄχλοι, ἀλλ' οἱ μαθηταὶ λέγοντες, ὡς ἕτεροι τῶν ὄχλων· „ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἀπελθόντες εἰς τὰς κώμας ἀγοράσωσιν ἑαυτοῖς βρώματα.“ Ἀλλὰ καὶ ἡνίκα λαβὼν*[6]) *τοὺς πέντε ἄρτους, καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησε, καὶ κλάσας τοὺς ἄρτους, οὐ τοῖς ὄχλοις, ἀλλὰ τοῖς μαθηταῖς ἔδωκεν, ἵνα οἱ μαθηταὶ δῶσι τοῖς ὄχλοις, μὴ χωροῦσιν ἀπ' αὐτοῦ λαβεῖν, ἀλλὰ μόγις διὰ τῶν μαθητῶν δεχομένοις τοὺς τῆς εὐλογίας Ἰησοῦ ἄρτους, καὶ οὐδὲ τούτους πάντας ἐσθίουσι· χορτασθέντες γὰρ οἱ ὄχλοι καταλελοίπασι τὸ περισσεῦον ἐν κοφίνοις οὖσι πλήρεσι δώδεκα.*

---

[1]) Matth. XIII, 11. coll. pag. 75. not. 5.

[2]) Ibid. XIII, 36. coll. pag. 8. not. 1. et 2. et pag. 9. not. 1.

[3]) Ed. Huet. *οὐχ οἱ ὄχλοι κ. τ. λ.*

[4]) Matth. XIV, 13. 14.

[5]) Ibid. XIV, 15.

[6]) Ibid. XIV, 19.

5. Οὗ δὲ ἕνεκεν ταῦτα[1]) παρειλήφαμεν, ἔστι τὸ προκείμενον, ὅτι χωρίσας ὁ Ἰησοῦς τῶν ὄχλων τοὺς μαθητὰς, ἠνάγκασεν[2]) αὐτοὺς ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ[3]) αὐτὸς τοὺς ὄχλους· οὐ γὰρ ἐδύναντο οἱ ὄχλοι εἰς τὸ πέραν ἀπελθεῖν, ὡς οὐ μυστικῶς Ἑβραῖοι, οἵτινες ἑρμηνεύονται περατικοί. Ἀλλὰ τοῦτο ἔργον ἦν τῶν Ἰησοῦ μαθητῶν· λέγω δὲ εἰς τὸ πέραν ἀπελθεῖν, καὶ ὑπερβῆναι τὰ βλεπόμενα, καὶ σωματικὰ, ὡς πρόσκαιρα, φθάσαι δὲ ἐπὶ τὰ μὴ βλεπόμενα, καὶ αἰώνια. Εὐεργεσία οὖν αὐτάρκης ἦν τοῖς ὄχλοις, ἀπὸ τοῦ Ἰησοῦ αὐτοῖς διδομένη, μὴ δυναμένοις, διὰ τὸ ὄχλους εἶναι, ἀπελθεῖν εἰς τὸ πέραν, ἀπολυθῆναι ἀπὸ τοῦ Ἰησοῦ, ἥντινα ἀπόλυσιν οὐδεὶς ἔχει ἐξουσίαν ἀπολύειν, ἢ ὁ Χριστὸς μόνος, καὶ οὐχ[4]) οἱόντέ ἐστιν ἀπολυθῆναί τινα, μὴ πρότερον φαγόντα ἄρτων, ὧν ὁ Ἰησοῦς εὐλογεῖ. Οὐχ οἷον[5]) δὲ φαγεῖν τῶν ἄρτων τῆς εὐλογίας Ἰησοῦ, εἰ μὴ ὡς ἐκέλευσεν ὁ Ἰησοῦς ποιήσαντα, καὶ ἀνακλιθέντα ἐπὶ τοῦ χόρτου, ὡς ἀποδεδώκαμεν. Ἀλλ' οὐδὲ

---

1) H. et R. in textu non male *ταύτας*; H. tamen ad marg.: „scrib. *ταῦτα*.“ Idem in notis: „Erasmus *caeterum cujus gratia has annotationes obiter adjunxerimus*. An aliquam vocem supplendam reliquit Origenes, ut *διασαφήσεις, ἐξηγήσεις, ἐπισημειώσεις*, vel quid simile? An nos in exscribendo nimium praecipites vocem aliquam praetermisimus? An pro *ταύτας* legendum *ταῦτα*? Viderit lector.“ Quibus quidem R. haec adjungit: in exscribendo nimium praeceps non fuit vir clariss., si quidem in Codd. Anglicano, Vaticano et Tariniano simili modo legitur *ταύτας παρειλήφαμεν*.

2) Matth. XIV, 22. coll. pag. 74. not. 1.

3) H. et R. h. l. *ἀπολύσει*. Cfr. pag. 74. not. 2.

4) Ed. Huet. min. accur.: *καὶ οὐχ' οἷγε τέ ἐστιν κτλ.*

5) Ed. H. min. recte: *οὐχ' οἷγε δὲ — εὐλογίας Ἰησοῦς, κ. τ. λ.*

τοῦτο οἷόντε ποιῆσαι τοὺς ὄχλους, μὴ ἀκολουθήσαντας τῷ Ἰησοῦ ἀπὸ τῶν ἰδίων πόλεων, ἀναχωρήσαντι εἰς ἔρημον τόπον κατ' ἰδίαν. Καὶ πρότερον μὲν ἀξιούμενος ὑπὸ τῶν μαθητῶν ἀπολῦσαι τοὺς ὄχλους, οὐκ ἀπέλυσεν, ἕως ἔθρεψε τοῖς ἄρτοις τῆς εὐλογίας. Νῦν δὲ ἀπολύει, τῶν μαθητῶν πρότερον ἀναγκασθέντων ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ ἀπολύει αὐτοὺς κάτω που τυγχάνοντας· κάτω γὰρ ἡ ἔρημος. Αὐτὸς δὲ ἀνέβη[1]) εἰς τὸ ὄρος προσεύξασθαι. Καὶ τοῦτο δὲ παρατηρητέον, ὅτι εὐθέως μετὰ τὸ τραφῆναι τοὺς πεντακισχιλίους, ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν. Πλὴν οὐ δεδύνηνται οἱ μαθηταὶ προάγειν τὸν Ἰησοῦν εἰς τὸ πέραν, ἀλλὰ μέχρι τοῦ μέσου τῆς θαλάσσης φθάσαντες, βασανιζομένου τοῦ πλοίου, τῷ τὸν ἄνεμον αὐτοῖς εἶναι ἐναντίον, ἐφοβήθησαν, περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς ἐλθόντος πρὸς αὐτοὺς τοῦ Ἰησοῦ. Καὶ εἰ μὴ ἀναβεβήκει εἰς τὸ πλοῖον ὁ Ἰησοῦς, οὔτ' ἂν ὁ τοῖς πλέουσι μαθηταῖς ἐναντιούμενος ἐπαύσατο ἄνεμος, οὔτ' ἂν διαπεράσαντες ἦλθον εἰς τὸ πέραν οἱ πλέοντες. Καὶ τάχα βουλόμενος τῇ πείρᾳ αὐτοὺς διδάξαι, ὅτι[2]) οὐχ οἷόντέ ἐστι χωρὶς αὐτοῦ ἀπελθεῖν εἰς τὸ πέραν, ἠνάγκασε μὲν ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν· μὴ δυνηθεῖσι δ' αὐτοῖς πλέον τοῦ μέσου τῆς θαλάσσης διελθεῖν, ἐπιφανεὶς, καὶ ποιήσας τὰ γεγραμμένα, ἔδειξεν ὅτι ὁ εἰς τὸ πέραν γιγνόμενος, Ἰησοῦ αὐτῷ συμπλέοντος φθάνει ἐκεῖ. Τί δὲ τὸ πλοῖον, εἰς ὃ ἠνάγκασεν ἐμβῆναι τοὺς μαθητὰς ὁ Ἰησοῦς; ἢ τάχα ὁ τῶν πειρασμῶν καὶ περιστάσεων ἀγὼν, εἰς ὃν ἀναγκαζόμενός τις ὑπὸ τοῦ Λόγου, καὶ οἱονεὶ οὐχ[3]) ἑκὼν ἔρχεται, βουλομένου τοῦ Σωτῆρος γυμνάσασθαι τοὺς

---

[1]) Matth. XIV, 23. — 22.

[2]) Ed. Huet. ὅτι μὴ οἷόν τέ ἐστι κ. τ. λ.

[3]) Ed. Huet. οὐκ ἑκὼν ἔρχεται.

μαθητὰς ἐν τῷ βασανιζομένῳ τούτῳ πλοίῳ ὑπὸ τῶν κυμάτων καὶ[1]) τοῦ ἐναντίου ἀνέμου. Ἐπειδὴ δὲ „εὐθέως[2]) ἠνάγκασε τοὺς μαθητὰς ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν," ὀλίγον ἐναλλάξας τὴν λέξιν ἀνέγραψε καὶ ὁ Μάρκος ποιήσας· „καὶ[3]) εὐθέως ἠνάγκασε τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν[4]) εἰς τὸ πέραν εἰς[5]) Βηθσαϊδᾶ," ἀναγκαῖον ἐπιστῆσαι τῷ· „ἠνάγκασεν," ἐπὰν πρότερον ἴδωμεν τὰ τῆς ὀλίγης παραλλαγῆς τοῦ Μάρκου, ὡρισμένον πλεῖόν τι[6]) ἐμφαίνοντος διὰ τῆς τοῦ ἄρθρου προσθήκης· οὐ γὰρ ταὐτὸν ἐμφαίνεται ἀπὸ τοῦ· „εὐθέως[7]) ἠνάγκασε τοὺς μαθητάς." Ἔχει δέ τι πλεῖον, τό· „τοὺς[8]) μαθητὰς αὐτοῦ·" παρὰ τῷ Μάρκῳ γεγραμμένον, παρὰ τὸ[9]) ἁπλῶς· „τοὺς μαθητάς." Τάχα οὖν, ἵνα καὶ τῇ λέξει παραστῶμεν, οἱ μὲν μαθηταὶ δυσαποσπάστως ἔχοντες τοῦ Ἰησοῦ, οὐδὲ κατὰ τὸ τυχὸν αὐτοῦ χωρίζεσθαι δύνανται, βουλόμενοι παρεῖναι αὐτῷ· ὁ δὲ κρίνας αὐτοὺς πεῖραν λαβεῖν κυμάτων, καὶ ἐναντίου ἀνέμου, — οὐκ ἂν γενομένου, εἰ ἦσαν μετὰ τοῦ Ἰησοῦ —, ἀνάγκην αὐτοῖς ἐπήρτησε χωρισθεῖσιν αὐτοῦ ἐμβῆναι εἰς πλοῖον. Ἀναγκάζει μὲν οὖν τοὺς μαθητὰς ἐμβῆναι εἰς τὸ πλοῖον τῶν πειρασμῶν ὁ Σωτὴρ, καὶ

---

[1]) Deest καί in textu edd. H. et R.; recte tamen R. in notis: „scrib. καὶ τοῦ κ. τ. λ." Negligenter H., quum τοῦ jam adsit, ad marginem: „scrib. τοῦ."

[2]) Matth. XIV, 22. coll. pag. 74. not. 1.

[3]) Marc. VI, 45. Ed. Knapp. (it. ed. Huet.) μαθητὰς αὐτοῦ, ed. Lachm. (itemq. ed. R.) μαθητὰς αὐτοῦ.

[4]) Desideratur αὐτόν in edd. N. T.

[5]) H. et R. Βηθσαϊδᾶ, edd. N. T. Βηθσαϊδάν.

[6]) Adest τι in notis, quas exhibent edd. H. et R., deest in textu utriusq. editionis.

[7]) Matth. XIV, 22. coll. pag. huj. not. 2.

[8]) Marc. VI, 45. coll. pag. huj. not. 3.

[9]) Ed. H. min. recte τῷ. — Matth. XIV, 22.

προάγειν αὐτὸν εἰς τὸ πέραν, καὶ ἐπέκεινα τῶν περιστάσεων διὰ τὸ νικᾷν αὐτοὺς γενέσθαι· οἱ δὲ εἰς τὸ μέσον τῆς θαλάσσης, καὶ τῶν ἐν πειρασμοῖς γενόμενοι κυμάτων, καὶ τῶν ἐναντίων ἀνέμων κωλυόντων αὐτοὺς ἀπελθεῖν εἰς τὸ πέραν, παλαίοντες οὐ δεδύνηνται χωρὶς τοῦ Ἰησοῦ νικῆσαι τὰ κύματα καὶ τὸν ἐναντίον ἄνεμον, καὶ φθάσαι εἰς τὸ πέραν. Διόπερ ἐλεήσας αὐτοὺς ὁ Λόγος, πάντα τὰ παρ' ἑαυτοὺς πράξαντας, ἵνα εἰς τὸ πέραν γένωνται, ἦλθε πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τὴν θάλασσαν, αὐτῷ μὴ ἔχουσαν κύματα, οὐδὲ ἄνεμον ἐναντιοῦσθαι δυνάμενον, εἰ καὶ ἐβούλετο· καὶ γὰρ οὐ γέγραπται· „ἦλθε[1]) πρὸς αὐτοὺς περιπατῶν" ἐπὶ τὰ κύματα, ἀλλ' „ἐπὶ τὰ ὕδατα·" ὥσπερ[2]) ὁ Πέτρος, ὅστις κατὰ τὰς ἀρχὰς εἰπόντος αὐτῷ τοῦ Ἰησοῦ· „ἐλθὲ· καταβὰς[3]) ἀπὸ τοῦ πλοίου περιεπάτησεν," οὐκ ἐπὶ τὰ κύματα, ἀλλ' „ἐπὶ τὰ ὕδατα," ἐλθεῖν πρὸς τὸν Ἰησοῦν. Ἐπεὶ δὲ ἐδίστασεν, εἶδεν ἰσχυρὸν τὸν ἄνεμον, οὐκ ὄντα ἰσχυρὸν τῷ ἀποθεμένῳ τὴν ὀλιγοπιστίαν καὶ τὸν διςταγμόν. Καὶ ἀναβάντος τοῦ Ἰησοῦ μετὰ Πέτρου εἰς τὸ πλοῖον, ἐκόπασεν ὁ ἄνεμος, μηδὲν ἔτι δυνάμενος ἐνεργεῖν εἰς αὐτὸ ἀναβάντος τοῦ Ἰησοῦ.

6. Καὶ τότε οἱ μαθηταὶ „διαπεράσαντες,[4]) ἦλθον εἰς τὴν γῆν Γενεσαρὲτ," ἧς τὴν ἑρμηνείαν εἰ ἔγνωμεν, καὶ ἀπ' αὐτῆς ὠνάμεθα ἄν τι πρὸς τὴν τῶν προκειμένων διήγησιν. Παρατήρει δὲ, ἐπεὶ πιστὸς ὁ θεὸς, οὐκ ἐῶν πειρασθῆναι τοὺς ὄχλους ὑπὲρ ὧν δύνανται, τίνα τρόπον ὁ υἱὸς τοῦ θεοῦ τοὺς μὲν μαθητὰς ἠνάγκασεν ἐμβῆναι εἰς τὸ πλοῖον, ὡς ἰσχυροτέρους, καὶ δυναμένους

---

[1]) Matth. XIV, 25. coll. edd. N. T.

[2]) ὥσπερ ὁ Πέτρος. Hae voces deerant in ed. Huet., sed supplentur e Codd. Vatic. et Tariniano. R.

[3]) Matth. XIV, 29. coll. edd. N. T.

[4]) Ibid. XIV, 34. Ed. Knapp. Γεννησαρέτ, ed. Lachm. Γεννησαρέθ.

ἐπὶ τὸ μέσον τῆς θαλάσσης φθάσαι, καὶ ὑπομεῖναι τὴν ἀπὸ τῶν κυμάτων βάσανον, ἕως ἄξιοι τῆς θείας βοηθείας γένωνται, καὶ ἴδωσι τὸν Ἰησοῦν, καὶ ἀκούσωσιν ἀναβάντος αὐτοῦ, καὶ[1]) διαπεράσαι, καὶ ἐλθεῖν εἰς τὴν γῆν Γενεσαρέτ.[2]) Τοὺς δὲ ὄχλους[3]) ἀπολύσας, οὐ λαβόντας πεῖραν, ὡς ἀσθενεστέρους, πλοίου καὶ κυμάτων καὶ ἐναντιουμένου ἀνέμου, ἀνέβη εἰς τὸ ὄρος κατ᾽ ἰδίαν προσεύξασθαι. Περὶ τίνος δὲ προσεύξασθαι; ἢ τάχα περὶ μὲν τῶν ὄχλων, ἵνα ἀπολυθέντες μετὰ τοὺς τῆς εὐλογίας ἄρτους, μηδὲν ἐναντίον τῇ ἀπὸ τοῦ Ἰησοῦ ἀπολύσει πράξωσι; περὶ δὲ τῶν μαθητῶν, ἵνα ἀναγκασθέντες ὑπ᾽ αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, μηδὲν πάθωσιν ἐν τῇ θαλάττῃ, μηδ᾽ ὑπὸ τοῦ ἐναντίου ἀνέμου; Καὶ θαῤῥήσας εἴποιμι ἄν, ὅτι διὰ τὴν τοῦ Ἰησοῦ πρὸς τὸν πατέρα περὶ τῶν μαθητῶν εὐχὴν, οὐδὲν πεπόνθασιν οὗτοι, θαλάσσης καὶ κυμάτων καὶ ἐναντίου ἀνέμου αὐτοῖς ἀντιπρασσόντων. Ὁ μὲν οὖν ἁπλούστερος ἀρκείσθω τῇ ἱστορίᾳ· ἡμεῖς δὲ, εἴ ποτε ἀνάγκῃ πειρασμῶν περιπίπτομεν, ἀναμιμνησκώμεθα ὅτι ἠνάγκασεν ἡμᾶς ὁ Ἰησοῦς ἐμβῆναι εἰς τὸ πλοῖον αὐτῶν, βουλόμενος ἡμᾶς προάγειν εἰς τὸ πέραν. Οὐ γὰρ δυνατὸν, μὴ πειρασμοὺς ὑπομείναντας κυμάτων, καὶ ἀνέμου ἐναντίου, εἰς τὸ πέραν φθάσαι. Εἶτ᾽ ἐπειδὰν ἴδωμεν πολλὰ τὰ περιεστηκότα ἡμᾶς πράγματα, καὶ χαλεπὰ, καὶ κάμνοντες μετρίως αὐτὰ ἐπὶ ποσὸν διανηξώμεθα, λογιζώμεθα ὅτι τὸ πλοῖον ἡμῶν μέσον ἐστὶ τῆς θαλάσσης, τότε βασανιζόμενον ὑπὸ τῶν κυμάτων, βουλομένων ἡμᾶς ναυαγῆσαι περὶ τὴν πίστιν, ἤ τινα τῶν ἀρετῶν· ἀλλ᾽ ἐπὰν τὸ πνεῦμα τοῦ πονηροῦ βλέπωμεν ἀντιπράττον ἡμῶν τοῖς πράγμασιν, ἐννοή-

[1]) In textu edd. H. et R. *καί* deest; H. tamen ad marginem: „scrib. *καὶ διαπεράσαι.*"

[2]) Ed. Huet. h. l. *Γενησαρέτ.*

[3]) Matth. XIV, 23.

σωμεν ὅτι τότε ἡμῖν ἐναντίος ἐστὶν ὁ ἄνεμος. Ἐπὰν οὖν ταῦτα πάσχοντες τρεῖς φυλακὰς τῆς νυκτὸς, τοῦ ἐν τοῖς πειρασμοῖς σκότους, διανύσωμεν, κατὰ τὸ δυνατὸν ἀγωνιζόμενοι καλῶς, καὶ τηροῦντες ἑαυτοὺς πρὸς τὸ μὴ ναυαγῆσαι περὶ τὴν πίστιν, ἤ τινα τῶν ἀρετῶν, πρώτην φυλακὴν, τὸν πατέρα τοῦ σκότους καὶ τῆς κακίας, καὶ δευτέραν[1]) τὸν υἱὸν αὐτοῦ τὸν ἀντικείμενον, καὶ ἐπαιρόμενον ἐπὶ πάντα λεγόμενον θεὸν ἢ σέβασμα, καὶ τρίτην, τὸ ἐναντίον τῷ ἁγίῳ πνεύματι πνεῦμα, τότε πιστεύομεν, ὅτι τετάρτης ἐνεστηκυίας φυλακῆς, ὅτε ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν, ἐλεύσεται πρὸς ἡμᾶς ὁ υἱὸς τοῦ θεοῦ, ἵν' εὐτρεπίσῃ ἡμῖν τὴν θάλασσαν, περιπατῶν ἐπ' αὐτῆς. Καὶ ἐπὰν ἴδωμεν τὸν Λόγον ἡμῖν ἐμφανιζόμενον, ταραχθησόμεθα μὲν πρὶν τρανῶς καταλαβεῖν, ὅτι ὁ Σωτὴρ ἡμῖν ἐπιδεδήμηκεν, οἰόμενοι ἔτι φάντασμα θεωρεῖν, καὶ φοβούμενοι κεκραξόμεθα· ἀλλ' αὐτὸς εὐθέως ἡμῖν λαλήσει λέγων· „θαρσεῖτε,[2]) ἐγώ εἰμι· μὴ φοβεῖσθε.“ Καὶ θερμότερον κινούμενος ἀπὸ τοῦ „θαρσεῖτε,“ εἴ τις ἐν ἡμῖν εὑρεθείη Πέτρος, ὁδεύων μὲν ἐπὶ τὴν τελειότητα, οὐδέπω δὲ τοιοῦτος γεγενημένος, καταβὰς ἀπὸ τοῦ πλοίου, ὡς ἔξω τοῦ πειρασμοῦ γινόμενος ἐκείνου, ἐν ᾧ ἐβασανίζετο, περιπατήσει μὲν καταρχὰς, βουλόμενος ἐλθεῖν πρὸς τὸν Ἰησοῦν ἐπὶ τὰ ὕδατα· ὡς ἔτι δὲ ὀλιγόπιστος, καὶ ὡς ἔτι διστάζων, ὄψεται ἰσχυρὸν τὸν ἄνεμον, καὶ φοβηθήσεται, καὶ ἄρξεται μὲν καταποντίζεσθαι· οὐ πείσεται δὲ τοῦτο, διὰ τὸ τὸν Ἰησοῦν μεγάλῃ καλεῖν φωνῇ, καὶ λέγειν αὐτῷ· „Κύριε,[3]) σῶσόν με.“ Εἶτ' εὐθέως ἔτι λαλοῦντος τοῦ[4]) τοιούτου Πέτρου, καὶ λέγοντος· „Κύριε,

---

[1]) Ed. Huet.: δευτέρως. — II Thess. II, 4.

[2]) Matth. XIV, 27.

[3]) Ibid. XIV, 30.

[4]) Deest τοῦ in ed. Huetiana.

σῶσόν με·“ ἐκτενεῖ[1]) *τὴν χεῖρα ὁ Λόγος, ὀρέγων τῷ τοιούτῳ βοήθειαν, καὶ ἐπιλήψεται αὐτοῦ ἀρξαμένου καταποντίζεσθαι, καὶ ὀνειδίσει αὐτῷ ἐπὶ τῇ ὀλιγοπιστίᾳ καὶ τῷ δισταγμῷ. Πλὴν τήρει, ὅτι οὐκ εἶπεν· ἄπιστε, ἀλλά· „ὀλιγόπιστε·“*[2]) *καὶ ὅτι λέλεκται· „εἰς τί ἐδίστασας;“ ἔχων μέν τι τῆς πίστεως, κλίνων δὲ καὶ πρὸς τὸ ἐναντίον αὐτῇ.*

7. *Καὶ ἐπὶ τούτοις γε καὶ ὁ Ἰησοῦς, καὶ ὁ Πέτρος ἀναβήσεται*[3]) *εἰς τὸ πλοῖον, καὶ κοπάσει ὁ ἄνεμος, καὶ οἱ ἐν τῷ πλοίῳ ἐννοήσαντες ἀφ᾽ οἵων διεσώθησαν κινδύνων, προσκυνήσουσι λέγοντες, οὐχ ἁπλῶς· θεοῦ υἱὸς εἶ· ὡς καὶ οἱ δύο δαιμονιζόμενοι, ἀλλ᾽ „ἀληθῶς θεοῦ υἱὸς εἶ·“ ὅπερ λέγουσιν οἱ ἐν τῷ πλοίῳ μαθηταί· οὐ γὰρ ἄλλους τῶν μαθητῶν νομίζω τοῦτο εἰρηκέναι. Ἐπὰν δὲ ἐν τούτοις ὅλοις γενώμεθα, διαπεράσαντες ἐλευσόμεθα εἰς τὴν γῆν, ἔνθα προάγειν ἡμῖν ἐκέλευσεν ὁ Ἰησοῦς. Τάχα δὲ καὶ δηλοῦταί τι ἀπόῤῥητον καὶ κεκρυμμένον μυστήριον περί τινων σεσωσμένων*[4]) *ὑπὸ τοῦ Ἰησοῦ ἀπὸ τοῦ· „καὶ*[5]) *ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ τόπου ἐκείνου,“ — δῆλον δ᾽ ὅτι τοῦ ἐν τῷ πέραν, — „ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην,“ — περίχωρον τοῦ πέραν, οὐκ ἐν αὐτῷ πέραν, ἀλλὰ περὶ αὐτό, — „καὶ προσήνεγκαν*[6]) *αὐτῷ πάντας τοὺς κακῶς*

---

[1]) Matth. XIV, 31.

[2]) Matth. XIV, 31.

[3]) Ibid. XIV, 32. — 33.

[4]) H. et R. in textu recte: *σεσωσμένων;* H. insuper in notis: „Cod. Holm. habebat *ἐσομένων*, sed ad oram recentiori manu notatum erat, *σεσωμένων*. Lege: *σεσωσμένων*. Erasmus: *de his, qui servati sunt.*“

[5]) Matth. XIV, 35.

[6]) *προσήνεγκαν — ἔχοντας.“ Ἐν — τήρει, ὅτι.* Haec, quae viderat Erasmus, in Codd. suis non reperit Huet., sed hic supplentur e Codd. Anglicano, Vaticano et Apographo Tariniano. R.

ἔχοντας.“ Ἐν τούτῳ δὲ τήρει, ὅτι προσήνεγκαν αὐτῷ, οὐ πολλοὺς κακῶς ἔχοντας μόνον, ἀλλὰ πάντας τοὺς ἐν [1]) τῇ περιχώρῳ ἐκείνῃ· οἱ δὲ προσηνεχθέντες αὐτῷ κακῶς ἔχοντες παρεκάλουν [2]) αὐτὸν, ἵνα κἂν μόνον ἅψωνται τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, χάριν ἀπ' αὐτοῦ αἰτοῦντες ταύτην, ἐπεὶ μὴ ἦσαν ὁποία ἡ αἱμοῤῥοοῦσα [3]) γυνὴ τὰ δώδεκα ἔτη, καὶ προσελθοῦσα ὄπισθεν, καὶ ἁψαμένη τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, ὅτε [4]) ἔλεγεν ἐν ἑαυτῇ· „εἰ μόνον ἅψωμαι τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι.“ Τήρει γὰρ ἐν τοῖς περὶ τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, διὸ παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς· οἱ δὲ ἀπὸ τοῦ περιχώρου τῆς γῆς Γενησαρὲτ, [5]) εἰς ἣν διαπεράσαντες ἦλθον ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ, οὐκ ἀφ' ἑαυτῶν προσῆλθον τῷ Ἰησοῦ, ἀλλὰ προσήχθησαν ὑπὸ τῶν ἀποστειλάντων, ἅτε μὴ δυνάμενοι, διὰ τὸ σφόδρα κακῶς ἔχειν, προσελθεῖν ἀφ' ἑαυτῶν. Καὶ οὐδὲ μόνοι ἥψαντο τοῦ κρασπέδου, ὡς ἡ αἱμοῤῥοοῦσα, ἀλλὰ παρακαλεσάντων ἐκείνων. Πλὴν καὶ τούτων „ὅσοι [6]) ἥψαντο, διεσώθησαν.“ Εἰ δέ ἐστί [7]) τις διαφορὰ τοῦ „διεσώθησαν,“ ἐπὶ τούτων εἰρημένου [8])

---

[1]) H. ad marg., R. in textu recte: ἐν τῇ κ. τ. λ.; R. in notis: „ita habet Cod. Vaticanus, in aliis (itemq. in textu ed. Huet.) deest ἐν.“

[2]) Matth. XIV, 36.

[3]) Ibidem IX, 20. Edd. N. T. ἐὰν μόνον pro εἰ μόνον.

[4]) ὅτε — ἱματίου αὐτοῦ. Omissa haec sunt in Cod., quo usus est Huetius, et hic restituuntur e Codd. Anglicano, Vaticano, et Apographo Tariniano. R.

[5]) H. et R. h. l. Γενησαρέτ. Cfr. pag. 81. not. 2.

[6]) Matth. XIV, 36.

[7]) Ed. H. εἰ δέ ἐστί τις κτλ., ed. R. εἰ δέ τις κτλ.

[8]) H. et R. in textu: εἰρημένη; iidem tamen, ille ad marginem: „scribas,“ hic in notis: „omnino scribendum: εἰρημένου.“

πρὸς τὸ „σωθῆναι·“ — εἴρηται γὰρ πρὸς τὴν αἱμοῤῥοοῦσαν· „ἡ[1]*) πίστις σου σέσωκέ σε·“ — καὶ αὐτὸς*[2]*) ἐπιστήσεις.*

Περὶ[3]*) τῶν προσελθόντων Φαρισαίων καὶ γραμματέων καὶ ἐπερωτησάντων· „διὰ τί οἱ μαθηταί σου παραβαίνουσι τὴν παράδοσιν τῶν πρεσβυτέρων;“*

8. *„Τότε*[4]*) προσέρχονται αὐτῷ ἀπὸ Ἱεροσολύμων Φαρισαῖοι καὶ γραμματεῖς, λέγοντες· διὰ τί οἱ μαθηταί σου παραβαίνουσι τὴν παράδοσιν τῶν πρεσβυτέρων; οὐ γὰρ νίπτονται τὰς χεῖρας, ὅταν ἄρτον ἐσθίωσι.“ Παρατηρήσας κατὰ ποῖον καιρὸν προσῆλθον τῷ Ἰησοῦ ἀπὸ Ἱεροσολύμων Φαρισαῖοι καὶ γραμματεῖς, λέγοντες· „διὰ τί οἱ μαθηταί σου παραβαίνουσι τὴν παράδοσιν τῶν πρεσβυτέρων;“ καὶ τὰ ἑξῆς, εἴσεται ὅτι ἀναγκαίως ὁ Ματθαῖος οὐχ ἁπλῶς ἀνέγραψε, προσεληλυθέναι τοὺς ἀπὸ Ἱεροσολύμων Φαρισαίους καὶ γραμματεῖς τῷ Σωτῆρι, πυνθανομένους αὐτοῦ*[5]*) τὰ ἐκκείμενα, ἀλλὰ πεποίηκε· „τότε προσέρχονται*[6]*) αὐτῷ ἀπὸ Ἱεροσολύμων.“ Πότε οὖν „τότε“ κατανοητέον; Ἡνίκα διαπεράσαντες ἦλθον εἰς τὴν γῆν Γενησαρὲτ τῷ πλοίῳ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ, κοπάσαντος τοῦ ἀνέμου, ἀφ᾽ οὗ ἐπιβέβη-*

---

[1]) Matth. IX, 22.

[2]) Ed. Huet. min. accurate: *αὐτόν.*

[3]) Hic titulus in ed. Huetii non comparet, sed suppletur ex Apographo Tariniano. R.

[4]) Matth. XV, 1. 2. Edd. N. T. vers. 1. *προσέρχονται τῷ Ἰησοῦ ἀπὸ Ἱεροσ.* (ed. Knapp. *οἱ ἀπὸ Ἱεροσ.*) *γραμματ. κ. Φαρισ. κ. τ. λ.* Vers. 2. ed. Knapp. *χεῖρας αὐτῶν,* ed. Lachm. *χεῖρας αὐτῶν.*

[5]) Ed. Huet. min. accurate: *αὐτὰ ἐκκείμενα.*

[6]) H. et R. in textu *ἀπέρχονται;* iidem tamen, ille ad marg.: „scrib.,“ hic in notis: „legendum videtur, ut supra, *προσέρχονται.*“

κεν ὁ Ἰησοῦς τῷ πλοίῳ, καὶ ὅτε „ἐπιγνόντες[1]) αὐτὸν οἱ ἄνδρες τοῦ τόπου ἐκείνου, ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην, καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας, καὶ παρεκάλουν, ἵνα κἂν μόνον ἅψωνται τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· καὶ ὅσοι ἥψαντο, διεσώθησαν.“ Τηνίκα δὲ „προσῆλθον αὐτῷ ἀπὸ Ἱεροσολύμων Φαρισαῖοι καὶ γραμματεῖς,“ μὴ καταπλαγέντες τὴν ἐν τῷ Ἰησοῦ δύναμιν, ἰασαμένην τοὺς κἂν μόνον τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἁψαμένους, φιλαιτίως δὲ ἐγκαλοῦντες τοῖς μαθηταῖς[2]) ἐπὶ τοῦ διδασκάλου, οὐ περὶ παραβάσεως ἐντολῆς θεοῦ, ἀλλὰ παραδόσεως μιᾶς Ἰουδαϊκῶν πρεσβυτέρων. Καὶ εἰκὸς, ὅτι αὐτὸ τὸ τῶν φιλαιτίων ἔγκλημα παρίστησι τὴν τῶν μαθητῶν Ἰησοῦ εὐλάβειαν, μηδεμίαν ἀφορμὴν διδόντων ἐπιλήψεως ὡς περὶ παραβάσεως ἐντολῶν θεοῦ τοῖς Φαρισαίοις καὶ γραμματεῦσιν, οἵτινες οὐκ ἂν προσήνεγκαν τὸ[3]) περὶ παραβάσεως τοῖς μαθηταῖς ἔγκλημα, ὡς παραβαίνουσι τὴν ἐντολὴν τῶν πρεσβυτέρων, εἴπερ εἶχον ἐπιλαμβάνεσθαι τῶν ἐγκαλουμένων, καὶ ἀποδεικνύναι αὐτοὺς παραβαίνοντας ἐντολὴν θεοῦ. Μὴ νομίσῃς δὲ ταῦτα κατασκευαστικὰ εἶναι τοῦ δεῖν τηρεῖσθαι τὸν κατὰ τὸ γράμμα Μωσέως νόμον, ἐπεὶ οἱ τοῦ Ἰησοῦ μαθηταὶ ἕως τότε αὐτὸν ἐφύλαττον· οὐ γὰρ πρὸ τοῦ παθεῖν ἐξη-

---

[1]) Matth. XIV, 35. 36. coll. pag. 83. lin. 19. et seqq. — XV, 1.

[2]) H. et R. in textu: *ἐγκαλοῦντες ἐπὶ τοῦ διδασκάλου;* H. tamen ad marginem: „scribas: *ἐγκαλ. τοὺς μαθητὰς ἐπί κ. τ. λ.*“ Equidem, coll. seqq. et pag. 87. lin. 11., *τοῖς μαθηταῖς* in textum recepi. — R. in notis: „Huet. scribendum putabat, *τοὺς μαθητὰς ἐπί κ. τ. λ.* Sed *τοὺς μαθητάς* in nullo Cod. Mss. reperio. Cod. Tarinianus habet: *ἐγκαλοῦντες περὶ τοῦ διδασκάλου.*“ Cfr. pag. huj. lin. 12—20.

[3]) H. et R. *προσηνέγκαντο περί κ. τ. λ.*

γόρασεν[1]) *ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου ὁ ἐν τῷ παθεῖν ὑπὲρ ἀνθρώπων γενόμενος ὑπὲρ ἡμῶν κατάρα. Ἀλλὰ ὡσπερεὶ καθηκόντως καὶ Παῦλος τοῖς Ἰουδαίοις Ἰουδαῖος*[2]) *ἐγένετο, ἵνα Ἰουδαίους κερδήσῃ, τί ἄτοπον τοὺς ἀποστόλους ἐν Ἰουδαίοις ποιουμένους τὰς διατριβάς, κἂν τὰ πνευματικὰ νοῶσι τοῦ νόμου, χρῆσθαι τῇ συμπεριφορᾷ, ὡς καὶ Παῦλος Τιμόθεον περιτεμὼν, καὶ θυσίαν κατά τινα νομικὴν εὐχὴν προσαγαγὼν, ὡς ἐν ταῖς τῶν ἀποστόλων γέγραπται Πράξεσι; Πλὴν πάλιν*[3]) *φαίνονται φιλεγκλήμονες, οἱ περὶ μὲν ἐντολῆς θεοῦ μηδὲν ἔχοντες ἐγκαλεῖν τοῖς*[4]) *Ἰησοῦ μαθηταῖς, μόνον δὲ περὶ πρεσβυτέρων παραδόσεως μιᾶς. Καὶ μάλιστα ἐμφαίνεται οὕτως τὸ φιλέγκλημον, ὅτι*[5]) *παρ' αὐτοῖς τοῖς ἰαθεῖσιν ἀπὸ τοῦ κακῶς ἔχειν προσάγουσι τὸ ἔγκλημα· τῷ μὲν δοκεῖν, κατὰ τῶν μαθητῶν, τὸ δ' ἀληθὲς, τὸν διδάσκαλον διαβάλλειν προαιρούμενοι. Ὃ*[6]) *καὶ παράδοσις ἦν τῶν πρεσβυτέρων τὸ νίπτεσθαι, ὡς ἀναγκαῖον πρὸς εὐσέβειαν· ᾤοντο γὰρ κοινὰς μὲν καὶ ἀκαθάρτους εἶναι χεῖρας τὰς τῶν μὴ νιψαμένων πρὸ τοῦ ἀρτοφαγεῖν, καθαρὰς δὲ καὶ ἁγίας γεγονέναι τὰς τῶν ἀποπλυνομένων ὕδατι, οὐ συμβολικῶς ἀνάλογον τῷ κατὰ τὸ γράμμα Μωσέως νόμῳ. Ἡμεῖς δὲ οὐ κατὰ τὴν τῶν παρ' ἐκείνοις πρεσβυτέρων παράδοσιν, ἀλλὰ κατὰ τὸ εὔλογον καθαίρειν πειρώμεθα ἑαυτῶν τὰς πράξεις, καὶ οὕτως τὰς τῶν ψυχῶν νίπτεσθαι χεῖρας, ὅταν*

---

[1]) Gal. III, 13.

[2]) I Cor. IX, 20.

[3]) Codex Tarinianus: *πάνυ*. R.

[4]) Cfr. pag. 86. not. 2.

[5]) H. *ὅτι παρ' αὐτοῖς τοῖς ἰαθεῖσιν;* R. in textu. *ὃ παρ' αὐτοῖς ἰαθεῖσιν*, in notis: „Cod. Tarinianus: *ἐπ' αὐτοῖς.*"

[6]) H. et R. in textu: ὃ *καί κ. τ. λ.*; R. in notis: „Cod. Vaticanus: ὃ *εἰ καί κ. τ. λ.*"

μέλλομεν ἐσθίειν οὓς αἰτοῦμεν ἀπὸ τοῦ φίλου ἡμῖν θέλοντος εἶναι Ἰησοῦ τρεῖς ἄρτους· κοιναῖς γὰρ καὶ ἀνίπτοις καὶ οὐ καθαραῖς χερσὶν οὐ χρὴ τῶν ἄρτων μεταλαμβάνειν.[1])

9. Ὁ δὲ Ἰησοῦς οὐκ ἐγκαλεῖ περὶ παραδόσεως αὐτοῖς πρεσβυτέρων Ἰουδαίων, ἀλλὰ περὶ τῶν ἐντολῶν θεοῦ ἀναγκαιοτάτων δύο, ὧν ἡ μὲν ἑτέρα πέμπτη ἦν τῆς δεκαλόγου, οὕτως ἔχουσα· „τίμα[2]) τὸν πατέρα σου, καὶ τὴν μητέρα[3]) σου, ἵν' εὖ σοι γένηται, καὶ γένῃ μακροχρόνιος ἐπὶ τῆς γῆς, ἧς κύριος ὁ θεός σου δίδωσί σοι·" ἡ δὲ λοιπὴ ἐν τῷ Λευιτικῷ τοῦτον ἐγέγραπτο τὸν τρόπον· „ἐὰν[4]) ἄνθρωπος κακῶς εἴπῃ τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα αὐτοῦ, θανάτῳ θανατούσθω· πατέρα αὐτοῦ, ἢ μητέρα κακῶς εἶπεν, ἔνοχος ἔσται." Ἀλλ' ἐπεὶ αὐτὴν θέλομεν ἰδεῖν τὴν λέξιν, ἣν ἐξέθετο ὁ Ματθαῖος, ὅτι „ὁ κακολογῶν[5]) πατέρα, ἢ μητέρα, θανάτῳ τελευτάτω," ἐπίστησον, μήποτε ἐλήφθη ἀπὸ τοῦ τόπου, ἔνθα γέγραπται· „ὃς[6]) τύπτει πατέρα αὐτοῦ, ἢ μητέρα αὐτοῦ, θανάτῳ τελευτάτω. Καὶ[7]) ὁ κακολογῶν πατέρα αὐτοῦ, ἢ μητέρα αὐτοῦ, θανάτῳ τελευτάτω." Οὕτως μὲν οὖν εἶχον αἱ ἀπὸ τοῦ νόμου λέξεις περὶ τῶν δύο ἐντολῶν· ὁ δὲ Ματθαῖος ἐκ μέρους, καὶ ἐπιτετμημένως αὐτὰς ἐξέθετο, καὶ οὐκ αὐταῖς λέξεσι. Τί δὲ ἐγκαλεῖ

---

[1]) Cod. Vaticanus: μεταλαβεῖν. R.

[2]) Exod. XX, 12. coll. LXX. interpretum versione et Deuter. V, 16.

[3]) H. et R. h. l. et seqq. μήτερα.

[4]) Levit. XX, 9. coll. LXX. interpretum versione, Exod. XXI, 16. et Prov. XX, 20.

[5]) Math. XV, 4.

[6]) Exod. XXI, 15. 16. coll. LXX. virorum versione et Levit. XX, 9.

[7]) Καὶ —, θανάτῳ τελευτάτω. Haec, quae viderat Erasmus, et quae in Cod. suo non reperit Huetius, hic restituuntur e Codd. Anglicano, Vaticano et Tariniano. R.

τοῖς ἀπὸ Ἱεροσολύμων Φαρισαίοις καὶ γραμματεῦσιν ὁ Σωτὴρ, λέγων αὐτοὺς παραβαίνειν τὴν ἐντολὴν τοῦ θεοῦ διὰ τὴν ἑαυτῶν παράδοσιν, κατανοητέον. Καὶ ὁ μὲν θεὸς εἶπε· „τίμα[1]) τὸν πατέρα σου, καὶ τὴν μητέρα σου·" διδάσκων τὴν δέουσαν τιμὴν ἀπονέμειν γονεῦσι τὸν ἐξ αὐτῶν γεννώμενον. Ταύτης τῆς πρὸς τοὺς γονεῖς τιμῆς μέρος ἦν καὶ τὸ κοινωνεῖν αὐτοῖς τῶν βιωτικῶν χρειῶν εἰς διατροφὰς καὶ σκεπάσματα, καὶ εἴ τι ἄλλο οἷόστε ἦν χαρίζεσθαι τοῖς ἑαυτοῦ γονεῦσιν. Οἱ δὲ Φαρισαῖοι καὶ οἱ γραμματεῖς τοιαύτην ἐναντιουμένην τῷ νόμῳ παράδοσιν ἐκδεδώκασιν, ἀσαφέστερον ἐν τῷ εὐαγγελίῳ κειμένην, ᾗ οὐδ' αὐτοὶ ἐπιβεβλήκαμεν ἂν, εἰ μὴ τῶν Ἑβραίων τις ἐπιδέδωκεν ἡμῖν τὰ κατὰ τὸν τόπον οὕτως ἔχοντα· ἔσθ' ὅτε, φησὶν, οἱ δανεισταὶ δυστραπέλοις περιπίπτοντες χρεώσταις, καὶ δυναμένοις μὲν, μὴ βουλομένοις δὲ ἀποδιδόναι τὸ χρέος, ἀνετίθεσαν τὸ ὀφειλόμενον εἰς τὸν τῶν πενήτων λόγον, οἷς ἐβάλλετο εἰς τὸ γαζοφυλάκιον ὑπὸ ἑκάστου, ὡς ἐδύνατο, τῶν βουλομένων αὐτοῖς κοινωνεῖν. Ἔλεγον οὖν ἔσθ' ὅτε τοῖς ὀφείλουσι κατὰ τὴν οἰκείαν διάλεκτον· Κορβᾶν[2]) ἐστιν ὃ ὀφείλεις μοι, τουτέστι, δῶρον· ἀνέθηκα γὰρ αὐτὸ εἰς λόγον τῆς εἰς θεὸν εὐσεβείας τοῖς πένησιν. Εἶτα ὁ χρεώστης, ὡς μηκέτι ἀνθρώποις, ἀλλὰ τῷ θεῷ ὀφείλων καὶ τῇ εἰς αὐτὸν εὐσεβείᾳ, οἱονεὶ συνεκλείετο πρὸς τὸ καὶ μὴ βουλόμενος ἀποδοῦναι τὸ χρέος, οὐκέτι μὲν τῷ δανειστῇ, ἤδη δὲ εἰς τὸν λόγον τῶν πενήτων τῷ θεῷ ἐξ ὀνόματος τοῦ δανειστοῦ· ὅπερ οὖν ὁ δανειστὴς ἐποίει τῷ χρεώστῃ, τοῦτό ποτέ τινες τῶν υἱῶν τοῖς γονεῦσι, καὶ ἔλεγον αὐτοῖς, ὅτι ὃ ἂν ἐξ ἐμοῦ ὠφεληθῇς, πάτερ, ἢ μῆτερ, τοῦτο ἴσθι ἀπὸ τοῦ Κορβᾶν λαμβάνειν, ἐκ τοῦ λόγου τῶν θεῷ ἀνακειμένων πενήτων. Εἶτα ἀκούοντες οἱ γονεῖς, ὅτι Κορβᾶν ἐστιν ἀνα-

---

[1]) Exod. XX, 12. coll. Deuter. V, 16.

[2]) H. et R. constanter *Κορβάν*.

κείμενον τῷ θεῷ τὸ διδόμενον αὐτοῖς, οὐκέτι ἐβούλοντο λαμβάνειν, εἰ καὶ πάνυ ἔχρηζον τῶν ἀναγκαίων, ἀπὸ τῶν υἱέων. Οἱ οὖν πρεσβύτεροι τοιαύτην παράδοσιν εἰς τοὺς ἀπὸ τοῦ λαοῦ ἔλεγον, ὅτι ὅστις ἂν τῷ πατέρι ἢ τῇ μητέρι[1]) εἴπῃ, τὸ διδόμενόν τινι αὐτῶν Κορβᾶν εἶναι καὶ δῶρον, οὗτος οὐκέτι ὀφειλέτης ἐστὶ πρὸς τὸν πατέρα, ἢ μητέρα, ἐν δόσει τῶν πρὸς τὰς τοῦ βίου χρείας. Ταύτην οὖν ἐλέγχει, οὐχ ὡς ὑγιῶς ἔχουσαν, παράδοσιν ὁ Σωτὴρ, ἀλλὰ ἐναντιουμένην τῇ ἐντολῇ τοῦ θεοῦ. Εἰ γὰρ ὁ μὲν θεὸς λέγει τό· „τίμα[2]) τὸν πατέρα καὶ τὴν μητέρα“ ἡ δὲ παράδοσις ἔλεγε· οὐκ ὀφείλει τιμᾷν τὸν πατέρα ἢ τὴν μητέρα τῇ δόσει, ὁ ἀναθεὶς τῷ θεῷ, ὡς Κορβᾶν, τὸ δοθησόμενον ἂν τοῖς γεγεννηκόσι· δῆλον ὅτι ἠκυροῦτο ἡ τοῦ θεοῦ περὶ τιμῆς γονέων ἐντολὴ ὑπὸ τῆς τῶν Φαρισαίων καὶ γραμματέων παραδόσεως, λεγούσης μηκέτι δεῖν τιμᾷν τὸν πατέρα, καὶ τὴν μητέρα, τὸν ἅπαξ ἀνατεθεικότα τῷ θεῷ ὃ ἔλαβον οἱ γεγεννηκότες. Καὶ ὡς φιλάργυροί γε οἱ Φαρισαῖοι, ἵνα τῇ προφάσει τῶν πενήτων λαμβάνωσι καὶ τὰ δοθησόμενα ἂν τοῖς γονεῦσί τινος, τὰ τοιαῦτα ἐδίδασκον. Καὶ μαρτυρεῖ γε αὐτῶν τῇ φιλαργυρίᾳ τὸ εὐαγγέλιον λέγον· „ἤκουον[3]) δὲ ταῦτα οἱ Φαρισαῖοι, φιλάργυροι ὄντες, καὶ ἐξεμυκτήριζον αὐτόν.“ Εἴ τις οὖν καὶ τῶν λεγομένων ἐν ἡμῖν πρεσβυτέρων, ἢ ὁπωσποτὲ ἀρχόντων τοῦ λαοῦ, μᾶλλον τῷ ὀνόματι τοῦ κοινοῦ βούλεται διδόναι τοῖς πένησιν, ἤπερ τοῖς οἰκείοις τῶν διδόντων, εἰ τύχοιεν τῶν ἀναγκαίων χρῄζοντες, καὶ μὴ δύναιντο οἱ διδόντες ἀμφότερα ποιεῖν, ἀδελφὸς ἂν οὗτος ἐνδίκως λέγοιτο τῶν ἀκυρωσάντων τὸν λόγον τοῦ θεοῦ διὰ τὴν παράδοσιν ἑαυτῶν Φαρισαίων, καὶ ἐλεγ-

---

[1]) H. et R. μήτερι et μήτερα.

[2]) Matth. XV, 4.

[3]) Luc. XVI, 14. Edd. N. T. ταῦτα πάντα καὶ οἱ Φαρ., φιλάργ. ὑπάρχοντες.

χθέντων ὑπὸ [1]) τοῦ Σωτῆρος ὑποκριτῶν. Καὶ σφόδρα γε ἀποτρεπτικά ἐστιν ἐκ τοῦ λόγου τῶν πενήτων λαμβάνειν τινὰ προθύμως, καὶ νομίζειν [2]) πορισμὸν εἶναι τὴν ἑτέρων εὐσέβειαν, οὐ μόνα ταῦτα, ἀλλὰ καὶ τὰ περὶ τοῦ προδότου Ἰούδα γεγραμμένα, ὃς τῷ μὲν δοκεῖν ἐπρέσβευε τὰ [3]) τῶν πενήτων, καὶ ἀγανακτῶν ἔλεγεν· „ἠδύνατο [4]) τοῦτο τὸ μύρον [5]) πραθῆναι δηναρίων τριακοσίων, καὶ δοθῆναι πτωχοῖς·“ τὸ δ' ἀληθὲς „κλέπτης [6]) ἦν, καὶ τὸ γλωσσόκομον ἔχων, καὶ τὰ βαλλόμενα ἐβάσταζεν.“ Εἴ τις οὖν καὶ νῦν τὸ τῆς ἐκκλησίας ἔχων γλωσσόκομον λέγει μὲν, ὡς καὶ Ἰούδας, ὑπὲρ πενήτων, τὰ δὲ βαλλόμενα βαστάζει, τὴν μερίδα ἑαυτῷ τιθείη μετὰ τοῦ ταῦτα πράξαντος Ἰούδα, δι' ἃ, ὡς γάγγραινα [7]) νομὴν ἐσχηκότα ἐν τῇ ψυχῇ αὐτοῦ, ὁ διάβολος ἔβαλεν αὐτοῦ εἰς τὴν καρδίαν τὸν Σωτῆρα παραδοῦναι, καὶ παραδεξάμενον τὸ πεπυρωμένον [8]) περὶ τούτου βέλος, ὕστερον αὐτὸς εἰσελθὼν εἰς τὴν ψυχὴν αὐτοῦ ἐπλήρωσεν αὐτόν. Καὶ τάχα, ἐπὰν λέγει ὁ Ἀπόστολος· „ῥίζα [9]) πάντων τῶν κακῶν ἡ φιλαργυρία·“ διὰ τὴν Ἰούδα λέγει φιλαργυρίαν, ἥτις ῥίζα πάντων τῶν κακῶν ἐστι τῶν [10]) κατὰ τοῦ Ἰησοῦ.

---

1) H. ἀπό, R. recte ὑπό.

2) I Tim. VI, 5.

3) Sic Codd. Vaticanus et Tarinianus; Cod. autem Reg. (H. ad marg.) ἐπρέσβ. περὶ τῶν πενήτων. Cod. Holmiensis (H. in textu) ἐπρέσβευε τῶν πενήτων. R.

4) Matth. XXVI, 9. coll. Marc. XIV, 5. et Joann. XII, 5.

5) H. et R. μῦρον.

6) Ev. Joann. XII, 6. coll. edd. N. T.

7) H. et R. in notis: „Erasmus: *ob quae veluti gangraenam habenti*, videtur legisse: δι' ἃ ὡς γάγγραιναν μὲν ἐσχηκότι.“

8) Cfr. Ephes. VI, 16.

9) I Tim. VI, 10.

10) Adest τῶν in ed. Huet., deest in ed. R.

10. Ἀλλὰ γὰρ ἐπανέλθωμεν ἐπὶ τὰ προκείμενα, ἐν οἷς ὁ Σωτὴρ δύο ἀπὸ τοῦ νόμου ἐπιτεμόμενος ἐντολὰς ἐξέθετο, τὴν μὲν ἀπὸ[1]) τῆς δεκαλόγου ἀπὸ τῆς Ἐξόδου, τὴν δὲ ἀπὸ τοῦ Λευιτικοῦ, ἢ τὴν ἄλλην ἀπό τινος τῶν ἐν τῇ Πεντατεύχῳ. Εἶτα ἐπεὶ διηγησάμεθα, πῶς ἠκύρωσαν τὸν λόγον τοῦ θεοῦ φάσκοντα· „τίμα[2]) τὸν πατέρα σου, καὶ τὴν μητέρα σου," οἱ λέγοντες· „οὐ[3]) τιμήσει τὸν πατέρα ἢ τὴν μητέρα αὐτοῦ, ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρὶ[4]) αὐτοῦ· δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς," ζητήσαι τις ἄν, πῶς οὐ παρέλκει τό· „ὁ[5]) κακολογῶν πατέρα, ἢ μητέρα, θανάτῳ τελευτάτω."[6]) Ἔστω γάρ, οὐ τιμᾷ τὸν πατέρα, καὶ τὴν μητέρα, τῷ καλουμένῳ Κορβᾶν ἀνατιθεὶς τὰ δοθησόμενα ἂν εἰς τιμὴν πατρὸς καὶ μητρός· πῶς οὖν ἡ τῶν Φαρισαίων παράδοσις ἀκυροῖ καὶ τὸν λέγοντα· „ὁ[7]) κακολογῶν πατέρα, ἢ μητέρα, θανάτῳ τελευτάτω;" Ἀλλὰ μήποτε ὃς ἐὰν εἴπῃ τῷ πατρὶ, ἢ τῇ μητρί· „δῶρον ὁ ἐὰν[8]) ἐξ

---

[1]) H. et R., ut nos, in textu recte: ἀπὸ τ. δεκαλόγου ἀπὸ τ. Ἐξόδου; H. in notis, quae R. quoq. affert, haec habet: „per me non stat, quin postremum illud ἀπό deleatur. Cod. Reg. habet δεκαλογίας. Δεκάλογος autem femininum sibi genus non raro vindicat apud Clement. Alex. Strom. VI. (cfr. ed. Potter pag. 807.), ipsum Origenem, contra Celsum lib. II. (cfr. ed. Spencer. p. 106.) et alios plerosque." Cfr. praeterea hor. in ev. Matth. commentariorum pag. 88. lin. 8.

[2]) Exod. XX, 12. et Deuter. V, 16. coll. pag. 88. not. 2. et 3.

[3]) Matth. XV, 5. coll. edd. N. T.

[4]) H. et R. constanter h. l. μῆτρι.

[5]) Deest ὁ in edd. H. et R. Cfr. Matth. XV, 4.

[6]) H. et R. h. l. et paulo infra τελευτάτῳ.

[7]) Matth. XV, 4.

[8]) Deest ἐάν in edd. H. et R. Cfr. pag. huj. lin. 9. coll. ev. Matth. XV, 5.

ἐμοῦ ὠφεληθῇς·“ ὡσπερεὶ λοιδορίαν ἐπιφέρει τῷ πατρὶ, ἢ τῇ μητρὶ, οἷον[1]) ἱεροσύλους λέγων τοὺς γονεῖς, λαμβάνοντας τὰ ἀνακείμενα τῷ Κορβᾶν ἀπὸ τοῦ ἀνατεθεικότος αὐτὰ αὐτῷ. Ἰουδαῖοι οὖν ὑμᾶς,[2]) ὡς κακολογοῦντας πατέρα, ἢ μητέρα, τοὺς λέγοντας τῷ πατρί, ἢ τῇ μητρί· „δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς·“ κολάζουσι κατὰ τὸν νόμον· ὑμεῖς δὲ τῇ μιᾷ ὑμῶν παραδόσει δύο ἐντολὰς τοῦ θεοῦ ἀκυροῦτε. Εἶτα οὐκ αἰδεῖσθε ἐγκαλοῦντες τοῖς ἐμοῖς μαθηταῖς, οὐδεμίαν μὲν ἐντολὴν παραβαίνουσι· πορεύονται γὰρ ἐν πάσαις ταῖς ἐντολαῖς αὐτοῦ καὶ δικαιώμασιν ἀμέμπτως, παραβαίνουσι δὲ πρεσβυτέρων παράδοσιν εὐλαβείᾳ τοῦ μὴ παραβῆναι ἐντολὴν θεοῦ. Ὅπερ εἰ καὶ ὑμῖν προέκειτο,[3]) τὴν μὲν περὶ τιμῆς πατρὸς καὶ[4]) μητρὸς ἐντολὴν ἐφυλάξατε ἂν, καὶ τὴν λέγουσαν· „ὁ[5]) κακολογῶν πατέρα, ἢ μητέρα, θανάτῳ τελευτάτω·“ τὴν δὲ ἐναντιουμένην ταῖς ἐντολαῖς ταύταις τῶν πρεσβυτέρων παράδοσιν οὐκ ἂν ἐφυλάξατε.

11. Μετὰ δὲ ταύτας ὅλας τὰς παρὰ Ἰουδαίοις τῶν πρεσβυτέρων παραδόσεις ἀπὸ τῶν προφητικῶν[6]) βου-

---

[1]) Ed. Huet. οἷγε.

[2]) H. et R. in textu ὑμᾶς, H. tamen ad margin.: „scrib. υἱούς.“ Idem in notis: „Codd. Holm. et Reg.“ (R. habet: omnes Codd. Mss.) „ὑμᾶς. Videtur legisse Erasmus υἱούς, vertit enim: *Judaei igitur filios*; quae lectio verissima (?) est.“ — Matth. XV, 5.

[3]) H. περιέκειτο, R. recte προέκειτο.

[4]) R. in textu (H. ad marg.: „Cod. Reg.“) recte καί; H. in textu (R. in notis: „Cod. Holm.“) ἤ.

[5]) Matth. XV, 4.

[6]) R. in notis: „ita Codd. Vaticanus et Tarinianus; Huet. autem ed.“ (in textu) „ἀπὸ τῶν προφητῶν βουλόμενος διαβάλλειν, λόγον παρέθετο. Quae lectio est etiam Cod. Regii, qui solum“ (H. quoque teste) „mutat προφητῶν“ (quod habet, H. teste, Cod. Holmiensis) „in προφητικῶν, non male, modo postea pro λόγον legatur

λόμενος ἀπελέγξαι λόγων, παρέθετο ῥητὸν ἀπὸ τοῦ Ἡσαΐου, ὅπερ αὐταῖς λέξεσιν οὕτως ἔχει· „καὶ[1]) εἶπε κύριος· ἐγγίζει μοι ὁ λαὸς οὗτος ἐν τῷ στόματι αὐτῶν," καὶ τὰ ἑξῆς. Καὶ προείπομέν γε, ὅτι οὐκ αὐταῖς λέξεσιν ἀνέγραψεν ὁ Ματθαῖος τὸ προφητικόν. Εἰ δὲ δεῖ διὰ τὸ εὐαγγέλιον, χρησάμενον αὐτῷ, κατὰ τὸ δυνατὸν αὐτὸ διηγήσασθαι, προσληψόμεθα τὴν ἀνωτέρω λέξιν, χρησίμως, οἶμαι, ἡμῖν τετηρημένην εἰς διήγησιν τῆς ἐν τῷ εὐαγγελίῳ ἀπὸ τοῦ προφήτου εἰλημμένης. Ἔχει δὲ οὕτως ἀπ' ἀρχῆς τὸ ἐν τῷ Ἡσαΐᾳ ῥητόν· „ἐκλύθητε[2]) καὶ ἔκστητε, κραιπαλήσατε οὐκ ἀπὸ σίκερα, οὐδ' ἀπὸ οἴνου, ὅτι πεπότικεν ὑμᾶς κύριος πνεύματι[3]) κατανύξεως, καὶ καμμύσει τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ τῶν προφητῶν αὐτῶν, καὶ[4]) τῶν ἀρχόντων αὐτῶν, οἱ ὁρῶντες τὰ κρυπτά. Καὶ ἔσται ὑμῖν τὰ ῥήματα ταῦτα[5]) πάντα ὡς οἱ λόγοι τοῦ βιβλίου τοῦ ἐσφραγισμένου, ὃ ἐὰν δῶσιν αὐτὸ ἀνθρώπῳ ἐπισταμένῳ γράμματα, λέγοντες· ἀνάγνωθι ταῦτα· καὶ ἐρεῖ· οὐ δύναμαι ἀναγνῶναι, ἐσφράγισται γάρ. Καὶ δοθήσεται τὸ βιβλίον τοῦτο εἰς χεῖρας ἀνθρώπου μὴ ἐπισταμένου γράμματα,

---

λόγων, et locus hic sic" (H. quoque adnuente) „concipiatur: ἀπὸ τῶν προφητικῶν βουλόμενος διαβάλλειν λόγων."

1) Jes. XXIX, 13. LXX. viri αὐτοῦ.

2) Jes. XXIX, 9—13. 15. LXX. interpretes vers. 9. καὶ κραιπαλήσατε et οὐδὲ ἀπὸ οἴνου.

3) H. in textu: πνεῦμα κατανύξεως, quanquam in notis habeat: „Cod. Holm. habebat πνεῦμα, rescripsimus πνεύματι, nam infra legitur (cfr. pag. 95. lin. 9. et 10.): πεποτισμένων πνεύματι κ. τ. λ." — Cfr. l. l. vers. 10.

4) Ed. Huet. (it. LXX. interpretes) ut nos, καὶ τῶν — αὐτῶν, οἱ κτλ., ed. R. καὶ οἱ τῶν ἀρχόντων αὐτῶν ὁρῶντες κτλ. Cfr. l. l. vers. 10.

5) LXX. interpretes l. l. vers. 11. πάντα ταῦτα et τοῦ ἐσφραγισμένου τούτου.

καὶ ἐρεῖ αὐτῷ· ἀνάγνωθι τοῦτο· καὶ ἐρεῖ· οὐκ ἐπίσταμαι γράμματα. Καὶ εἶπε κύριος· ἐγγίζει μοι ὁ λαὸς οὗτος," καὶ τὰ ἑξῆς, ἕως τοῦ· „οὐαὶ οἱ ἐν κρυφῇ βουλὴν ποιοῦντες, καὶ ἔσται ἐν σκότει τὰ ἔργα αὐτῶν." Προσλαβὼν τοίνυν τὴν προκειμένην ἐν τῷ εὐαγγελίῳ λέξιν, ἐθέμην τινὰ τῶν πρὸ αὐτῆς, καί τινα τῶν ἑξῆς αὐτῆς, ἵνα παραστήσωμεν, τίνα τρόπον ἀπειλεῖ καμμύσειν τοὺς ὀφθαλμοὺς τῶν ἀπὸ τοῦ λαοῦ ὁ λόγος, ἐκστάντων καὶ κραιπαλησάντων, καὶ πεποτισμένων πνεύματι κατανύξεως. Ἀπειλεῖ δὲ καμμύσαι καὶ τοὺς προφήτας αὐτῶν, καὶ τοὺς ἐπαγγελλομένους ὁρᾶν τὰ κρυπτὰ ἄρχοντας αὐτῶν, ἅπερ, οἶμαι, γεγένηται μετὰ τὴν τοῦ Σωτῆρος ἐπιδημίαν ἐν τῷ λαῷ ἐκείνῳ. Γέγονε γὰρ αὐτοῖς πάντα τὰ ῥήματα ὅλων μὲν τῶν γραφῶν, καὶ τοῦ Ἡσαΐου δὲ, ὡς „λόγοι [1]) βιβλίου ἐσφραγισμένου." Τὸ δὲ „ἐσφραγισμένου" εἴρηται, οἱονεὶ κεκλεισμένου τῇ ἀσαφείᾳ, καὶ μὴ ἠνοιγμένου τῇ σαφηνείᾳ, ὅπερ ἐπίσης τοῖς μηδὲ τὴν ἀρχὴν, διὰ τὸ μὴ εἰδέναι γράμματα, ἀναγνῶναι αὐτὸ δυναμένοις, καὶ τοῖς ἐπαγγελλομένοις εἰδέναι γράμματα, ἐστὶν ἀσαφὲς, οὐ γινώσκουσι τὸν ἐν τοῖς γεγραμμένοις νοῦν. Καλῶς οὖν ἐπιφέρει τοῖς, ὅτι ἐπὰν [2]) ἐκλυθεὶς ἀπὸ [3]) τῶν ἁμαρτημάτων ὁ λαὸς, καὶ ἐκστὰς μανῇ κατ' αὐτοῦ, οἷς καὶ κραιπαλήσει κατ' αὐτοῦ πνεύματι κατανύξεως, ὃ ποτισθήσεται ὑπὸ τοῦ κυρίου, καμμύοντος αὐτῶν τοὺς ὀφθαλμοὺς, ὡς ἀναξίους τοῦ βλέπειν, καὶ τῶν προφητῶν αὐτῶν, καὶ τῶν ἀρχόντων αὐτῶν, τῶν ἐπαγγελλομένων βλέπειν τὰ κρυπτὰ τῶν ἐν ταῖς θείαις γραφαῖς μυστηρίων. Καὶ ἐπὰν καμμύσωσιν αὐτῶν οἱ ὀφθαλμοὶ, τότε αὐτοῖς ἔσται τὰ προφητικὰ ῥήματα ἐσφραγισμένα, καὶ ἐπικεκρυμμένα· ὅπερ

---

[1]) Jes. XXIX, 11. coll. pag. 94. not. 5.

[2]) Cfr. verba pag. huj. lin. 3. et 2. obvia: *καὶ ἐπὰν — ὀφθαλμοὶ, τότε κ. τ. λ.*

[3]) Ed. H. *ὑπό*, ed. R. *ἀπό*.

πεπόνθασιν ὁ λαὸς ὁ τῶν μὴ πιστευόντων εἰς τὸν Ἰησοῦν ὡς Χριστόν. Ἐπὰν δὲ γένηται τὰ προφητικὰ αὐτοῖς ὡς „λόγοι βιβλίου ἐσφραγισμένου," οὐ μόνον τοῖς μὴ εἰδόσιν, ἀλλὰ καὶ τοῖς ἐπαγγελλομένοις εἰδέναι γράμματα, τότε εἶπεν ὁ κύριος, μόνῳ τῷ στόματι ἐγγίζειν[1]) *τὸν λαὸν τῶν Ἰουδαίων τῷ θεῷ, καὶ τοῖς χείλεσι τιμᾷν αὐτόν φησι, διότι ἡ καρδία αὐτῶν διὰ τὴν εἰς τὸν Ἰησοῦν ἀπιστίαν πόῤῥω ἐστὶν ἀπὸ κυρίου. Καὶ νῦν μάλιστα, ἐξ οὗ τὸν Σωτῆρα ἡμῶν ἠρνήσαντο, λεχθείη ἂν ὑπὸ τοῦ θεοῦ περὶ αὐτῶν τό· „μάτην*[2]) *δὲ σέβονταί με·" οὐκέτι γὰρ διδάσκουσιν ἐντάλματα θεοῦ, ἀλλὰ ἀνθρώπων, καὶ διδασκαλίας οὐκέτι τὰς ἀπὸ τῆς τοῦ πνεύματος σοφίας, ἀλλὰ τὰς ἀνθρωπίνας. Ὅθεν τούτων αὐτοῖς συμβαινόντων, μετέθηκεν*[3]) *ὁ θεὸς τὸν τῶν Ἰουδαίων λαὸν, καὶ ἀπώλεσε τὴν σοφίαν αὐτῶν τῶν παρ᾽ αὐτοῖς σοφῶν· οὐκέτι γάρ ἐστι σοφία παρ᾽ αὐτοῖς, ὡς οὔτε προφητεία. Ἀλλὰ καὶ τὴν σύνεσιν τῶν συνετῶν τοῦ λαοῦ κατορώρυχέ που καὶ ἔκρυψεν ὁ θεὸς, καὶ οὐκέτι ἐστὶ λαμπρὰ καὶ ἐπιφανής. Διὸ κἂν δοκῶσι βουλήν τινα βαθέως*[4]) *ποιεῖν, οὐ διὰ τοῦ κυρίου αὐτὴν ποιοῦντες ταλανίζονται· κἂν κρυπτά τινα ἐπαγγέλλωνται βουλῆς θείας, ψεύδονται, ἐπεὶ τὰ ἔργα αὐτῶν οὐ φωτός ἐστιν, ἀλλὰ σκότους καὶ νυκτός. Διὰ βραχέων δὲ ἔδοξεν ἡμῖν ἐκθέσθαι τὴν προφητείαν, καὶ τὴν ἐπὶ ποσὸν*[5]) *σαφήνειαν αὐτῆς, ἐπείπερ ἐμνήσθη αὐτῆς ὁ Ματθαῖος. Ἐμνήσθη δὲ*[6]) *καὶ ὁ Μάρκος, ἀφ᾽ οὗ χρη-*

---

[1]) Jes. XXIX, 13. coll. Matth. XV, 8. et Marc. VII, 6.

[2]) Jes. XXIX, 13. coll. Matth. XV, 9. et Marc. VII, 7.

[3]) Jes. XXIX, 14.

[4]) Jes. XXIX, 15.

[5]) H. et R. h. l. *ἐπιποσόν*. In seqq. H. *σαφ. αὐτῆς. Ἐπείπερ — Ματθαῖος, ἐμνήσθη κ. τ. λ.*, R. *σαφ. αὐτῆς, ἐπείπερ — Ματθαῖος, ἐμνήσθη κ. τ. λ.*

[6]) Deest *δέ* in ed. Huetiana.

σίμως παραστησόμεθα περὶ τῆς παραβάσεως τῶν πρεσβυτέρων, δοξάντων νίπτειν τὰς χεῖρας, ὅταν ἄρτον ἐσθίωσιν Ἰουδαῖοι, τὰ κατὰ τὸν τόπον οὕτως ἔχοντα· „οἱ γὰρ[1]) Φαρισαῖοι, καὶ πάντες οἱ Ἰουδαῖοι, ἐὰν μὴ πυγμῇ νίψωνται τὰς χεῖρας, οὐκ ἐσθίουσι, κρατοῦντες τὴν παράδοσιν τῶν πρεσβυτέρων· καὶ ἀπ' ἀγορᾶς,[2]) ἐὰν μὴ βαπτίσωνται, οὐκ ἐσθίουσι. Καὶ ἄλλα τινά ἐστιν ἃ παρέλαβον κρατεῖν, βαπτισμοὺς ποτηρίων, καὶ ξεστῶν, καὶ χαλκείων, καὶ κλινῶν."

12. „Καὶ[3]) προσκαλεσάμενος τὸν ὄχλον, εἶπεν αὐτοῖς· ἀκούετε καὶ συνίετε," καὶ τὰ ἑξῆς. Σαφῶς διὰ τούτων ὑπὸ τοῦ Σωτῆρος διδασκόμεθα, ἀναγινώσκοντες ἐν τῷ Λευιτικῷ καὶ ἐν τῷ Δευτερονομίῳ τὰ περὶ καθαρῶν καὶ ἀκαθάρτων βρωμάτων, ἐφ' οἷς ὡς παρανομοῦσιν ἐγκαλοῦσιν ἡμῖν οἱ σωματικοὶ Ἰουδαῖοι, καὶ οἱ ὀλίγῳ διαφέροντες αὐτῶν Ἐβιωναῖοι, μὴ νομίζειν τὸν σκοπὸν εἶναι τῇ γραφῇ πρόχειρον περὶ τούτων νοῦν. Εἰ γὰρ „οὐ[4]) τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐξερχόμενον ἐκ τοῦ στόματος," καὶ μάλιστα ἐπεὶ κατὰ τὸν Μάρκον ἔλεγε ταῦτα ὁ Σωτήρ, καθαρίζων[5]) πάντα τὰ βρώματα, δῆλον ὅτι οὐ κοινούμεθα μὲν ἐσθίοντες ἃ Ἰουδαῖοί φασι, τῷ γράμματι τοῦ νόμου δουλεύειν ἐθέλοντες, εἶναι ἀκάθαρτα, τότε δὲ κοινούμεθα, ὅτε δέον τὰ χείλη ἡμῶν δεδέσθαι αἰσθήσει, καὶ ποιεῖν ἡμᾶς οἷς λέγομεν ζυγὸν καὶ σταθμὸν, λέγομεν μὲν τὰ παρατυχόντα, διαλογιζόμεθα δὲ τὰ μὴ δέ-

---

[1]) Marc. VII, 3. 4. Edd. N. T. vers. 4. καὶ ἄλλα πολλά ἐστιν et καὶ χαλκίων κ. τ. λ.

[2]) Ed. Knapp. l. l. vers. 4. ἀπὸ ἀγορᾶς, ed. Lachm. ἀπ' ἀγορᾶς.

[3]) Matth. XV, 10.

[4]) Matth. XV, 11. Edd. N. T. ἐκπορευόμενον pro ἐξερχόμενον. Cfr. pag. 102. not. 6.

[5]) Marc. VII, 19. coll. edd. N. T.

οντα, ἀφ' ὧν ἡ πηγὴ ἡμῖν ἔρχεται τῶν ἁμαρτημάτων. Καὶ πρέπον γέ ἐστι θεοῦ νόμῳ, ἀπαγορεύειν τὰ ἀπὸ κακίας, καὶ προστάσσειν τὰ κατ' ἀρετὴν, τὰ δὲ τῷ ἰδίῳ λόγῳ ἀδιάφορα, ταῦτα ἐᾷν ἐπὶ χώρας, δυνάμενα διὰ τὴν προαίρεσιν, καὶ τὸν ἐν ἡμῖν λόγον, ἁμαρτανόμενα μὲν κακῶς πράττεσθαι, κατορθούμενα δὲ γίγνεσθαι καλῶς. Ταῦτα δέ τις ἐπιμελῶς νοήσας ὄψεται, ὅτι καὶ τὰ νομιζόμενα ἀγαθὰ οἷόντέ ἐστι κακῶς καὶ ἀπὸ πάθους λαβόντα ἁμαρτάνειν, καὶ τὰ λεγόμενα ἀκάθαρτα δυνατὸν, κατὰ λόγον ἐν χρήσει ἡμῖν γινόμενα, λογίζεσθαι καθαρά. Ὥσπερ γὰρ τοῦ ἁμαρτάνοντος Ἰουδαίου ἡ περιτομὴ εἰς ἀκροβυστίαν [1]) λογισθήσεται, τοῦ δὲ κατορθοῦντος ἀπὸ τῶν ἐθνῶν ἡ ἀκροβυστία εἰς περιτομὴν, οὕτως τὰ μὲν νομιζόμενα καθαρὰ λογισθήσεται εἰς ἀκάθαρτα τῷ μὴ δεόντως [2]) αὐτοῖς, μηδὲ ὅτε δεῖ, μηδὲ [3]) ὅσον δεῖ, μηδὲ ὅθεν δεῖ χρωμένῳ. Τὰ δὲ λεγόμενα ἀκάθαρτα, πάντα [4]) γίνεται καθαρὰ τοῖς καθαροῖς· τοῖς γὰρ μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθαρὸν, ἐπεὶ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις. Καὶ ταῦτα μεμιασμένα, ἅπαντα ποιεῖ μιαρὰ ὧν ἂν ἅψηται, ὡς πάλιν ἐκ τοῦ ἐναντίου ὁ καθαρὸς νοῦς, καὶ ἡ καθαρὰ συνείδησις πάντα ποιεῖ καθαρὰ, κἂν δοκῇ ἀκάθαρτα τυγχάνειν· οὐ γὰρ ἀπὸ ἀκολασίας, οὐδὲ ἀπὸ φιληδονίας, οὐδὲ μετὰ διακρίσεως, περιελκούσης εἰς ἑκάτερα, οἱ δίκαιοι χρῶνται τοῖς βρώ-

---

[1]) Rom. II, 26.

[2]) R. recte *μὴ δεόντως* (in versione: *qui nec decenter iis*), H. min. accurate: *μηδὲ ὄντως* (in versione: *qui nullo modo iis* etc.).

[3]) *μηδὲ ὅσον δεῖ.* Haec desiderantur in unico Cod. Holmiensi. R. — Desunt quidem eadem verba in textu ed. Huet., adscripta tamen leguntur margini hoc modo: „Cod. Reg. etc.“

[4]) Tit. I, 15. coll. edd. N. T.

μασιν ἢ πόμασι, μεμνημένοι τοῦ· „εἴτε [1]) ἐσθίετε, εἴτε πίνετε, εἴτε τι [2]) ἄλλο ποιεῖτε, εἰς δόξαν θεοῦ ποιεῖτε.“ Εἰ δὲ χρὴ ὑπογράψαι τὰ κατὰ τὸ εὐαγγέλιον ἀκάθαρτα βρώματα, φήσομεν ὅτι τοιαῦτά ἐστι τὰ ἀπὸ πλεονεξίας πεπορισμένα, καὶ ἀπὸ αἰσχροκερδείας περιγεγενημένα, καὶ ἀπὸ φιληδονίας λαμβανόμενα, καὶ ἀπὸ τοῦ θεοποιεῖσθαι τιμωμένην τὴν γαστέρα, ὅταν αὐτὴ, καὶ αἱ κατ᾽ αὐτὴν ὀρέξεις, καὶ μὴ ὁ λόγος, ἄρχῃ τῆς ψυχῆς ἡμῶν. Ἀλλὰ καὶ γινώσκοντες δαιμονίοις κεχρῆσθαί τινα, ἢ μὴ γινώσκοντες μὲν, ὑπονοοῦντες δὲ, καὶ διακρινόμενοι περὶ τούτου, εἰ χρησαίμεθα τοῖς τοιούτοις, οὐκ εἰς δόξαν θεοῦ αὐτοῖς κεχρήμεθα, οὐδὲ ἐν ὀνόματι Χριστοῦ, οὐ μόνον τῆς περὶ τοῦ εἰδωλόθυτα [3]) εἶναι ὑπολήψεως κατακρινούσης τὸν ἐσθίοντα, ἀλλὰ καὶ τῆς περὶ τούτου διακρίσεως· „ὁ γὰρ [4]) διακρινόμενος, κατὰ τὸν Ἀπόστολον, ἐὰν φάγῃ, κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως· πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστίν.“ Ἐκ πίστεως μὲν οὖν ἐσθίει ὁ πεπιστευκὼς, μὴ ἐν εἰδωλείοις [5]) τεθύσθαι τὸ ἐσθιόμενον, μηδὲ πνικτὸν αὐτὸ εἶναι, ἢ αἷμα· οὐκ ἐκ πίστεως δὲ, ὁ περὶ τούτων τινὸς διακρινόμενος. Καὶ κοινωνὸς δὲ τῶν δαιμονίων γίνεται ὁ καὶ αὐτὰ εἰδὼς δαιμονίοις τεθύσθαι, καὶ οὐδὲν ἧττον χρώμενος μετὰ

---

1) I Cor. X, 31. Edd. N. T. εἴτε οὖν ἐσθίετε et πάντα εἰς δόξαν κ. τ. λ., omisso voc. ἄλλο ante prius ποιεῖτε.

2) Deest τι in ed. R., legitur in ed. H.

3) H. et R. εἰδολόθυτα.

4) Rom. XIV, 23.

5) Sic optime Codd. Vatican. et Tarinianus. Reg. vero et Holmiensis εἰδωλίοις. R. — H. in textu εἰδωλίοις, in notis: „ita Codd. Holm. et Reg. Εἰδώλιον autem tradunt Grammatici esse idoli similitudinem; quam significationem h. l. tueri non possunt. Malim igitur ἐν εἰδωλείοις, h. e. in idolorum templis. Erasmus: *in sacrificiis idolorum*. Caeterum vide Act. XV, 20. et XXI, 25.“

μεμολυσμένης τῆς περὶ τῶν δαιμονίων κοινωνησάντων τῷ θύματι φαντασίας. Καὶ ὁ Ἀπόστολος μέντοι ἐπιστάμενος, μὴ τὴν φύσιν τῶν βρωμάτων αἰτίαν εἶναι βλάβης τῷ χρωμένῳ, ἢ ὠφελείας τῷ ἀπεχομένῳ, ἀλλὰ τὰ δόγματα, καὶ τὸν ἐνυπάρχοντα λόγον, εἶπε· „βρῶμα[1]) δὲ ἡμᾶς οὐ παρίστησι τῷ θεῷ· οὔτε γὰρ ἐὰν φάγωμεν, περισσευόμεθα, οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα.“ Καὶ ἐπείπερ ἠπίστατο τοὺς μεγαλοφυέστερον νοοῦντας κατὰ τὸν νόμον, τίνα τὰ καθαρὰ, καὶ τίνα τὰ ἀκάθαρτα, ἀποστάντας τῆς περὶ τοῦ χρῆσθαι ὡς καθαροῖς καὶ ἀκαθάρτοις διαφορᾶς, καὶ δεισιδαιμονίας, οἶμαι,[2]) ἐν ἀδιαφόροις, ἀδιαφορεῖν τῇ χρήσει τῶν βρωμάτων, καὶ διὰ τοῦτο ὑπὸ Ἰουδαίων ὡς παρανόμους κρίνεσθαι, διὰ τοῦτο εἶπέ που· „μὴ[3]) οὖν κρινέτω τις

---

[1]) I Cor. VIII, 8. Ed. Knapp., reliqua omnia eod. modo, quo in nostro textu leguntur, exhibens, *περισσεύομεν* offert pro *περισσευόμεθα*, ed. autem Lachm. haec habet: *οὐ παραστήσει τῷ θεῷ· οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα, οὔτε ἐὰν φάγωμεν, περισσεύομεν.* Cfr. pag. 107. not. 1.

[2]) H. in textu: *οἶμαι, ἐν διαφόροις, ἐνδιαφορεῖν κ. τ. λ.*; R. in textu: *οἶμαι, ἐν διαφόροις ἐνδιαφορεῖν κ. τ. λ.*, in notis: „Erasmus: *contemta superstitione in rebus, ut opinor, indifferentibus:* legebat: *ἐν ἀδιαφόροις.* Pro *ἐνδιαφορεῖν* autem Cod. Reg. (H. quoque ad marg. attestante) habet: *οὐ διαφορεῖν.*“ Huet. in notis addit: „„pro *ἐνδιαφορεῖν* autem legendum existimo *ἀδιαφορεῖν*, vel *ἐναδιαφορεῖν; ἐνδιαφορεῖν* autem insolens est.““ — Equidem vel propter verb. *οἶμαι* Erasmum et Huetium secutus sum, atque Erasmum quidem, si lectionem solam spectaveris, Huetium vero, si ad comma non minus, quod voc. *ἀδιαφόροις* a verbo *ἀδιαφορεῖν* sejungit, quam ad receptam lectionem *ἀδιαφορεῖν* respexeris.

[3]) Coloss. II, 16. coll. edd. N. T. et ed. nostrae Tom. I. pag. 300. lin. 14.

ὑμᾶς [1]) ἐν βρώσει, ἢ ἐν πόσει," καὶ τὰ ἑξῆς, διδάσκων ἡμᾶς ὅτι τὰ μὲν κατὰ τὸ γράμμα, σκιά ἐστι, τὰ δ' ἀληθῆ τοῦ νόμου ἐναποκείμενα τούτοις νοήματα, μέλλοντά ἐστιν ἀγαθὰ, ἐν οἷς ἔστιν εὑρεῖν, τίνα τὰ καθαρὰ τῆς ψυχῆς πνευματικὰ βρώματα, καὶ τίνα τὰ ἀκάθαρτα ἐν λόγοις ψευδέσι καὶ ἐναντίοις, βλάπτοντα τὸν τρεφόμενον ἐν αὐτοῖς· „σκιὰν [2]) γὰρ εἶχεν ὁ νόμος τῶν μελλόντων ἀγαθῶν."

13. Ὥσπερ δὲ ἐν πολλοῖς κατανοητέον τὸ θαυμαζόμενον παρὰ Ἰουδαίοις ἐπὶ τοῖς τοῦ Σωτῆρος λόγοις, ὅτι ἐν ἐξουσίᾳ ἐλέγοντο, οὕτως καὶ ἐπὶ τῶν κατὰ τὸν τόπον. Τὸν ὄχλον γοῦν προσκαλεσάμενος, εἶπεν αὐτοῖς· „ἀκούετε [3]) καὶ συνίετε," καὶ τὰ ἑξῆς. Καὶ τοῦτ' ἔλεγε, Φαρισαίων σκανδαλιζομένων ἐπὶ τούτῳ τῷ λόγῳ, ὡς διὰ τὰ μοχθηρὰ δόγματα, καὶ τὴν φαύλην παρὰ τοῦ νόμου ἐκδοχὴν, οὐκ ὄντων φυτείας [4]) τοῦ ἐν οὐρανοῖς ἑαυτοῦ πατρὸς, καὶ διὰ τοῦτο ἐκριζουμένων· ἐξεῤῥιζώθησαν γὰρ, μὴ παραδεξάμενοι τὴν ἀπὸ τοῦ πατρὸς γεωργουμένην ἄμπελον ἀληθινὴν, Ἰησοῦν Χριστόν. Πῶς γὰρ ἠδύναντο εἶναι φυτεία τοῦ πατρὸς οἱ ἐπὶ τοῖς Ἰησοῦ σκανδαλισθέντες λόγοις, ἀφιστᾶσι μὲν τοῦ· „μὴ [5]) ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς· ἃ ἦν πάντα εἰς φθορὰν τῇ ἀποχρήσει, κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων·" προσάγουσι δὲ τὸν συνετὸν ἑαυτῶν ἀκροατὴν τῷ τὰ ἄνω περὶ τούτων ζητεῖν, καὶ μὴ τὰ [6]) ἐπὶ

---

[1]) H. et R. h. l. ἡμᾶς. Cfr. ed. nostrae Tom. I. pag. 300. lin. 14.

[2]) Hebr. X, 1. coll. edd. N. T. atque ep. ad Coloss. II, 17.

[3]) Matth. XV, 10.

[4]) Ibid. XV, 13. — Ev. Joann. XV, 1.

[5]) Coloss. II, 21. 22. Edd. N. T. ἅ ἐστι pro ἃ ἦν.

[6]) Deest τὰ in edd. H. et R.

τῆς[1]) *γῆς, ὡς οἱ Ἰουδαῖοι; Καὶ ἐπεὶ διὰ τὰ μοχθηρὰ δόγματα οὐ φυτεία ἦσαν τοῦ ἐν οὐρανοῖς πατρὸς οἱ Φαρισαῖοι, διὰ τοῦτο ὡς περὶ ἀνιάτων αὐτῶν λέγει τοῖς μαθηταῖς τό· „ἄφετε*[2]) *αὐτούς·" „ἄφετε," διὰ τοῦτο, ὅτι, τυφλοὶ ὄντες, δέον αὐτοὺς αἰσθάνεσθαι τῆς τυφλότητος, καὶ ζητεῖν ὁδηγοὺς, οἱ δὲ ἐπαγγέλλονται, ἀναισθητοῦντες τῆς ἑαυτῶν τυφλότητος, ὁδηγεῖν τυφλοὺς, οὐ λογιζόμενοι ἐμπεσεῖσθαι εἰς βόθυνον, περὶ οὗ ἐν ψαλμοῖς γέγραπται· „λάκκον*[3]) *ὤρυξε, καὶ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο." Ἀλλαχοῦ μὲν οὖν γέγραπται, ὅτι „ἰδὼν*[4]) *τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος, καὶ καθίσαντος αὐτοῦ προσῆλθον οἱ μαθηταὶ αὐτοῦ·" ἐνταῦθα δὲ ὀρέγει χεῖρα τῷ ὄχλῳ, προσκαλεσάμενος αὐτὸν, καὶ ἀφιστὰς τῆς ῥητῆς τῶν κατὰ νόμον ἐρωτημάτων ἐκδοχῆς, ὅτε πρῶτον μὲν ἔλεγεν αὐτοῖς· „ἀκούετε*[5]) *καὶ συνίετε·" οὐδέπω συνιεῖσιν ὧν ἤκουον· ἑξῆς δὲ ὡς ἐν παραβολαῖς ἔλεγεν αὐτοῖς· „οὐ*[6]) *τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ*[7]) *τοῦ στόματος."*

14. *Μετὰ ταῦτα ἄξιον ἰδεῖν λέξιν συκοφαντουμένην ὑπὸ τῶν φασκόντων, οὐ τὸν αὐτὸν εἶναι νόμου καὶ εὐαγγελίου Ἰησοῦ Χριστοῦ θεόν· οἵτινές φασιν, ὅτι οὐκ ἔστιν ὁ Ἰησοῦ Χριστοῦ οὐράνιος πατὴρ γεωργὸς τῶν κατὰ Μωσέως νόμον οἰομένων θεὸν εὐσεβεῖν. Αὐτὸς εἶπεν ὁ Ἰησοῦς τοὺς Φαρισαίους, οἳ ἦσαν λατρεύοντες τῷ κτίσαντι τὸν κόσμον καὶ τὸν νόμον θεῷ, οὐκ εἶναι*

---

[1]) Desideratur *τῆς* in edd. H. et R.

[2]) Matth. XV, 14.

[3]) Psalm. VII, 15.

[4]) Matth. V, 1. Edd. N. T. *προσῆλθον αὐτῷ κτλ.*

[5]) Matth. XV, 10.

[6]) Ibid. XV, 11. H. et R. h. l., cfr. pag. 97. not. 4., *ἐκπορευόμενον.*

[7]) Desunt h. l. verba *ἐκ τοῦ στόματος* in edd. H. et R.

φυτείαν, ἣν[1]) ἐφύτευσεν ὁ οὐράνιος αὐτοῦ πατὴρ, καὶ διὰ τοῦτο αὐτὴν ἐκριζοῦσθαι. Εἴποις δ' ἂν καὶ ταῦτα, ὅτι κἂν εἴπερ πατὴρ ἦν τοῦ Ἰησοῦ ὁ εἰσαγαγὼν[2]) καὶ φυτεύσας τὸν ἀπὸ Αἰγύπτου ἐξελθόντα λαὸν εἰς ὄρος κληρονομίας ἑαυτοῦ, εἰς ἕτοιμον κατοικητήριον ἑαυτοῦ, εἶπεν ἂν Ἰησοῦς ἐπὶ τοῖς Φαρισαίοις τό· „πᾶσα[3]) φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται.“ Πρὸς ταῦτα δὲ φήσομεν, ὅτι ὅσοι διὰ τὴν μοχθηρὰν περὶ τῶν κατὰ τὸν νόμον ἐκδοχὴν οὐκ ἦσαν φυτεία τοῦ ἐν οὐρανοῖς πατρὸς, οὗτοι τετύφλωντο τὰ νοήματα, ὡς μὴ πιστεύοντες τῇ ἀληθείᾳ, ἀλλὰ εὐδοκοῦντες τῇ ἀδικίᾳ, ὑπὸ τοῦ θεοποιηθέντος ἀπὸ τῶν υἱῶν τοῦ αἰῶνος τούτου, καὶ διὰ τοῦτο λεγομένου παρὰ τῷ Παύλῳ θεοῦ τοῦ αἰῶνος τούτου. Καὶ μὴ νομίσῃς, Παῦλον ἡμῶν[4]) ἀληθῶς εἶναι λέγειν αὐτὸν θεόν· ὡς γὰρ, μὴ οὖσα θεὸς ἡ κοιλία τῶν ὑπερτιμώντων τὴν ἡδονὴν, φιληδόνων μᾶλλον ἢ φιλοθέων, λέγεται[5]) ὑπὸ Παύλου εἶναι θεὸς αὐτῶν· οὕτως, μὴ ὢν θεὸς ὁ ἄρχων τοῦ αἰῶνος τούτου, περὶ οὗ φησιν ὁ Σωτήρ· „νῦν ὁ ἄρχων[6]) τοῦ κόσμου τούτου κέκριται·“ θεὸς εἶναι λέγεται τῶν μὴ βουληθέντων τὸ πνεῦμα τῆς υἱοθεσίας λαβεῖν, ἵνα γένωνται υἱοὶ τοῦ αἰῶνος ἐκείνου, καὶ τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν, καὶ διὰ τοῦτο μεινάντων ἐν τῇ νιότητι τοῦ αἰῶνος τούτου. Ταῦτα δέ μοι ἔδοξεν, εἰ καὶ πα-

---

[1]) Ed. H. min. accur., quum οὐκ praecedat, ἣν οὐκ ἐφύτευσεν. Cfr. Matth. XV, 13.

[2]) Exod. XV, 17.

[3]) Matth. XV, 13.

[4]) H. et R. in textu ἡμᾶς; H. in notis: „ita Codd. Holm. et Regius. Priorem illam vocem praetermisit Erasmus. Legendum ἡμῶν.“ R. in notis: „„ἡμᾶς κ. τ. λ. Sic omnes Codd. Mss. Priorem — ἡμῶν.““ Cfr. II Cor. IV, 4.

[5]) Philipp. III, 19.

[6]) Ev. Joann. XVI, 11. coll. edd. N. T.

ρεκβατικῶς εἴρηται, ἀναγκαίως παρειλῆφθαι διὰ τό· „τυφλοί εἰσιν [1]) ὁδηγοὶ τυφλῶν·" τίνες δέ; οἱ Φαρισαῖοι, ὧν ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε [2]) τὰ νοήματα, ὄντων ἀπίστων παρὰ τὸ μὴ πεπιστευκέναι εἰς Ἰησοῦν Χριστὸν, καὶ ἐτύφλωσεν, εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ θεοῦ, ἐν προσώπῳ τοῦ Χριστοῦ. Οὐ μόνον δὲ ἀπ᾽ ἐκείνων φευκτέον ὁδηγεῖσθαι τυφλῶν, τῶν [3]) αἰσθανομένων δεῖσθαι ὁδηγῶν, παρὰ τὸ μηδέπω αὐτοὺς [4]) ἀπειληφέναι τὴν δύναμιν τοῦ δι᾽ αὐτῶν [5]) βλέπειν· ἀλλὰ γὰρ καὶ ἐπὶ πάντων τῶν ἐπαγγελλομένων ὁδηγεῖν ἐν ὑγιεῖ διδασκαλίᾳ ἐπιμελῶς ἀκουστέον, καὶ κρίσιν ὑγιῆ τοῖς λεγομένοις προσακτέον, μήποτε κατ᾽ ἄγνοιαν τυφλῶν, καὶ μὴ βλεπόντων τὰ πράγματα τῆς ὑγιοῦς διδασκαλίας ὁδηγούμενοι, τυφλοὶ καὶ αὐτοὶ διὰ τὸ μὴ βλέπειν τὸν νοῦν τῶν γραφῶν τυγχάνοντες φανῶμεν, ὡς ἀμφοτέρους, τόν τε ὁδηγοῦντα καὶ ὁδηγούμενον, ἐμπεσεῖν εἰς τὸν βόθυνον, περὶ οὗ προειρήκαμεν. Ἑξῆς δὲ τούτοις γέγραπται, τίνα τρόπον ὁ Πέτρος ἀποκριθεὶς εἶπε τῷ Σωτῆρι, ὡς μὴ νοήσας τό· „οὐ τὸ [6]) εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος·" τό· „φράσον [7]) ἡμῖν τὴν παραβο-

---

[1]) Matth. XV, 14. Ed. Lachm. ut in nostro textu, ed. Knapp. ὁδηγοί εἰσιν τυφλοὶ τυφλῶν.

[2]) II Cor. IV, 4. — 6.

[3]) Ed. Huet. καί habet pro τῶν.

[4]) H. et R. in textu αὐτῶν, H. ad marg. rectissime: „scrib. αὐτούς."

[5]) H. et R. in textu rectissime: αὐτῶν, R. tamen negligenter, quum haec emendatio non nisi verbis praecedd., παρὰ τὸ μηδέπω αὐτῶν ἀπειληφέναι, inservire possit, in notis: „scribendum αὐτούς."

[6]) Matth. XV, 11. Cfr. pag. 102. not. 6.

[7]) Ibid. XV, 15. Ed. Knapp. παραβολὴν ταύτην.

λήν.“ Πρὸς ὃ ὁ Σωτήρ φησι τό· „ἀκμὴν[1]) καὶ ὑμεῖς ἀσύνετοί ἐστε;“ οἱονεὶ τοσούτῳ μοι συνόντες χρόνῳ ἔτι οὐ συνίετε τοῦ βουλήματος τῶν λεγομένων, καὶ ἔτι οὐ νοεῖτε, ὅτι διὰ τοῦτο οὐ κοινοῖ τὸν ἄνθρωπον, ἐπεὶ τὸ εἰσερχόμενον αὐτοῦ εἰς τὸ στόμα εἰς τὴν κοιλίαν χωρεῖ, καὶ προχωροῦν ἀπ᾽ αὐτῆς εἰς ἀφεδρῶνα βάλλεται. Οὐ παρὰ τὸν νόμον, ᾧ πιστεύειν ἐδόκουν, οὐκ ἦσαν φυτεία τοῦ πατρὸς Ἰησοῦ Φαρισαῖοι, ἀλλὰ παρὰ τὴν μοχθηρὰν περὶ τοῦ νόμου καὶ τῶν ἐν αὐτῷ γεγραμμένων ἐκδοχήν. Δύο γὰρ νοουμένων κατὰ τὸν νόμον, διακονίας[2]) τε θανάτου, τῆς ἐντετυπωμένης γράμμασι καὶ οὐδὲν οἰκεῖον ἐχούσης πρὸς τὸ πνεῦμα, καὶ διακονίας ζωῆς τῆς νοουμένης ἐν τῷ πνευματικῷ νόμῳ, οἱ μὲν δυνάμενοι ἀπὸ διαθέσεως ἀληθευούσης λέγειν τό· „οἴδαμεν[3]) γάρ, ὅτι ὁ νόμος πνευματικός ἐστι·“ καὶ διὰ τοῦτο „ὁ νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή,“ οὗτοι ἦσαν φυτεία, ἣν ἐφύτευσεν ὁ οὐράνιος πατήρ· οἱ δὲ μὴ τοιοῦτοι, ἀλλὰ τὸ ἀποκτεῖνον γράμμα περιέποντες μόνον, οὐκ ἦσαν φυτεία τοῦ θεοῦ, ἀλλὰ τοῦ πωρώσαντος αὐτῶν τὴν καρδίαν, καὶ κάλυμμα ἐπιθέντος αὐτῇ, ἰσχύον ἐν ἐκείνοις ὅσον οὐκ ἐπέστρεφον πρὸς τὸν κύριον· „ἐὰν[4]) γάρ τις ἐπιστρέψῃ πρὸς τὸν κύριον, περιαιρεῖται τὸ κάλυμμα· ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν.“ Εἴποι δ᾽ ἄν τις κατὰ τὸν τόπον γενόμενος, ὅτι ὥσπερ „οὐ τὸ[5]) εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον,“ κἂν νομίζηται εἶναι ὑπὸ Ἰουδαίων κοινόν· οὕτως οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα ἁγιάζει τὸν ἄνθρωπον, κἂν ὑπὸ τῶν ἀκεραιοτέρων νομίζηται ἁγιάζειν ὁ ὀνομαζόμενος ἄρτος τοῦ κυρίου. Καὶ ἔστιν, οἶ-

[1]) Matth. XV, 16. — 17.
[2]) II Cor. III, 7.
[3]) Rom. VII, 14. et 12.
[4]) II Cor. III, 16. 17. coll. edd. N. T.
[5]) Matth. XV, 11.

μαι, ὁ λόγος οὐκ εὐκαταφρόνητος, καὶ διὰ τοῦτο δεόμενος σαφοῦς διηγήσεως, οὕτως ἐμοὶ δοκούσης ἔχειν· ὥσπερ οὐ τὸ βρῶμα, ἀλλ' ἡ συνείδησις τοῦ μετὰ διακρίσεως ἐσθίοντος κοινοῖ τὸν φαγόντα· „ὁ γὰρ[1]) διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως·" καὶ ὥσπερ οὐδὲν καθαρὸν οὐ παρ' αὐτό ἐστι τῷ μεμιασμένῳ καὶ ἀπίστῳ, ἀλλὰ παρὰ τὸν μιασμὸν αὐτοῦ, καὶ τὴν ἀπιστίαν· οὕτως τὸ ἁγιαζόμενον[2]) διὰ λόγου θεοῦ καὶ ἐντεύξεως, οὐ τῷ ἰδίῳ λόγῳ ἁγιάζει τὸν χρώμενον· εἰ γὰρ τοῦτο, ἡγίαζεν[3]) ἂν καὶ τὸν ἐσθίοντα ἀναξίως τὸν[4]) ἄρτον τοῦ κυρίου, καὶ οὐδεὶς ἂν διὰ τὸ βρῶμα τοῦτο ἀσθενὴς ἢ ἄῤῥωστος ἐγίνετο, ἢ ἐκοιμᾶτο· τοιοῦτον γάρ τι ὁ Παῦλος παρέστησεν ἐν τῷ· „διὰ[5]) τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ[6]) κοιμῶνται ἱκανοί." Καὶ ἐπὶ τοῦ ἄρτου τοίνυν τοῦ κυρίου ἡ ὠφέλεια τῷ χρωμένῳ ἐστὶν, ἐπὰν ἀμιάντῳ τῷ νῷ καὶ καθαρᾷ τῇ συνειδήσει μεταλαμβάνῃ τοῦ ἄρτου. Οὕτω δὲ οὔτε ἐκ τοῦ μὴ φαγεῖν, παρ' αὐτὸ τὸ μὴ φαγεῖν ἀπὸ τοῦ ἁγιασθέντος λόγῳ θεοῦ καὶ ἐντεύξει ἄρτου, ὑστερούμεθα ἀγαθοῦ τινος, οὔτε ἐκ τοῦ φαγεῖν περισσεύομεν ἀγαθῷ τινι· τὸ γὰρ αἴτιον τῆς ὑστερήσεως, ἡ κακία ἐστὶ καὶ τὰ ἁμαρτήματα· καὶ τὸ αἴτιον τῆς περισσεύσεως, ἡ δικαιοσύνη ἐστὶ καὶ τὰ κατορθώματα· ὡς τοιοῦτο εἶναι τὸ παρὰ τῷ Παύλῳ λεγόμενον

---

[1]) Rom. XIV, 23.

[2]) H. ad marg. „Cod. Reg. ἁγίαζον;" R. in notis: „„Cod. Reg. ἁγιάζων."" Iidem in textu rectissime: τὸ ἁγιαζόμενον. Cfr. I Tim. IV, 5.

[3]) H. et R. in textu: ἡγίαζε γὰρ ἂν κ. τ. λ., H. tamen ad marginem: „Cod. Reg. ἡγίαζεν ἂν κ. τ. λ."

[4]) τὸν ἄρτον. R. in notis: „hoc exciderat ex ed. Huet., sed hic restituitur ex omnibus Mss.

[5]) I Cor. XI, 30.

[6]) Desideratur καί in ed. Huetii.

ἐν τῷ· „οὔτε [1]) γὰρ [2]) ἐὰν φάγωμεν, περισσεύομεν, οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα." Εἰ δὲ „πᾶν [3]) τὸ εἰσπορευόμενον εἰς τὸ στόμα εἰς τὴν [4]) κοιλίαν χωρεῖ, καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται," καὶ τὸ ἁγιαζόμενον βρῶμα διὰ λόγου θεοῦ καὶ ἐντεύξεως, κατ' αὐτὸ μὲν τὸ ὑλικὸν εἰς τὴν κοιλίαν χωρεῖ, καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται· κατὰ δὲ τὴν ἐπιγενομένην αὐτῷ εὐχὴν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, ὠφέλιμον γίνεται, καὶ τῆς τοῦ νοῦ αἴτιον διαβλέψεως, [5]) ὁρῶντος ἐπὶ τὸ ὠφελοῦν· καὶ οὐχ ἡ ὕλη τοῦ ἄρτου, ἀλλ' ὁ ἐπ' αὐτῷ εἰρημένος λόγος ἐστὶν ὁ ὠφελῶν τὸν μὴ ἀναξίως τοῦ κυρίου ἐσθίοντα αὐτόν. Καὶ ταῦτα μὲν περὶ τοῦ τυπικοῦ καὶ συμβολικοῦ σώματος. Πολλὰ δ' ἂν καὶ περὶ αὐτοῦ λέγοιτο τοῦ Λόγου, ὃς γέγονε [6]) σὰρξ, καὶ ἀληθινὴ βρῶσις, ἥντινα ὁ φαγὼν πάντως ζήσεται εἰς τὸν αἰῶνα, οὐδενὸς δυναμένου φαύλου ἐσθίειν αὐτήν· εἰ γὰρ οἰόντε ἦν ἔτι φαῦλον μένοντα ἐσθίειν τὸν γενόμενον σάρκα, Λόγον ὄντα, καὶ ἄρτον ζῶντα, οὐκ ἂν ἐγέγραπτο, ὅτι [7]) πᾶς ὁ φαγὼν τὸν ἄρτον τοῦτον ζήσεται εἰς τὸν αἰῶνα.

15. Ἑξῆς τούτῳ ἴδωμεν, πῶς τὰ ἐκπορευόμενα καὶ κοινοῦντα τὸν ἄνθρωπον, οὐ παρὰ τὸ ἐκ τοῦ στόματος ἐκπορεύεσθαι κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὴν αἰτίαν ἔχει τῆς κοινώσεως ἐν τῇ καρδίᾳ, ὅτε ἐξέρχονται ἀπ' αὐτῆς, πρὸ τῶν ἐκπορευομένων διὰ τοῦ στόματος, διαλογισμοὶ [8]) πονηροὶ, ὧν ἐν εἴδει εἰσὶ „φόνοι, μοιχεῖαι,

---

[1]) I Cor. VIII, 8. coll. pag. 100. not. 1.

[2]) Deest h. l. γάρ in edd. H. et R.

[3]) Matth. XV, 17.

[4]) Deest τήν h. l., cfr. pag. 105. lin. 5., et huj. pag. lin. 3., in edd. H. et R.

[5]) H. ad marg., R. in notis: „Cod. Reg. διαλάμψεως."

[6]) Ev. Joann. I, 14. — VI, 51.

[7]) Ibid. VI, 51.

[8]) Matth. XV, 19. 20.

πορνεῖαι, κλοπαὶ, ψευδομαρτυρίαι, βλασφημίαι. Ταῦτα γάρ ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον,“ ὅτε ἐξέρχεται ἀπὸ τῆς καρδίας, καὶ ἐξελθόντα ἀπ᾽ αὐτῆς διαπορεύεται διὰ τοῦ στόματος· ὡς εἰ ἔξω τῆς καρδίας μὴ ἐγίνετο, ἀλλ᾽ αὐτοῦ που περὶ τὴν καρδίαν κατείχετο, οὐκ ἐπιτρεπόμενα διὰ τοῦ στόματος λαλεῖσθαι, τάχιστα ἂν ἠφάνιστο, καὶ οὐκέτι ἄνθρωπος ἐκοινοῦτο. Πηγὴ οὖν καὶ ἀρχὴ πάσης ἁμαρτίας, διαλογισμοὶ πονηροί· μὴ γὰρ ἐπικρατησάντων τούτων, οὔτε φόνοι, οὔτε μοιχεῖαι, οὔτ᾽ ἄλλο τι τῶν τοιούτων ἔσονται. Διὰ τοῦτο πάσῃ φυλακῇ τηρητέον ἑκάστῳ[1]) τὴν ἑαυτοῦ καρδίαν· καὶ γὰρ ἐν ἡμέρᾳ κρίσεως ἐλθὼν ὁ κύριος, φωτίσει[2]) τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν, μεταξὺ πάντων τῶν λογισμῶν ἀνθρώπων κατηγορούντων, ἢ καὶ ἀπολογουμένων, ἡνίκα ἐὰν κυκλώσῃ αὐτοὺς τὰ διαβούλια ἑαυτῶν. Τοιοῦτοι δ᾽ εἰσὶν οἱ πονηροὶ διαλογισμοὶ, ὡς ἔσθ᾽ ὅτε καὶ τὰ δοκοῦντα ἀγαθὰ, καὶ ὅσον ἐπὶ τῇ κρίσει τῶν πολλῶν ἐπαινετὰ, ψεκτὰ ποιεῖν. Ἐὰν γοῦν ποιοῦμεν ἐλεημοσύνην ἔμπροσθεν τῶν ἀνθρώπων, ἐν τοῖς διαλογισμοῖς ἡμῶν σκοποῦντες τὸ θεαθῆναι[3]) τοῖς ἀνθρώποις φιλάνθρωποι, καὶ ἐπὶ φιλανθρωπίᾳ δοξασθῆναι, ἀπέχομεν τὸν ἀπὸ τῶν ἀνθρώπων μισθόν· καὶ ἁπαξαπλῶς πᾶν τὸ γινόμενον μετὰ τοῦ ἐν τῷ πράττοντι συνειδότος ἐπὶ τῷ δοξασθῆναι ὑπὸ τῶν ἀνθρώπων, οὐκ ἔχει τέλος ἀπὸ τοῦ βλέποντος ἐν τῷ κρυπτῷ, καὶ ἀποδιδόντος τὸν μισθὸν τοῖς ἐν τῷ κρυπτῷ καθαροῖς. Οὕτως οὖν καὶ ἡ δοκοῦσα ἁγνεία,

---

[1]) H. et R. in textu: *τηρητέον τὴν ἑαυτοῦ καρδίαν*, H. tamen ad marginem: „Cod. Reg. *τηρητ. ἑκάστῳ τὴν ἑαυτοῦ κ. τ. λ.*,“ R. in notis: „„„Codd. Vatic. et Tarinianus: *τηρητέον πάντα πιστὸν τὴν ἑαυτοῦ κ. τ. λ.*, Reg. etc.“ “

[2]) I Cor. IV, 5. — Rom. II, 15.

[3]) Matth. VI, 1. 2. H. et R. *θεασθῆναι*.

ἐὰν διαλογισμοὺς ἔχῃ τοὺς ἐπὶ κενοδοξίᾳ, ἢ φιλοκερδίᾳ, καὶ ἡ νομιζομένη ἐκκλησιαστικὴ διδασκαλία, ἐὰν ἐν λόγῳ κολακείας ἀνελευθερία γίνηται, ἢ προφάσει πλεονεξίας, ἢ ζητοῦντός τινος τὴν ἀπὸ ἀνθρώπων ἐπὶ διδασκαλίᾳ δόξαν, οὐκ ἔστι λελογισμένη ἀπὸ τῶν τεθέντων[1]) ἀπὸ τοῦ θεοῦ ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλων, δεύτερον προφητῶν, καὶ τρίτον διδασκάλων. Τὸ δ' ὅμοιον ἐρεῖς καὶ ἐπὶ τοῦ ὀρεγομένου ἐπισκοπῆς[2]) διὰ την παρὰ ἀνθρώποις δόξαν, ἢ τὴν ἀπὸ ἀνθρώπων κολακείαν, ἢ τὸν ἀπὸ τῶν προσιόντων τῷ λόγῳ πορισμὸν, διδόντων προφάσει εὐσεβείας· ὁ γοῦν τοιοῦτος ἐπίσκοπος οὐ καλοῦ ἔργου[3]) ἐπιθυμεῖ, οὐδὲ δύναται εἶναι ἀνεπίληπτος, οὐδὲ νηφάλιος, οὐδὲ σώφρων, μεθύων ὑπὸ δόξης, καὶ ἀκολάστως αὐτῆς ἐμφορούμενος. Τὸ δὲ αὐτὸ καὶ περὶ πρεσβυτέρων καὶ διακόνων ἐρεῖς. Ταῦτα δὲ εἰ καὶ δόξωμέν[4]) τισιν ἐν παρεκβάσει εἰρηκέναι, ὅρα εἰ μὴ ἀναγκαίως λέλεκται, διὰ τὸ πηγὴν εἶναι πάντων τῶν ἁμαρτημάτων τοὺς πονηροὺς διαλογισμοὺς, δυναμένους μολύναι καὶ τὰ, εἰ χωρὶς αὐτῶν πράττοιτο, δικαιώσαντα ἂν τὸν ποιήσαντα. Τίνα μὲν οὖν τὰ κοινοῦντα, κατὰ δύναμιν ἡμῖν ἐξήτασται. Τὸ δὲ ἀνίπτοις χερσὶ φαγεῖν, οὐ κοινοῖ τὸν ἄνθρωπον· ἀλλ' εἰ δεῖ τολμήσαντα εἰπεῖν, κοινοῖ τὸ ἀνίπτῳ καρδίᾳ ὁτιποτοῦν φαγεῖν, ὃ πέφυκε τὸ ἡγεμονικὸν ἡμῶν ἐσθίειν.

Περὶ τῆς Χαναναίας.

16. „Καὶ[5]) ἐξελθὼν ἐκεῖθεν ὁ Ἰησοῦς ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. Καὶ ἰδοὺ γυνὴ Χα-

---

1) I Cor. XII, 28.
2) Ed. H. min. accur.: ἐπίσκοπος. Cfr. I Tim. III, 1.
3) I Tim. III, 1. 2.
4) Ed. H. δόξωμέν τισιν, ed. R. δόξομέν τισιν.
5) Matth. XV, 21. 22.

ναναία.“ Πόθεν „ἐκεῖθεν;“ ἢ ἀπὸ γῆς Γενησαρὲτ,[1]) περὶ[2]) ἧς προείρητο· „καὶ[3]) διαπεράσαντες ἦλθον εἰς τὴν γῆν Γενησαρέτ;“ „Ἀνεχώρησε“ δὲ, τάχα διὰ τὸ σκανδαλίζεσθαι τοὺς Φαρισαίους, ἀκούσαντας ὅτι οὐ τὸ[4]) εἰσερχόμενον, ἀλλὰ τὸ ἐκπορευόμενον κοινοῖ τὸν ἄνθρωπον· ὅτι δὲ διὰ τοὺς ὑπονοουμένους ἐπιβουλεύειν εἶπε τὸ „ἀνεχώρησε,“ δῆλον ἐκ τοῦ· „ἀκούσας[5]) δὲ, ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν.“ Τάχα διὰ τοῦτο καὶ ὁ Μάρκος ἀναγράφων τὰ κατὰ τὸν τόπον φησὶν, ὅτι „ἀναστὰς ἦλθεν[6]) εἰς τὰ ὅρια Τύρου, καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν οὐδένα ἠθέλησε γνῶναι.“ Εἰκὸς ὅτι τοὺς σκανδαλισθέντας ἐπὶ τῇ διδασκαλίᾳ αὐτοῦ Φαρισαίους περιίστατο, περιμένων τὸν ἐπιτηδειότερον εἰς τὸ παθεῖν καὶ καλῶς ὡρισμένον καιρόν. Εἴποι δ' ἄν τις, ὅτι Τύρος καὶ Σιδὼν ἀντὶ τῶν ἐθνῶν λέλεκται· ἀναχωρήσας οὖν ἀπὸ τοῦ Ἰσραὴλ, εἰς τὰ μέρη τῶν ἐθνῶν παραγίνεται. Τύρος μὲν οὖν παρ' Ἑβραίοις ὀνομαζομένη μεταλαμβάνεται Σὸρ,[7]) ἥτις ἑρμηνεύεται „συνοχή·“ Σιδὼν δὲ, οὕτως καὶ παρ' Ἑβραίοις ὀνομαζομένη, μεταλαμβάνεται εἰς τό· „θηρῶντες.“ Ἐν

---

[1]) H. et R. h. l. constanter in textu (cfr. pag. huj. not. 2.) Γενησαρέτ. Vide pag. 80. not. 4.

[2]) H. in notis: „Sic Cod. Holmiensis. Haec autem Cod. Reg. praetermittit: περὶ ἧς προείρητο· καὶ διαπεράσαντες ἦλθον εἰς τὴν γῆν“ (non, ut in textu, Γενησαρέτ, sed) „Γεννησαρέτ.“

[3]) Matth. XIV, 34. coll. pag. 80. not. 4.

[4]) Ibid. XV, 11.

[5]) Ibid. IV, 12. Ed. Knapp. ἀκούσ. δὲ (ὁ Ἰησοῦς) ὅτι κ. τ. λ., ed. Lachm. ἀκούσ. δὲ ὁ Ἰησοῦς ὅτι κ. τ. λ.

[6]) Marc. VII, 24. coll. edd. N. T.

[7]) Σὸρ, ἥτις — μεταλαμβάνεται. Haec omissa erant in nostro Cod., et in interpretatione Erasmi: causam praebuerat ejusdem vocis iteratio, ut alias saepe fit. Ea nos e Cod. Reg. supplevimus. Huet.

δὲ τοῖς ἔθνεσι καὶ οἱ θηρῶντές εἰσιν αἱ πονηραὶ δυνάμεις, καὶ πολλὴ συνοχὴ παρ' αὐτοῖς, ἡ ἐν τῇ κακίᾳ καὶ τοῖς πάθεσι. Ἐξελθὼν οὖν ἀπὸ τῆς Γεννησαρὲτ ὁ Ἰησοῦς, ἀνεχώρησε μὲν ἀπὸ τοῦ Ἰσραὴλ, ἦλθε δὲ οὐκ εἰς Τύρον καὶ Σιδῶνα, ἀλλ' εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος, τῷ ἐκ μέρους νῦν πιστεύειν τοὺς ἀπὸ τῶν ἐθνῶν· ὡς εἰ εἰς πᾶσαν Τύρον καὶ Σιδῶνα ἐπεδήμησεν, οὐδεὶς ἄπιστος ἐν αὐτῇ κατελείφθη. Κατὰ δὲ τὸν Μάρκον· „ἀναστὰς[1]) *ὁ Ἰησοῦς ἦλθεν εἰς τὰ ὅρια Τύρου," τῆς συνοχῆς τῶν ἐθνῶν, ἵνα καὶ ἀπὸ τῶν ὁρίων ἐκείνων οἱ πιστεύοντες σωθῆναι δυνηθῶσιν, ἐπὰν ἐξέλθωσιν αὐτά· πρόσχες γὰρ τῷ· „καὶ*[2]) *ἰδοὺ, γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα ἔκραξε λέγουσα· ἐλέησόν με, κύριε,*[3]) *υἱὲ Δαβίδ· ἡ θυγάτηρ μου δεινῶς δαιμονίζεται." Καὶ οἶμαι, ὅτι οὐκ ἂν μὴ ἐξελθοῦσα ἀπὸ τῶν ὁρίων ἐκείνων κράζειν πρὸς Ἰησοῦν ἐδύνατο, ἀπὸ μεγάλης, ὡς ἐμαρτυρήθη, πίστεως· καὶ κατὰ τὴν ἀναλογίαν γε τῆς πίστεως ἐξέρχεταί τις ἀπὸ τῶν ἐν τοῖς ἔθνεσιν ὁρίων, ἃ „ὅτε*[4]) *διεμέριζεν ἔθνη ὁ ὕψιστος, ἔστησε κατὰ ἀριθμὸν υἱῶν Ἰσραὴλ," καὶ τὴν ἐπὶ πλεῖον φορὰν αὐτῶν ἐκώλυσεν. Ἐνταῦθα μὲν οὖν ὅρια εἴρηταί τινα Τύρου καὶ Σιδῶνος· ἐν δὲ τῇ Ἐξόδῳ*[5]) *ὅρια τοῦ Φαραὼ, ἐν οἷς, φασὶ, γίνονται αἱ κατὰ τῶν Αἰγυπτίων μάστιγες. Καὶ νομιστέον γε, ἕκαστον ἡμῶν ἁμαρτάνοντα μὲν, ἐν τοῖς ὁρίοις εἶναι Τύρου, ἢ Σιδῶνος, ἢ Φαραὼ καὶ τῆς*

---

[1]) Marc. VII, 24. coll. pag. 110. not. 6.

[2]) Matth. XV, 22. Ed. Knapp. *ἐκραύγασεν αὐτῷ, λέγουσα· ἐλέησόν με, κύριε, υἱὲ Δαυΐδ! ἡ θυγ. μου κακῶς δαιμον.*, ed. Lachm. *ἔκραζεν λέγουσα(·) Ἐλέησόν με, κύριε υἱὸς Δαυείδ· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται.*

[3]) Deest h. l., cfr. pag. 112. not. 1. et 5., *κύριε.*

[4]) Deut. XXXII, 8. coll. LXX. virorum versione.

[5]) Exod. VIII, 2. seqq.

Αἰγύπτου, ἤ τινος τῶν ἔξω τῆς τοῦ θεοῦ κληροδοσίας· μεταβάλλοντα δὲ ἀπὸ τῆς κακίας εἰς ἀρετὴν, ἐξέρχεσθαι μὲν ἀπὸ τῶν κατὰ τὰ φαῦλα ὁρίων, φθάνειν δὲ ἐπὶ τὰ ὅρια τῆς μερίδος τοῦ θεοῦ, καὶ ἐν τούτοις οὔσης διαφορᾶς, ἥτις φανεῖται τοῖς τὰ τοῦ μερισμοῦ καὶ τῆς κληροδοσίας τοῦ Ἰσραὴλ δυναμένοις ἀνάλογον τῷ πνευματικῷ συνιστάναι νόμῳ. Πρόσχες δὲ καὶ τῇ οἱονεὶ ἀπαντήσει γενομένῃ τοῦ Ἰησοῦ πρὸς τὴν Χαναναίαν γυναῖκα· ὁ μὲν γὰρ ἔρχεται ὡς ἐπὶ τὰ μέρη Τύρου καὶ Σιδῶνος, ἡ δὲ ἐξελθοῦσα τῶν ὁρίων ἐκείνων κέκραγε, λέγουσα· ,,ἐλέησόν[1]) με, κύριε, υἱὲ Δαβίδ.“ Χαναναία δὲ ἦν ἡ γυνὴ, ὅπερ μεταλαμβάνεται εἰς τό· ,,ἡτοιμασμένη ταπεινώσει.“ Οἱ μὲν δίκαιοι ἡτοιμασμένοι[2]) εἰσὶν τῇ βασιλείᾳ τῶν οὐρανῶν, καὶ τῇ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ ὑψώσει· οἱ δὲ ἁμαρτωλοὶ, ἡτοιμασμένοι ταπεινώσει τῆς ἐν αὐτοῖς κακίας, καὶ τῶν κατ᾽ αὐτὴν πράξεων, ἑτοιμαζουσῶν[3]) αὐτοὺς αὐτῇ, καὶ τῆς βασιλευούσης ἐν τῷ θνητῷ αὐτῶν σώματι ἁμαρτίας. Πλὴν ἡ Χαναναία ἐξελθοῦσα ἀπὸ τῶν ὁρίων ἐκείνων, ἐξῄει ἀπὸ τοῦ ἡτοιμᾶσθαι[4]) τῇ ταπεινώσει, κεκραγυῖα καὶ λέγουσα· ,,ἐλέησόν[5]) με, κύριε, υἱὲ Δαβίδ.“

---

1) Matth. XV, 22. Legitur h. l., cfr. p. 111. not. 3., *κύριε.*

2) H. et R. in textu: *ἡτοιμασμένοι εἰσὶν ἐν βασ. κ. τ. λ.*, H. tamen (quae R. quoque affert) haec habet in notis: ,,alludit ad Matth. XXV, 34. Legendum videtur: *ἡτοιμ. εἰσὶ βασιλείᾳ κ. τ. λ.*, ut *ἡτοιμασμένοι ταπεινώσει, ὑψώσει.*“ — Equidem *τῇ* pro *ἐν* in textum recepi.

3) H. et R. in textu: *ἑτοιμαζόντων*, H. tamen ad marg. rectissime: ,,scribas *ἑτοιμαζουσῶν.*“ Idem in notis: ,,Scriptum erat in Codd. Holm. et Reg. *ἑτοιμαζόντων.* Sed quis non videt, corrigendum esse: *ἑτοιμαζουσῶν?*“ — Rom. VI, 12.

4) R. in notis: ,,sic Cod. Reg. (H. ad marg.), alii vero (item ed. H. in textu) *ἡτοιμασθῆναι.*“

5) Matth. XV, 22. Cfr. pag. huj. not. 1.

17. *Συνάγαγε δὲ ἀπὸ τῶν εὐαγγελίων, τίνες μὲν αὐτὸν καλοῦσιν υἱὸν Δαβὶδ, ὡς αὐτὴ, καὶ οἱ ἐν*[1]) *Ἱεριχοῖ τυφλοί· τίνες δὲ υἱὸν θεοῦ, καὶ ἤτοι χωρὶς τῆς „ἀληθῶς" προσθήκης, ὡς οἱ δαιμονιζόμενοι λέγοντες· „τί ἡμῖν*[2]) *καὶ σοὶ, υἱὲ τοῦ θεοῦ·" τίνες δὲ μετὰ τῆς „ἀληθῶς" προσθήκης, ὡς οἱ ἐν τῷ πλοίῳ προσκυνοῦντες· „ἀληθῶς*[3]) *θεοῦ υἱὸς εἶ·" λέγοντες αὐτῷ. Καὶ γὰρ χρήσιμος, οἶμαι, ἔσται σοι ἡ τούτων συναγωγὴ πρὸς τὸ ἰδεῖν τὴν διαφορὰν τῶν προσιόντων· τινὲς*[4]) *μὲν οἱονεὶ τῷ γενομένῳ ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα προσίασι· τινὲς δὲ τῷ ὁρισθέντι υἱῷ θεοῦ ἐν δυνάμει, κατὰ πνεῦμα ἁγιωσύνης. Καὶ τούτων τινὲς μὲν μετὰ τοῦ „ἀληθῶς·" τινὲς δὲ χωρὶς τούτου. Εἶτα πρόσχες, ὅτι ἡ Χαναναία μὲν, οὐ περὶ υἱοῦ, ὃν οὐδὲ τὴν ἀρχὴν γεγεννηκέναι φαίνεται, ἀλλὰ περὶ θυγατρὸς παρεκάλει, δεινῶς δαιμονιζομένης· ἄλλη δὲ μήτηρ*[5]) *υἱὸν, ἐκκομιζόμενον νεκρὸν, ἀπολαμβάνει ζῶντα. Καὶ πάλιν ὁ μὲν ἀρχισυνάγωγος*[6]) *περὶ δωδεκαέτους θυγατρὸς ἀξιοῖ, ὡς ἀποτεθνηκυίας· ὁ δὲ βασιλικὸς*[7]) *περὶ υἱοῦ, ὡς ἔτι νοσοῦντος καὶ ἀποθνήσκειν μέλλοντος. Δαιμονῶσα τοίνυν θυγάτηρ, καὶ υἱὸς νεκρὸς, δύο ἦσαν μητέρων· καὶ τεθνηκυῖα θυγάτηρ, καὶ υἱὸς πρὸς θά-*

---

1) Deest *ἐν* in ed. R. — Matth. XX, 30. coll. IX, 27.

2) Matth. VIII, 29. — Ed. Knapp. *τί — σοὶ, (Ἰησοῦ,) υἱὲ κ. τ. λ.*

3) Ibid. XIV, 33.

4) H. et R. h. l. minus accurate *τίνες μέν.* — Rom. I, 4.

5) Luc. VII, 12. 15.

6) Matth. IX, 18. coll. Marc. V, 22. 23. et Luc. VIII, 41. 42.

7) Ev. Joann. IV, 46.

νατον ἀσθενῶν, τῶν δύο πατέρων, ὧν ὁ μὲν ἀρχισυνάγωγος, ὁ δὲ βασιλικὸς ἦν. Ἔχειν δὲ ταῦτα πείθομαι λόγους περὶ γενῶν ἐν ψυχαῖς διαφόρων, ἅστινας ὁ Ἰησοῦς ζωοποιῶν ἰᾶται. Καὶ πάντα δὲ ὅσα θεραπεύει ἐν τῷ λαῷ, μάλιστα ὑπὸ τῶν εὐαγγελιστῶν ἀναγεγραμμένα, γέγονε μὲν τότε, ἵνα οἱ μὴ ἄλλως πιστεύοντες, ἐὰν μὴ[1]) ἴδωσι σημεῖα καὶ τέρατα, πιστεύσωσι· σύμβολα γὰρ ἦν „τά ποτε" τῶν ἀεὶ ὑπὸ τῆς δυνάμεως Ἰησοῦ ἐπιτελουμένων. Οὐκ ἔστι γὰρ ὅτε ἕκαστον τῶν γεγραμμένων ὑπὸ τῆς δυνάμεως Ἰησοῦ κατὰ τὴν ἑκάστου ἀξίαν οὐ γίνεται. Γένους μὲν οὖν χάριν ἡ Χαναναία οὐδὲ ἀποκρίσεως ἀξία ἦν τῆς ἀπὸ Ἰησοῦ τυχεῖν, ὁμολογοῦντος οὐκ ἐπ' ἄλλο τι ἀπεστάλθαι παρὰ τοῦ πατρὸς, ἢ πρὸς τὰ πρόβατα[2]) τὰ ἀπολωλότα οἴκου Ἰσραὴλ, γένος ψυχῶν διορατικῶν ἀπολωλός· προαιρέσεως δὲ ἕνεκα, καὶ τοῦ προσκεκυνηκέναι Ἰησοῦ υἱῷ τοῦ θεοῦ, ἀποκρίσεως τύγχανει, ἐλεγχούσης αὐτῆς τὴν δυσγένειαν, καὶ τὴν ἀξίαν αὐτῆς παριστάσης, ὅτι ψιχίων, ὡς κυνίδιον, καὶ οὐκ ἄρτων ἦν ἀξία. Ὡς δὲ ἐπιτείνασα τὴν προαίρεσιν, καὶ παραδεξαμένη τὸν Ἰησοῦ λόγον, ἐπιδικάζεται κἂν ὡς κυνίδιον τυχεῖν ψιχίων, καὶ ὁμολογεῖ κυρίους τοὺς εὐγενεστέρους, τότε τυγχάνει ἀποκρίσεως δευτέρας, μαρτυρούσης αὐτῆς τῇ πίστει, ὡς μεγάλῃ, καὶ ἐπαγγελλομένης ἔσεσθαι αὐτῇ ὃ βούλεται. Ἀνάλογον δ', οἶμαι, τῇ ἄνω Ἱερουσαλὴμ, ἐλευθέρᾳ, μητρὶ[3]) Παύλου, καὶ τῶν παραπλησίων αὐτῷ, δεήσει νοῆσαι τὴν Χαναναίαν, μητέρα τῆς δεινῶς δαιμονιζομένης, σύμβολον τυγχάνουσαν μητρὸς τοιᾶσδε ψυχῆς. Καὶ ἐπίστησον, εἰ μὴ εὔλογόν ἐστιν εἶναι καὶ

---

[1]) Ev. Joann. IV, 48.

[2]) Matth. X, 6. XV, 24.

[3]) Gal. IV, 26. H. et R. h. l. constanter: μῆτρι, μήτερα, μῆτρος et μήτερας.

πολλοὺς πατέρας, καὶ πολλὰς μητέρας, ἀνάλογον τοῖς πατράσιν Ἀβραὰμ, πρὸς οὓς ἀπῄει [1]) ὁ πατριάρχης, καὶ τῇ Ἱερουσαλὴμ, μητρὶ, ὡς Παῦλός φησι περὶ ἑαυτοῦ καὶ τῶν ὁμοίων αὐτῷ. Εἰκὸς δὲ ἐξεληλυθυῖαν ταύτην, ἧς σύμβολον ἡ Χαναναία, ἀπὸ τῶν ὁρίων Τύρου καὶ Σιδῶνος, ὧν τύποι ἦσαν οἱ ἐπὶ γῆς τόποι, προσεληλυθυῖαν τῷ Σωτῆρι ἠξιωκέναι αὐτὸν, καὶ ἔτι νῦν ἀξιοῦν, λέγουσαν· „ἐλέησόν [2]) με, κύριε, υἱὲ Δαβίδ· ἡ θυγάτηρ μου δεινῶς δαιμονίζεται.“ Εἶτα καὶ τοῖς ἔξωθεν, καὶ τοῖς μαθηταῖς, ὅτε δεῖ, ἀποκρινόμενος εἶπε τό· „οὐκ [3]) ἀπεστάλην·“ διδάσκων ὅτι εἰσί τινες προηγούμεναι ψυχαὶ νοεραὶ, καὶ διορατικαὶ ἀπολωλυῖαι, τροπικῶς λεγόμεναι „πρόβατα οἴκου Ἰσραὴλ,“ ἅπερ, οἶμαι, οἱ ἁπλούστεροι ἐπὶ τοῦ κατὰ σάρκα Ἰσραὴλ νομίζοντες λελέχθαι, ἀναγκαίως προσήσονται, ὅτι ὁ Σωτὴρ ἡμῶν ἀπεστάλη ὑπὸ τοῦ πατρὸς οὐχὶ πρὸς ἄλλους ἢ τοὺς Ἰουδαίους ἐκείνους ἀπολωλότας. Ἡμεῖς δὲ οἱ εὐχόμενοι ἐξ ἀληθείας λέγειν, εἰ καὶ Χριστόν ποτε κατὰ [4]) σάρκα ἐγνώκαμεν, ἀλλὰ νῦν οὐκέτι γινώσκοντες, ἴσμεν τοῦ Λόγου προηγούμενον εἶναι ἔργον, σώζειν τοὺς συνετωτέρους· οἰκειότεροι γὰρ οὗτοι παρὰ τοὺς ἀμβλυτέρους αὐτῷ τυγχάνουσιν. Ἀλλὰ ἐπεὶ „τὰ ἀπολωλότα [5]) πρόβατα οἴκου Ἰσραὴλ,“ παρὰ τὸ κατ' ἐκλογὴν [6]) χάριτος λεῖμμα, ἠπείθησαν τῷ λόγῳ, διὰ τοῦτο ἐξελέξατο τὰ μωρὰ [7]) τοῦ κόσμου, τὸν [8]) μὴ Ἰσραὴλ, μηδὲ διορατι-

[1]) Gen. XV, 15.

[2]) Matth. XV, 22. coll. pag. 111. not. 2. et 3. et pag. 112. not. 1.

[3]) Matth. XV, 24.

[4]) II Cor. V, 16.

[5]) Matth. X, 6. et XV, 24.

[6]) Rom. XI, 5.

[7]) I Cor. I, 27.

[8]) R. in notis: „ita recte habent Codd. Vatican.,

κὸν, ἵνα καταισχύνῃ τοὺς σοφοὺς τοῦ Ἰσραήλ· καὶ ἐκάλεσε τὰ [1]) μὴ ὄντα, συνετὸν ἔθνος παραδοὺς αὐτοῖς οἳ ἠδύναντο χωρῆσαι τὴν μωρίαν [2]) τοῦ κηρύγματος, καὶ εὐδοκήσας σῶσαι τοὺς εἰς τοῦτο πιστεύοντας, ἵνα διελέγξῃ τὰ ὄντα, [3]) ἐκ τοῦ στόματος νηπίων καὶ θηλαζόντων καταρτισάμενος αὐτῷ αἶνον, ἐπεὶ γέγονεν ἐχθρὰ τῇ ἀληθείᾳ. Ἐλθοῦσα δὲ ἡ Χαναναία, προσεκύνει ὡς θεῷ τῷ Ἰησοῦ, λέγουσα· „κύριε, [4]) βοήθησόν μοι. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· οὐκ ἔξεστι λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις.“ Ζητήσαι δ' ἄν τις τὸ βούλημα καὶ ταύτης τῆς λέξεως, ἐπεὶ μέτρου μὲν παρόντος ἄρτων, ὡς μὴ δύνασθαι καὶ τὰ τέκνα ἐσθίειν ἄρτους, καὶ κυνίδια τῆς οἰκίας, ἢ κ' ἄλλους [5]) ἄρτων

Anglicanus et Tarinianus, nec aliter legerat Erasmus, qui vertit: *videlicet eum, qui non erat Israel, neque perspicax.* Male Cod. Holm. (item H. in textu) τὸν δὲ Ἰσραὴλ κ. τ. λ. Male item Cod. Reg. (cujus lectionem H. quoque ad marg. affert): τὸν μὲν Ἰσραὴλ κ. τ. λ.“

[1]) I Cor. I, 28.

[2]) I Cor. I, 21.

[3]) I Cor. I, 28. Psalm. VIII, 2. (3.)

[4]) Matth. XV, 25. Edd. N. T. βοήθει μοι. Vers. 26. ed. Knapp. οὐκ ἔστι καλὸν λαβεῖν κ. τ. λ.

[5]) H. et R. (duce H.) in notis: „sic habebant Codd. Holm. et Reg. Correxerat autem aliquis ad oram libri Holmiensis: ἄρτον εὖ εἰργασμένον, quam lectionem secutus est (?) Erasmus: sic enim reddit: *quoniam cum adesset ea mensura panum, ut non possent simul et filii comedere panes, et catelli familiae, aut alii* (ἄλλοι igitur legit,) *praeterea panem bene confectum*: indigesto et perturbato sensu; id enim plane sibi vult Origenes: cum ea esset panum mensura, ut non possent filii

εὖ εἰργασμένων, οὐχ οἷόν τε, κατὰ τὸ εὔλογον, κυνιδίοις δίδοσθαι τροφὴν[1]) τὸν καλῶς εἰργασμένον τῶν τέκνων ἄρτον. Οὐδὲν δὲ τοιοῦτον φαίνεται ἐπὶ τῆς Ἰησοῦ δυνάμεως, ἀφ' ἧς δυνατὸν ἦν καὶ τὰ τέκνα μεταλαμβάνειν, καὶ τὰ λεγόμενα κυνίδια. Ὅρα οὖν, μή πως πρὸς τό· „οὐκ ἔξεστι[2]) λαβεῖν τὸν ἄρτον τῶν τέκνων," λεκτέον ὅτι ὁ κενώσας ἑαυτὸν τῷ μορφὴν δούλου ἀνειληφέναι, μέτρον δυνάμεως, καθ' ὃ ἐχώρει τὰ ἐν κόσμῳ πράγματα, ἐκόμισεν, ἀφ' ἧς δυνάμεως καὶ ᾐσθάνετό τινα ἐξέρχεσθαι ποσότητα ἀπ' αὐτοῦ, ὡς δῆλον ἐκ τοῦ· „ἥψατό[3]) μού τις· ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξεληλυθυῖαν ἀπ' ἐμοῦ." Ἀπὸ τούτου οὖν τοῦ μέτρου τῆς δυνάμεως ἐταμιεύετο, τοῖς μὲν προηγουμένοις πλείονα ἐπιδιδοὺς καὶ καλουμένοις υἱοῖς· τοῖς δὲ μὴ τοιούτοις ἐλάττονα, ὡς τοῖς κυνιδίοις. Ἀλλ' εἰ καὶ ταῦτα οὕτως ἐγίνετο, οὐδὲν ἧττον ὅπου μεγάλη πίστις, ἔδωκε τὸν ἄρτον τῶν τέκνων, ὡς τέκνῳ, τῇ διὰ τὴν ἐν Χαναναίᾳ δυσγένειαν κυνιδίῳ τυγχανούσῃ. Τάχα δὲ καὶ τῶν λόγων Ἰησοῦ εἰσί τινες ἄρτοι, οὓς τοῖς λογικωτέροις ὡς τέκνοις ἔξεστι διδόναι μόνοις· καὶ ἄλλοι λόγοι, οἱονεὶ ψιχία ἀπὸ τῆς μεγάλης ἑστίας καὶ τραπέζης τῶν εὐγενεστέρων καὶ κυρίων, οἷς χρήσαιντ' ἄν τινες ψυχαὶ ὡς κύνες. Καὶ κατὰ τὸν Μωσέως νόμον περί τινων γέγραπται, τῷ[4]) κυνὶ ἀποῤῥίψαι αὐτά· καὶ ἐμέλησε τῷ ἁγίῳ πνεύματι, ἐντείλασθαι περί τινων βρωμάτων, ἵνα κυσὶ παραληφθῇ. Ἄλλοι μὲν οὖν ὑπολαμβανέτωσαν,

---

simul et canes domus panem comedere, nisi forte alium a pane elaborato panem canes comederent."

1) Deest τροφήν in Codd. Vatic. et Tariniano. R.

2) Matth. XV, 26. — Philipp. II, 7.

3) Luc. VIII, 46. Edd. N. T. ἐξελθοῦσαν.

4) Exod. XXII, 31.

ξένοι τοῦ ἐκκλησιαστικοῦ λόγου, μεταβαίνειν τὰς ψυχὰς ἀπὸ σωμάτων ἀνθρώπων ἐπὶ σώματα κύνεια, κατὰ τὴν διάφορον κακίαν· ἡμεῖς δὲ, μηδαμῶς τοῦτο εὑρίσκοντες ἐν τῇ θείᾳ γραφῇ, φαμὲν, ὅτι κατάστασις λογικωτέρα μεταβάλλει εἰς ἀλογωτέραν, ἐκ πολλῆς ῥαθυμίας καὶ ἀμελείας τὸ τοιοῦτον πάσχουσα. Ὁμοίως δὲ καὶ ἀλογωτέρα προαίρεσις, παρὰ τὸ τοῦ λόγου ἠμεληκέναι,[1] *ἐπιστρέφει ποτὲ εἰς τὸ λογικὴ εἶναι, ὡς τό ποτε κυνίδιον, τὸ ἀγαπῶν ἐσθίειν ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτοῦ, ἥκειν εἰς κατάστασιν τέκνου. Μέγα γὰρ συμβάλλεται ἀρετὴ μὲν πρὸς τὸ ποιῆσαι τέκνον θεοῦ, κακία δὲ καὶ τὸ λυσσῶδες*[2] *ἐν λόγοις ὑβριστικοῖς, καὶ τὸ ἀναιδὲς, πρὸς τὸ ποιῆσαί τινα χρηματίσαι, κατὰ τὸν τῆς γραφῆς*[3] *λόγον, κύνα. Τὸ δὲ ὅμοιον νοήσεις καὶ ἐπὶ τῶν λοιπῶν ὀνομάτων, τῶν κατὰ τὰ ἄλογα ζῶα. Πλὴν ὁ ἐλεγχθεὶς ὡς κύων,*[4] *καὶ μὴ ἀγανακτήσας ἐπὶ τῷ ἀνάξιος εἶναι λέγεσθαι ἄρτου τέκνων, καὶ μετὰ πάσης ἀνεξικακίας εἰπὼν*[5] *τὸν τῆς Χαναναίας ἐκείνης λόγον, τὸν φήσαντα· „ναὶ,*[6] *κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν·“ τεύξεται τῆς προσηνεστάτης ἀποκρίσεως Ἰησοῦ,*

---

[1]) H. ad marg.: „scrib. *μὴ ἠμεληκέναι,*“ in notis: „sententia postulat (?), ut *τῷ ἠμεληκέναι* negandi particula praefigatur.“

[2]) Erasmus reddit: multaque graveolentia; legebat nempe: *καὶ τὸ δυσῶδες.* H.

[3]) II Sam. XVI, 9. (II Reg.). Psalm. XXII, 16. (XXI.).

[4]) H. et R. *κυών.*

[5]) Ed. H. minus recte: *εἰπόν.*

[6]) Matth. XV, 27. Ed. Knapp. (item ed. Huet.) *αὐτῶν.*

λέγοντος αὐτῷ· „μεγάλη[1]) σου ἡ πίστις·“ ἐπὰν τηλικαύτην ἀναλάβῃ πίστιν, καὶ λέγοντος· „γενέσθω σοι ὡς θέλεις·“ ἵνα καὶ αὐτὸς ἰαθῇ, καὶ εἴ τινα καρπὸν ἐγέννησε δεόμενον ἰάσεως, καὶ οὗτος θεραπευθῇ.

Περὶ τῶν θεραπευθέντων ὄχλων.

18. „Καὶ[2]) μεταβὰς ἐκεῖθεν ὁ Ἰησοῦς,“ — δῆλον δὲ ἐκ τῶν προειρημένων, ὅτι ἀπὸ τῶν μερῶν Τύρου καὶ Σιδῶνος, — „ἦλθε παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας,“ ἥτις ἐστὶν ἡ συνήθως ὀνομαζομένη Γενησαρέτ τις λίμνη· καὶ πάλιν ἀνέβη εἰς τὸ ὄρος, ἔνθα ἀναβὰς ἐκαθέζετο. Ἔστιν οὖν εἰπεῖν, ὅτι εἰς τὸ ὄρος τοῦτο, ὅπου καθέζεται ὁ Ἰησοῦς, οὐχ ὑγιαίνοντες ἀναβαίνουσι μόνον, ἀλλὰ μετὰ τῶν ὑγιαινόντων καὶ οἱ διάφορα πάθη πεπονθότες. Καὶ τάχα τοῦτο τὸ ὄρος, ἔνθα ἀναβὰς καθέζετο ὁ Ἰησοῦς, ἡ κοινοτέρως ἐστὶν ὀνομαζομένη ἐκκλησία, ἀνεστηκυῖα διὰ τὸν λόγον τοῦ θεοῦ παρὰ τὴν λοιπὴν γῆν καὶ τοὺς ἐπ᾽ αὐτῆς, ὅπου προσέρχονται οὐχ οἱ μαθηταὶ, καταλιπόντες τοὺς ὄχλους, ὡς ἐπὶ τῶν μακαρισμῶν, ἀλλὰ πολλοὶ ὄχλοι, οἵτινες αὐτοὶ μὲν οὐ κατηγοροῦντο ὡς κωφοὶ, ἤ τι πεπονθότες, ἔχουσι δὲ μεθ᾽ ἑαυτῶν τοὺς τοιούτους. Καὶ γάρ ἔστιν ἰδεῖν, μετὰ τῶν προσερχομένων ὄχλων εἰς τοῦτο τὸ ὄρος, ἔνθα ὁ υἱὸς καθέζεται τοῦ θεοῦ, τινὰς μὲν κεκωφωμένους πρὸς τὰ ἐπαγγελλόμενα, ἄλλους δὲ τυφλοὺς τὴν ψυχὴν, καὶ μὴ βλέποντας τὸ ἀληθινὸν φῶς, καὶ ἄλλους χωλοὺς καὶ μὴ δυναμένους πορεύεσθαι[3]) κατὰ λόγον, καὶ ἄλλους κυλ-

[1]) Ibid. XV, 28. Edd. N. T. γενηθήτω pro γενέσθω. Cfr. pag. 126. not. 1.

[2]) Matth. XV, 29.

[3]) πορεύεσθαι —, καὶ ἄλλους — μὴ δυναμένους. Haec (quae tamen R. minus accurate indicavit) in Codd.

λοὺς καὶ μὴ δυναμένους κατὰ λόγον ἐργάζεσθαι. Οὗτοι τοίνυν οἱ ταῦτα κατὰ ψυχὴν πεπονθότες, οἱ μετὰ τῶν ὄχλων εἰς τὸ ὄρος ἀναβάντες, ἔνθα ἦν ὁ Ἰησοῦς, ὅσον μὲν ἔξω τῶν ποδῶν εἰσι τοῦ Ἰησοῦ, οὐ θεραπεύονται ὑπ' αὐτοῦ· ἐπὰν δὲ, ὡς τοιαῦτα πεπονθότες, ῥίφωσιν ὑπὸ τῶν ὄχλων παρὰ τοὺς πόδας αὐτοῦ, καὶ τὰ τελευταῖα τοῦ σώματος τοῦ Χριστοῦ, οὐδὲ τούτων ἄξιοι τὸ ὅσον ἐφ' ἑαυτοῖς τυγχάνοντες, τότε ὑπ' αὐτοῦ θεραπεύονται. Καὶ ἐπὰν ἴδῃς ἐν τῷ τῆς κοινότερον ἐκκλησίας λεγομένης ἀθροίσματι ἐῤῥιμμένους μετὰ τοὺς τελευταίους αὐτῆς, οἱονεὶ καὶ παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ σώματος, τῆς ἐκκλησίας, τοὺς κατηχουμένους, προςελθόντας μετὰ τῆς ἰδίας κωφότητος, καὶ τυφλότητος, χωλότητός τε, καὶ κυλλότητος, καὶ τῷ χρόνῳ θεραπευομένους κατὰ τὸν Λόγον, οὐκ ἂν ἁμάρτοις τοὺς τοιούτους λέγων, ἀναβάντας μετὰ τῶν ὄχλων τῆς ἐκκλησίας εἰς τὸ ὄρος, ὅπου ἦν ὁ Ἰησοῦς, ἐῤῥίφθαι παρὰ τοὺς πόδας αὐτοῦ, καὶ τεθεραπεῦσθαι αὐτοὺς, ὥστε τὸν ὄχλον τῆς ἐκκλησίας θαυμάζειν, βλέποντας[1]) ἀπὸ τηλικούτων κακῶν μεταβολὰς ἐπὶ τὸ βέλτιον γενομένας, ὥστ' ἂν εἰπεῖν· οἱ πρότερον κωφοὶ ὕστερον λαλοῦσι τὸν λόγον τοῦ θεοῦ, καὶ οἱ χωλοὶ περιπατοῦσι· πληρουμένης καὶ τῆς τοῦ[2]) Ἡσαΐου, οὐ μόνον ἐν σωματικοῖς, ἀλλὰ καὶ ἐν πνευματικοῖς προφητείας, λέγοντος· „τότε[3]) ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς, καὶ[4]) τρανὴ ἔσται γλῶσσα μογι-

---

suis non repererat Huet., sed hic supplentur e Codd. Vaticano, Anglicano et Tariniano. R.

[1]) H. et R. *βλέποντας*.

[2]) Deest *τοῦ* in ed. Huetiana.

[3]) Jes. XXXV, 6. LXX. interpret.: *τρανὴ δὲ ἔσται γλῶσσα μογιλάλων*. — H. et R. h. l. *μογιλάλου*. Sed cfr. pag. 121. lin. 7. et 8.

[4]) *καὶ τρανὴ — μογιλάλων*" *κἀκεῖ δὲ, εἰ — εἴ-*

λάλων·“ κἀκεῖ δὲ, εἰ μὴ ἀποκληρωτικῶς εἴρηται τό· „ὡς ἔλαφος αλεῖται ὁ χωλός·“ φήσομεν, μὴ μάτην ἐλάφῳ, καθαρῷ [1]) ζώῳ, καὶ πολεμίῳ τῶν ὄφεων, καὶ μηδὲν βλάπτεσθαι ὑπὸ ἰοῦ αὐτῶν δυναμένῳ, παραβεβλῆσθαι τοὺς πρότερον χωλοὺς, καὶ διὰ τὸν Ἰησοῦν ἁλλομένους ὡς ἔλαφον. Πληροῦται δὲ καὶ κατὰ τὸ βλέπεσθαι κωφοὺς λαλοῦντας ἡ λέγουσα προφητεία· „καὶ [2]) τρανὴ ἔσται γλῶσσα μογιλάλων·“ ἢ μᾶλλον ἡ φάσκουσα· „οἱ κωφοὶ [3]) ἀκούσατε·“ καὶ οἱ τυφλοὶ δὲ βλέπουσι κατὰ τὴν λέγουσαν προφητείαν ἑξῆς τό· „οἱ κωφοὶ ἀκούσατε, καὶ οἱ τυφλοὶ ἀναβλέψατε ἰδεῖν.“ Οἱ τυφλοὶ δὲ βλέπουσιν, ὅτε βλέποντες τὸν κόσμον, ἐκ μεγέθους τοῦ κάλλους τῶν κτισμάτων, ἀναλόγως αὐτοῖς τὸν γενεσιουργὸν θεωροῦσι, καὶ ὅτε τὰ ἀόρατα [4]) αὐτοῦ τοῦ θεοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορῶσι, τουτέστιν ἐπιμελῶς καὶ σαφῶς ὁρῶσι καὶ νοοῦσι. Ταῦτα δέ βλέποντες οἱ ὄχλοι ἐδόξαζον [5]) τὸν θεὸν Ἰσραὴλ, καὶ δοξάζουσι πειθόμενοι, ὅτι ὁ αὐτὸς θεὸς πατὴρ ἐστι τοῦ θεραπεύσαντος τοὺς προειρημένους, καὶ θεὸς τοῦ Ἰσραήλ· οὐ γὰρ Ἰουδαίων μόνον ὁ θεός ἐστιν, ἀλλὰ καὶ ἐθνῶν. Ἀναβιβάζωμεν οὖν μεθ᾽ ἑαυτῶν ἐπὶ τὸ ὄρος, ἔνθα καθέζεται ὁ Ἰησοῦς τὴν ἐκκλησίαν αὐτοῦ, τοὺς βουλομένους ἀναβαίνειν ἐπ᾽ αὐτὸ μεθ᾽ ἡμῶν κωφοὺς, τυφλοὺς,

---

ρηται τό· „ὡς — χωλός. Haec desiderabantur in nostro Cod., (R. in notis: „desiderantur in omnibus Mss.“) et in interpretatione Erasmi. Ea nos e Cod. Reg. supplevimus. H.

[1]) H. et R. min. accurate: καθάρῳ. Cfr. Deut. XII, 15. XIV, 4. 5. et XV, 22.

[2]) Jes. XXXV, 6. H. et R. h. l. μογιλάλων. Cfr. pag. 120. not. 3. et 4.

[3]) Jes. XLII, 18.

[4]) Rom. I, 20.

[5]) Matth. XV, 31.

χωλοὺς, κυλλοὺς, καὶ ἑτέρους πολλοὺς, καὶ ῥίπτωμεν αὐτοὺς παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἵνα θεραπεύσῃ αὐτοὺς, ὥστε θαυμάσαι ἐπὶ τῇ τούτων θεραπείᾳ τοὺς ὄχλους· οἱ γὰρ μαθηταὶ οὐκ ἀναγεγραμμένοι εἰσὶ τὰ τοιαῦτα θαυμάζειν, καί τοί γε[1]) παρόντες τῷ Ἰησοῦ καὶ τότε, ὡς δῆλον ἐκ τοῦ· „ὁ δὲ Ἰησοῦς[2]) προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ, εἶπε· σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον," καὶ τὰ ἑξῆς. Τάχα δὲ, εἰ ἐπιμελῶς προσέχοις τῷ· „προσῆλθον[3]) αὐτῷ ὄχλοι πολλοί·" εὕροις ἂν ὅτι οἱ μαθηταὶ τότε οὐ προσῆλθον αὐτῷ, ἀλλὰ πάλαι ἀρξάμενοι ἀκολουθεῖν, καὶ εἰς τὸ ὄρος ἠκολούθησαν αὐτῷ. Προσῆλθον δὲ αὐτῷ οἱ τῶν[4]) μαθητῶν ἐλάττους, καὶ τότε πρῶτον αὐτῷ προσιόντες, οὐ τὰ ὅμοια τοῖς μετ' αὐτῶν ἀναβεβηκόσι πεπόνθασι. Παρατήρει δὲ ἐν τῷ εὐαγγελίῳ τίνες μὲν ἀναγεγραμμένοι εἰσὶν ἠκολουθηκέναι τῷ Ἰησοῦ, τίνες δὲ προσεληλυθέναι, τίνες δὲ προσῆχθαι, καὶ τίνες διῃρῆσθαι εἰς προάγοντας καὶ εἰς ἀκολουθοῦντας· καὶ τῶν προσεληλυθότων τίνες αὐτῷ[5]) ἐν τῇ οἰκίᾳ προσῆλθον, καὶ τίνες ἀλλαχοῦ τυγχάνοντι. Πολλὰ γὰρ ἂν εὕροις ἐκ τῆς παρατηρήσεως, πνευματικοῖς πνευματικὰ συγκρίνων, ἄξια τῆς ἐν τοῖς εὐαγγελίοις ἀκριβοῦς σοφίας.

---

[1]) H. et R. h. l. καὶ τοίγε.

[2]) Matth. XV, 32. Ed. Knapp. μαθητ. αὐτοῦ. — H. et R. h. l. κύριος pro Ἰησοῦς, sed cfr. pag. 123. not. 1.

[3]) Matth. XV, 30.

[4]) Deest τῶν in ea, quae anno MDCLXXXV. Coloniae prodiit, ed. Huetii.

[5]) H. ad marg., R. in notis: „Cod. Reg. αὐτῶν."

Περὶ τῶν ἑπτὰ ἄρτων.

19. „Ὁ δὲ Ἰησοῦς[1]) προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ, εἶπεν." Ἀνωτέρω μὲν ἐπὶ τῆς ὁμοίας ταύτης περὶ τῶν ἄρτων ἱστορίας, πρὸ τῶν ἄρτων „ἐξελθὼν[2]) ὁ Ἰησοῦς εἶδε πολὺν ὄχλον, καὶ ἐσπλαγχνίσθη ἐπ' αὐτόν,[3]) καὶ ἐθεράπευσε τοὺς ἀῤῥώστους αὐτῶν. Καὶ ὀψίας[4]) δὲ γενομένης προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ,[5]) λέγοντες· ἔρημός ἐστιν ὁ τόπος, καὶ ἡ ὥρα παρῆλθεν ἤδη· ἀπόλυσον αὐτούς," καὶ τὰ ἑξῆς. Νῦν δὲ μετὰ τὴν θεραπείαν τῶν κωφῶν καὶ τῶν λοιπῶν, σπλαγχνίζεται ἐπὶ τὸν ὄχλον, τρεῖς ἤδη ἡμέρας προσμένοντα αὐτῷ, καὶ μὴ ἔχοντα φαγεῖν. Καὶ ἐκεῖ μὲν οἱ μαθηταὶ περὶ τῶν πεντακισχιλίων ἀξιοῦσιν· ἐνθάδε δὲ ἀφ' ἑαυτοῦ περὶ τῶν τετρακισχιλίων λέγει· κἀκεῖνοι μὲν ὀψίας τρέφονται, ἡμέραν αὐτῷ συνδιατρίψαντες· οὗτοι δὲ μαρτυρηθέντες, ὅτι αὐτῷ τρεῖς ἡμέρας προσέμειναν, μεταλαμβάνουσι τῶν ἄρτων, ἵνα μὴ ἐκλυθῶσιν ἐν τῇ ὁδῷ· κἀκεῖ μὲν πέντε ἄρτους καὶ δύο ἰχθύας φασὶν οἱ μαθηταὶ ἔχειν μόνους οὐ πυθομένῳ· ἐνθάδε δὲ πυθομένῳ ἀποκρίνονται περὶ ἑπτὰ ἄρτων, καὶ ὀλίγων ἰχθυδίων· κἀκεῖ μὲν κελεύει τοὺς ὄχλους ἀνακλιθῆναι, ἢ ἀναπεσεῖν ἐπὶ τοῦ χόρτου· — καὶ γὰρ ὁ Λουκᾶς· „κατακλι-

---

[1]) Matth. XV, 32. H. et R. h. l., cfr. pag. 122. not. 2., Ἰησοῦς.

[2]) Ibid. XIV, 14. Ed. Knapp. ἐξελθὼν (ὁ Ἰησοῦς) εἶδε, ed. Lachm. ἐξελθὼν εἶδεν.

[3]) H. et R. αὐτόν. Edd. N. T. αὐτοῖς. Cfr. pag. 76. lin. 15.

[4]) Matth. XIV, 15. coll. pag. 66. not. 2. et pag. 67. not. 2.

[5]) Deest h. l., cfr. pag. 66. lin. 4. et pag. 67. not. 2., αὐτοῦ in edd. H. et R.

νατε[1]) αὐτούς·“ ἀνέγραψε· καὶ ὁ Μάρκος· „ἐπέταξε, φησὶν, αὐτοῖς πάντας ἀνακλῖναι·“ — ἐνθάδε δὲ οὐ κελεύει, ἀλλὰ παραγγέλλει τῷ ὄχλῳ ἀνακλιθῆναι· πάλιν ἐκεῖ μὲν αὐταῖς λέξεσιν οἱ τρεῖς εὐαγγελισταί φασιν· ὅτι „λαβὼν[2]) τοὺς πέντε ἄρτους, καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν ηὐλόγησεν·“ ἐνθάδε δὲ, ὡς ὁ Ματθαῖος καὶ Μάρκος ἀνέγραψαν, εὐχαριστήσας[3]) ὁ Ἰησοῦς ἔκλασε· κἀκεῖ μὲν ἐπὶ τοῦ χόρτου ἀνακλίνονται· ἐνθάδε δὲ ἐπὶ τὴν γῆν ἀναπίπτουσι. Ζητήσεις δὲ ἐν τοῖς κατὰ τοὺς τόπους τὸ τοῦ Ἰωάννου παρηλλαγμένον, ὃς ἐπ᾽ ἐκείνης μὲν τῆς πράξεως ἀνέγραψε, ὅτι εἶπεν ὁ Ἰησοῦς· „ποιήσατε[4]) τοὺς ἀνθρώπους ἀναπεσεῖν,“ καὶ ὅτι „εὐχαριστήσας ἔδωκε τοῖς ἀνακειμένοις ἀπὸ τῶν ἄρτων·“ ταύτης δὲ οὐδὲ τὴν ἀρχὴν ἐμνημόνευσε. Προςέχων οὖν τῇ διαφορᾷ τῶν,[5]) κατὰ τοὺς τόπους, ἐπὶ τοῖς ἄρτοις γεγραμμένων, τούτους νομίζω τάγματος εἶναι διαφέροντος παρ᾽ ἐκείνους· διόπερ οὗτοι μὲν ἐν ὄρει τρέφονται, ἐκεῖνοι δὲ ἐν ἐρήμῳ τόπῳ· καὶ οὗτοι μὲν τρεῖς παραμείναντες τῷ Ἰησοῦ ἡμέρας, ἐκεῖνοι δὲ μίαν, ἧς ἐν τῇ ἑσπέρᾳ ἐτράφησαν. Ἔτι δὲ, εἰ μὴ ταὐτόν ἐστι τὸ ἀφ᾽ ἑαυτοῦ ποιῆσαι τὸν Ἰησοῦν τῷ ἀπὸ τῶν μαθητῶν ἀκούσαντα πρᾶξαι, ὅρα εἰ μὴ διαφέρουσιν οἱ εὐεργετηθέντες ὑπὸ τοῦ Ἰησοῦ, αὐτόθεν ἐπὶ τῷ εὐεργετῆσαι θρέψαντος αὐτούς. Εἰ δὲ κατὰ Ἰωάννην[6]) κρίθινοι ἦσαν οἱ ἄρτοι, ἀφ᾽ ὧν ἐπερίσσευσαν οἱ δώδεκα κόφινοι, οὐδὲν δὲ τοιοῦτον περὶ τούτων λέγεται, πῶς οὐ

---

[1]) Luc. IX, 14. — Marc. VI, 39. coll. pag. 73. not. 1. — Marc. VIII, 6.

[2]) Matth. XIV, 19. Marc. VI, 41. Luc. IX, 16.

[3]) Matth. XV, 36. Marc. VIII, 6.

[4]) Ev. Joann. VI, 10. — 11. coll. edd. N. T.

[5]) Deest τῶν in ed. Huetiana.

[6]) Ev. Joann. VI, 13.

βελτίους οὗτοι παρὰ τοὺς προτέρους; Κἀκείνων μὲν τοὺς ἀῤῥώστους[1]) ἐθεράπευσεν· ἐνταῦθα δὲ τοὺς μετὰ τῶν ὄχλων οὐκ ἀῤῥώστους θεραπεύει, ἀλλὰ τυφλοὺς, καὶ χωλοὺς, καὶ κωφοὺς, καὶ κυλλούς· διὸ καὶ ἐπὶ τούτοις μὲν θαυμάζουσιν οἱ τετρακισχίλιοι, ἐπὶ δὲ τοῖς ἀῤῥώστοις οὐδὲν τοιοῦτον λέλεκται. Κρείττους δέ εἰσιν, οἶμαι, οἱ φαγόντες ἀπὸ τῶν ἑπτὰ εὐχαριστηθέντων ἄρτων, τῶν φαγόντων ἀπὸ πέντε εὐλογηθέντων, καὶ οἱ φαγόντες ἀπὸ τῶν ὀλίγων ἰχθυδίων παρὰ τοὺς φαγόντας ἀπὸ τῶν δύο· τάχα δὲ καὶ οἱ ἀναπεσόντες ἐπὶ τὴν γῆν. Καὶ ἐκεῖνοι μὲν ἀπὸ ὀλιγωτέρων ἄρτων δώδεκα κοφίνους καταλείπουσιν· οὗτοί δὲ ἀπὸ πλειόνων ἑπτὰ σπυρίδας, τῷ χωρητικώτεροι εἶναι μειζόνων. Καὶ τάχα οὗτοι μὲν ἐπιβαίνουσι πάντων τῶν γηίνων, καὶ ἀναπίπτουσιν ἐπ᾽ αὐτῶν· οἱ δ᾽ ἐπὶ τοῦ χόρτου, ἐπὶ μόνης τῆς σαρκὸς αὐτῶν· πᾶσα[2]) γὰρ σὰρξ χόρτος. Πρόσχες καὶ μετὰ ταῦτα ὅτι τούτους ἀπολῦσαι[3]) ὁ Ἰησοῦς νήστεις οὐ θέλει, ἵνα μὴ ἐκλυθῶσιν, ὡς κενοὶ τῶν ἄρτων Ἰησοῦ, καὶ ἔτι ἐν τῇ ὁδῷ τυγχάνοντες, τῇ ἐπὶ τὰ οἰκεῖα, βλαβῶσι. Σημείωσαι δὲ, εἴ που ἀναγέγραπται ὁ Ἰησοῦς ἀπολελυκέναι, ἵν᾽ ἴδῃς διαφορὰν τῶν μετὰ τὸ τραφῆναι ὑπ᾽ αὐτοῦ ἀπολυθέντων, καὶ τῶν ἄλλως ἀπολυθέντων· παράδειγμα δὲ ἄλλως ἀπολυθέντος τό· „γύναι,[4]) ἀπολέλυσαι τῆς ἀσθενείας σου.“ Πρὸς δὲ τούτοις οἱ μὲν ἀεὶ συνόντες τῷ Ἰησοῦ μαθηταὶ, οὐκ ἀπολύονται ἀπ᾽ αὐτοῦ· οἱ δὲ ὄχλοι φαγόντες ἀπολύονται. Καθὰ πάλιν οἱ μαθηταὶ, μηδὲν μέγα φρονοῦντες περὶ τῆς Χαναναίας, φασίν· „ἀπόλυσον[5]) αὐτὴν, ὅτι κράζει ὄπι-

---

[1]) Matth. XIV, 14.
[2]) Jes. XL, 6. coll. I Petr. I, 24.
[3]) Matth. XV, 32. — H. et R. ἀπολύσαι.
[4]) Luc. XIII, 12. Ed. Lachm. ἀπὸ τῆς κ. τ. λ.
[5]) Matth. XV, 23.

σθεν ἡμῶν·" ὁ δὲ Σωτὴρ οὐδαμῶς αὐτὴν ἀπολύων φαίνεται· εἰπὼν γὰρ αὐτῇ· „ὦ γύναι, [1]) μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις·" ἰάσατο μὲν τὴν θυγατέρα αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης· οὐ μέντοι γέγραπται, ὅτι ἀπέλυσεν αὐτήν. Τοσαῦτα καὶ εἰς τὸ ἐγκείμενον ῥητὸν ἐπὶ τοῦ παρόντος ἐξετάσαι καὶ ἰδεῖν δεδυνήμεθα.

---

[1]) Ibid. XV, 28. H. et R. h. l., cfr. pag. 119. not. 1., γενηθήτω.

ΩΡΙΓΕΝΟΥΣ
ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ
ΜΑΤΘΑΙΟΝ
ΕΥΑΓΓΕΛΙΟΝ [1])
ΕΞΗΓΗΤΙΚΩΝ

Τόμος ιβ'.

Περὶ τῶν ἐπερωτησάντων σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς.

1. „Καὶ [2]) προσελθόντες Σαδδουκαῖοι καὶ Φαρισαῖοι, πειράζοντες ἐπηρώτων αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς.“ Οἱ πρὸς ἀλλήλους διαφωνοῦντες περὶ τῶν ἀναγκαιοτάτων δογμάτων Σαδδουκαῖοι, καὶ Φαρισαῖοι· — πρεσβεύουσι γὰρ οἱ μὲν Φαρισαῖοι τὴν τῶν νεκρῶν ἀνάστασιν, ἐλπίζοντες εἶναί τινα μέλλοντα αἰῶνα· οἱ δὲ Σαδδουκαῖοι οὐδὲν ἴσασι μετὰ τὸν βίον τοῦτον ἀνθρώπῳ ἀποκείμενον, ἤτοι ὡς ἐπ' ἀρετὴν προκόψαντι, ἢ μηδὲ τὴν ἀρχὴν ἐπιτηδεύσαντι ἐξελθεῖν τῶν τῆς κακίας ὅρων· — οὗτοι, ἵνα πειράσωσι τὸν Ἰησοῦν, ὁμονοοῦσιν. Ὅμοιον δὲ τούτων γεγένηται, ὡς ὁ Λουκᾶς [3]) ἀνέγραψε, πρὸς Ἡρώδην, καὶ Πιλάτον, γενομέ-

---

[1]) Desideratur hoc voc. in ed. Huetiana.

[2]) Matth. XVI, 1. Edd. N. T. οἱ Σαδδουκαῖοι et ἐπηρώτησαν.

[3]) Luc. XXIII, 12.

νους ἀλλήλοις φίλους, ἵνα τὸν Ἰησοῦν ἀποκτείνωσι· τάχα γὰρ ἡ μὲν πρὸς ἀλλήλους αὐτῶν μάχη ἐποίησεν ἄν, τὸν μὲν Ἡρώδην μὴ [1]) εἰς χάριν τοῦ λέγοντος λαοῦ· „σταύρου, [2]) σταύρου αὐτόν“ ἀξιοῦν [3]) αὐτὸν ἀναιρεθῆναι· τὸν δὲ Πιλάτον, ῥοπήν τινα ἔχοντα τὴν ὑπὲρ [4]) τοῦ μὴ ἂν αὐτὸν καταδεδικάσθαι, συμβαλλομένης τῆς πρὸς Ἡρώδην ἔχθρας τῇ πρὸς τὸ ἀπολῦσαι τὸν Ἰησοῦν προϋπαρχούσῃ ῥοπῇ. Ἡ δὲ νομιζομένη φιλία τὸν Ἡρώδην ἰσχυρότερον πρὸς τὴν κατὰ τοῦ Ἰησοῦ ἀξίωσιν πεποίηκε πρὸς Πιλάτον, βουλόμενον τάχα καὶ διὰ τὴν νεαρὰν φιλίαν κεχαρισμένον τι τῷ Ἡρώδῃ, καὶ παντὶ τῷ Ἰουδαίων ἔθνει ποιῆσαι. Πολλάκις δὲ καὶ νῦν ὁρᾷν ἐστιν ἐν τῷ βίῳ καὶ τοὺς διαφωνότατα δόγματα, εἴτε ἐν τῇ Ἑλλήνων φιλοσοφίᾳ, εἴτε καὶ ἐν ἄλλοις λόγοις ἔχοντας, ὁμονοεῖν δοκοῦντας, ἵνα χλευάζωσι καὶ προσπολεμῶσι τῷ ἐν τοῖς μαθηταῖς Ἰησοῦ Χριστῷ. Ἀπὸ τούτων δέ, οἶμαι, ἔστι διαβῆναι τῷ λόγῳ ἐπὶ τὸ ἰδεῖν, ὅτι μήποτε [5]) καὶ τῶν ἀντικειμένων ἐνεργειῶν, διαφωνίαν πρὸς ἀλλήλας ἐχουσῶν, ὡς Φαραὼ πρὸς Ναβουχοδονό-

---

[1]) H. in notis: „Erasmus praetermisit μή.“ Perperam.

[2]) Luc. XXIII, 21. Ed. Knapp. σταύρωσον! σταύρωσον αὐτόν!

[3]) Sic habet Cod. Reg., et id sensus postulat. Cod. Holm. ἀξιοῦντος ἀναιρεθῆναι. H.

[4]) ὑπὲρ τοῦ μὴ — καταδεδικάσθαι. Si haec ita legis, videtur aliquid ad sensum explendum desiderari, haec puta, quae exhibet Erasmus: *illum fortasse non condemnasset;* sin autem: ὑπὲρ τούτου, μὴ ἂν αὐτὸν καταδεδικάσθαι, nihil (?) deerit, et sic (?) interpretaberis: *Pilatus autem aliquatenus ad id inclinans, eum non condemnasset.* H. — Nihil profecto, modo ad praecedd. verba: μὴ εἰς χάριν —“ ἀξιοῦν κ. τ. λ. accurate attenderis, h. l. desideratur.

[5]) H. ad marg.: „scrib. forsan: δήποτε.“

σορ,[1]) καὶ Θαραθὰ[2]) βασιλέως Αἰθιόπων πρὸς Σεναχηρεὶμ βασιλέα Ἀσσυρίων, γίνεταί ποτε συμφωνία κατὰ τοῦ Ἰησοῦ καὶ τοῦ λαοῦ αὐτοῦ. Οὕτως τάχα καὶ „παρέστησαν[3]) οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ," οὐδαμῶς πρότερον ἀλλήλοις ὁμονοοῦντες, ἵνα σκοπήσαντες κατὰ τοῦ κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ, τὸν κύριον τῆς δόξης ἀποκτείνωσιν.

2. Ἐπὶ ταῦτα δὲ τῷ λόγῳ ἐληλύθαμεν, διὰ τοὺς ἅμα προσελθόντας τῷ Ἰησοῦ Φαρισαίους καὶ Σαδδουκαίους, τοὺς ἐν τοῖς περὶ ἀναστάσεως διαφωνοῦντας, καὶ οἱονεὶ συμφωνήσαντας διὰ τὸ πειράσαι τὸν Σωτῆρα ἡμῶν, καὶ ἐπερωτῆσαι αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς. Οὐ γὰρ ἀρκούμενοι τοῖς[4]) ἐν ταῖς ἰάσεσι πάσης νόσου καὶ πάσης μαλακίας ἐν τῷ λαῷ τεραστίοις, καὶ τοῖς ἄλλοις παραδόξοις, ἃ ἐν γνώσει πολλῶν πεποιήκει ὁ Σωτὴρ ἡμῶν, ἠβούλοντο αὐτὸν ἐπιδεῖξαι αὐτοῖς καὶ ἐξ οὐρανοῦ σημεῖον. Καὶ στοχάζομαι, ὅτι ὑπενόουν μὲν τὰ ἐπὶ γῆς σημεῖα ὡς δυνάμενα καὶ μὴ ἐκ θεοῦ εἶναι· οὐκ ὤκνησαν γοῦν λέγειν, ὅτι ἐν Βεελζεβοὺλ,[5]) ἄρχοντι τῶν δαιμονίων, ἐκβάλλει τὰ δαιμόνια ὁ Ἰησοῦς· ἐδόκει δ' αὐτοῖς, μὴ δύνασθαι ἐξ οὐρανοῦ σημεῖον ἀπὸ Βεελζεβοὺλ, ἤ τινος ἄλλης[6]) πονηρᾶς γίγνεσθαι δυνάμεως. Ἡμάρτανον δὲ περὶ ἀμφοτέρων, τῶν τε ἐπὶ γῆς, καὶ τῶν ἐξ οὐρανοῦ σημείων, μὴ δόκιμοι τραπεζῖται, μήδὲ ἐπιστάμενοι διακρίνειν πνεύματα τὰ ἐνεργοῦντα, ποῖα μὲν ἀπὸ τοῦ θεοῦ ἐστι, ποῖα

---

[1]) II Regg. XXIV, 7. — XIX, 9.

[2]) H. et R. Θαραθά et Σεναχηρείμ.

[3]) Psalm. II, 2.

[4]) Deest τοῖς in ed. R.

[5]) Matth. IX, 34. XII, 24. H. h. l. et seqq. constanter Βεελσεβούλ.

[6]) ἄλλης. Deest in ed. Huet., sed suppletur e Cod. Vaticano. R.

δὲ ἀφεστηκότα αὐτοῦ. Καὶ ἐχρῆν αὐτοὺς εἰδέναι, ὅτι καὶ τὰ πολλὰ τῶν ἐπὶ Μωσέως κατὰ τῆς Αἰγύπτου τεραστίων, οὐκ ὄντα ἐξ οὐρανοῦ, σαφῶς ἦν τοῦ Θεοῦ, καὶ τὸ πεσὸν[1]*) πῦρ ἐξ οὐρανοῦ ἐπὶ τὰ πρόβατα τοῦ Ἰὼβ, οὐκ ἦν ἀπὸ τοῦ Θεοῦ. Τοῦ αὐτοῦ γὰρ ἐκεῖνο τὸ πῦρ ἦν, οὗ ἦσαν καὶ οἱ αἰχμαλωτεύσαντες, καὶ οἱ ποιήσαντες τρεῖς ἀρχὰς ἱππέων κατὰ τῶν κτηνῶν τοῦ Ἰώβ. Οἶμαι δ' ὅτι καὶ ἐν τῷ Ἡσαΐᾳ, — ὡς δυναμένων σημείων δειχθῆναι καὶ ἀπὸ γῆς καὶ ἀπὸ οὐρανοῦ, ἀληθῶν μὲν ἐκ Θεοῦ, ἐν πάσῃ*[2]*) δὲ δυνάμει καὶ σημείοις καὶ τέρασι ψεύδους, ἀπὸ τοῦ Πονηροῦ, — λέλεκται τῷ Ἄχαζ· „αἴτησον*[3]*) σεαυτῷ σημεῖον παρὰ κυρίου τοῦ Θεοῦ σου εἰς βάθος, ἢ εἰς ὕψος.“ Εἰ γὰρ μὴ ἦν σημεῖα, καὶ οὐ παρὰ κυρίου τοῦ Θεοῦ τινα τῶν εἰς βάθος, καὶ τῶν εἰς ὕψος, οὐκ ἂν ἐλέλεκτο τό· „αἴτησον σεαυτῷ σημεῖον παρὰ κυρίου τοῦ Θεοῦ σου εἰς βάθος, ἢ εἰς ὕψος.“ Εὖ οἶδα δὲ, ὅτι δόξει τινὶ βίαιον εἶναι τὸ τοιοῦτον τῆς περὶ τοῦ· „αἴτησον σεαυτῷ σημεῖον παρὰ κυρίου τοῦ Θεοῦ*[4]*) σου“ ἐκδοχῆς· ἀλλὰ ἐπίστησον τῷ εἰρημένῳ παρὰ τῷ Ἀποστόλῳ περὶ τοῦ ἀνθρώπου τῆς ἁμαρτίας, τοῦ υἱοῦ τῆς ἀπωλείας, ὅτι ἐν πάσῃ*[5]*) δυνάμει, καὶ σημείοις, καὶ τέρασι ψεύδους, καὶ πάσῃ ἀπάτῃ ἀδικίας τοῖς ἀπολλυμένοις ἐκεῖνος ἐπιφανεῖται, μιμούμενος πάντα τέρατα, τὰ τῆς ἀληθείας. Καὶ ὥσπερ οἱ τῶν Αἰγυπτίων ἐπαοιδοὶ καὶ φαρμακοὶ, ὡς ἐλάττους τοῦ ἀνθρώπου τῆς ἁμαρτίας, καὶ τοῦ υἱοῦ τῆς ἀπωλείας, δυνάμεις τινὰς ἐμιμήσαντο, καὶ σημεῖα καὶ τέρατα τῆς ἀληθείας, ποιοῦντες τὰ τοῦ ψεύδους*

---

[1]) Job. I, 16. 17.

[2]) II Thess. II, 9.

[3]) Jes. VII, 11. LXX. interpretes *αἴτησαι*, omisso τοῦ ante voc. Θεοῦ.

[4]) Deest h. l. σου in edd. H. et R.

[5]) II Thess. II, 9. 10

εἰς τὸ μὴ πιστεύεσθαι τὰ ἀληθῆ· οὕτως οἶμαι τὸν ἄνθρωπον τῆς ἁμαρτίας τὰ σημεῖα μιμήσασθαι,[1]) καὶ τὰς δυνάμεις. Τάχα δὲ καὶ ταῦτα ὑφορώμενοι διὰ τὰς περὶ αὐτοῦ προφητείας οἱ Φαρισαῖοι· ζητῶ δὲ, εἰ καὶ Σαδδουκαῖοι πειράζοντες ἐπηρώτων, σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς, τὸν Ἰησοῦν. Εἰ δὲ μὴ τοῦτο λέγοιμεν αὐτοὺς ὑπονενοηκέναι, τί φήσομεν αὐτοὺς πεπονθέναι πρὸς τὰ ὑπὸ τοῦ Ἰησοῦ γινόμενα τεράστια, ἀτέγκτους μένοντας, καὶ μὴ δυσωπουμένους τῶν γινομένων τὰ παράδοξα; Ἐὰν δέ τις ὑπολαμβάνῃ ἀπολογίας ἡμᾶς ἀφορμὰς δεδωκέναι τοῖς Φαρισαίοις καὶ Σαδδουκαίοις, ὅπου μὲν ἐν Βεελζεβοὺλ φάσκουσιν ἐκβεβλῆσθαι ὑπὸ Ἰησοῦ τὰ δαιμόνια, ὅπου δὲ ἐπερωτῶσι μετὰ τοῦ πειράζειν τὸν Ἰησοῦν περὶ σημείου οὐρανίου, ἴστω ὅτι ὑπὸ[2]) μὲν πιθανότητός φαμεν αὐτοὺς περιεσπᾶσθαι πρὸς τὸ μὴ πιστεῦσαι τοῖς τοῦ Ἰησοῦ παραδόξοις, οὐ μὴν ὥστε καὶ συγγνωστοὺς εἶναι, μὴ ἐνορῶντας τοῖς τῶν προφητῶν λόγοις, πληρουμένοις ἐν ταῖς πράξεσι τοῦ Ἰησοῦ, ἃς οὐδαμῶς πονηρὰ δύναμις μιμήσασθαι οἵα τε ἦν. Ψυχὴν δὲ ἐξελθοῦσαν ἐπιστρέψαι, ὥστε ἤδη ὄζοντα,[3]) καὶ τετάρτην ἡμέραν ἄγοντα, ἀπὸ τῶν μνημείων ἐξελθεῖν, οὐδενὸς ἦν ἢ τοῦ ἀκούσαντος ἀπὸ τοῦ πατέρος· „Ποιήσωμεν[4]) ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν.“ Ἀλλὰ καὶ ἀνέμοις κελεῦσαι, καὶ ὁρμὴν θαλάσσης λόγῳ παῦσαι, οὐδενὸς ἄλλου ἦν ἢ ἐκείνου, δι' οὗ τὰ πάντα, καὶ αὐτὴ ἡ θάλασσα, καὶ οἱ ἀνε-

---

1) Sic recte H. et R. in textu; H. ad marg. atque in notis: „Cod. Reg. μιμῆσθαι. Scribendum fortasse μιμεῖσθαι.“ Cfr. pag. huj. lin. 8. a fine textus.

2) Deest ὑπό in ed. R.

3) Ev. Joann. XI, 39.

4) Gen. I, 26. coll. ed. nostrae Tom. I. p. 132. not. 3., Tom. II. p. 50. not. 5. et p. 98. not. 3.

μοι γεγόνασιν. Ἔτι[1]) *δὲ καὶ ἡ διδασκαλία ἐπὶ τὴν ἀγάπην τοῦ κτίσαντος προσκαλουμένη, συναδόντως νόμῳ καὶ προφήταις, καὶ τὰς ὁρμὰς καταστέλλουσα, καὶ τὰ ἤθη κατ' εὐσέβειαν μορφοῦσα, τί ἄλλο ἐδήλου τοῖς ὁρᾶν δυναμένοις, ἢ ὅτι ἀληθῶς Θεοῦ υἱὸς*[2]) *ἦν ὁ τὰ τοσαῦτα ἐργαζόμενος; ἐφ' οἷς εἶπε καὶ τοῖς μαθηταῖς τοῦ Ἰωάννου· „πορευθέντες*[3]) *ἀπαγγείλατε Ἰωάννῃ ὅσα εἴδετε καὶ ἠκούσατε· τυφλοὶ ἀναβλέπουσι," καὶ τὰ ἑξῆς.*

3. *Μετὰ ταῦτα κατανοήσωμεν, τίνα τρόπον ἐπερωτηθεὶς περὶ σημείου ἑνὸς, ἵν' ἐκ τοῦ οὐρανοῦ ἐπιδείξῃ τοῖς ἐπερωτήσασι Φαρισαίοις καὶ Σαδδουκαίοις, ἀποκρίνεται καὶ λέγει· „γενεὰ*[4]) *πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ· καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου·" ὅτε καὶ „καταλιπὼν αὐτοὺς ἀπῆλθε." Τὸ σημεῖον δὲ ἄρα τοῦ Ἰωνᾶ, κατὰ τὴν ἐρώτησιν αὐτῶν, οὐχ ἁπλῶς σημεῖον ἦν, ἀλλὰ καὶ ἐξ οὐρανοῦ· ὥστε αὐτὸν καὶ τοῖς πειράζουσι, καὶ ἐπιζητοῦσι σημεῖον ἐξ οὐρανοῦ, οὐδὲν ἧττον κατὰ τὴν πολλὴν ἑαυτοῦ ἀγαθότητα δεδωκέναι τὸ σημεῖον. Εἰ γὰρ ὡς Ἰωνᾶς ἐποίησεν ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας, καὶ τρεῖς νύκτας, οὕτως ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς, καὶ μετὰ τοῦτο ἀνέστη ἀπ' αὐτῆς, πόθεν ἂν λέγοιμεν τὸ τῆς ἀναστάσεως τοῦ Ἰησοῦ γεγονέναι σημεῖον, ἢ ἀπὸ τοῦ οὐρανοῦ; καὶ μάλιστα, ἐπεὶ παρὰ τὸν καιρὸν τοῦ πάθους γέγονε σημεῖον*[5]) *εὐερ-*

---

[1]) H. recte in notis: „Erasmus: *est autem*, etc., legerat: *ἔστι δέ κ. τ. λ.*, sed perperam."

[2]) Desideratur *υἱός* in ed. H.

[3]) Matth. XI, 4. Edd. N. T. (cfr. tamen Luc. VII, 22.) *ἃ ἀκούετε καὶ βλέπετε* pro *ὅσα κ. τ. λ.*

[4]) Matth. XII, 39. et XVI, 4.

[5]) Codd. Vatic. et Tarinianus: *γέγονε σημεῖον — εἰσελθεῖν τ. Θεοῦ.* In ed. Huet. pro *γέγονε* perperam (?) exstat *γεγονέναι*, et omittitur *εἰσελθεῖν*. R.

γειουμένῳ λῃστῇ εἰς τὸν παράδεισον εἰσελθεῖν τοῦ θεοῦ· μετὰ [1]) τοῦτο, οἶμαι, καταβαίνων εἰς ᾅδου πρὸς τοὺς νεκροὺς, ὡς ἐν νεκροῖς [2]) ἐλεύθερος. Καὶ δοκεῖ μοι συνάπτειν τὸ ἀφ' ἑαυτοῦ σημεῖον ὁ Σωτὴρ τῷ λόγῳ τοῦ κατὰ τὸν Ἰωνᾶν σημείου, λέγων οὐχ ὅμοιον ἐκείνῳ μόνον δίδοσθαι σημεῖον ὑπ' αὐτοῦ, ἀλλὰ καὶ αὐτὸ ἐκεῖνο· πρόσχες γὰρ τῷ· „καὶ [3]) σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου.“ Οὐκοῦν ἐκεῖνο τοῦτο ἦν, τῷ ἐκεῖνο [4]) τούτου δηλωτικὸν γεγονέναι, ἵνα ἡ ἐκείνου λύσις τοῦ σημείου, ἀσάφειαν αὐτόθεν ἔχοντος, τὸ παθεῖν ᾖ τὸν Σωτῆρα, καὶ ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας πεποιηκέναι. Ἅμα δὲ καὶ καθολικόν τι μανθάνομεν, ὅτι, εἴπερ τὸ σημεῖον σημαίνει τι, ἕκαστον τῶν ἀναγεγραμμένων σημείων, εἴτε ὡς ἐν γενομένῃ ἱστορίᾳ, εἴτε ὡς ἐν [5]) ἐντολῇ, δηλωτικόν τινός ἐστιν ὕστερον πληρουμένου· οἷον τὸ σημεῖον Ἰωνᾶ, ἐξιόντος μετὰ τρεῖς ἡμέρας ἀπὸ τῆς κοιλίας τοῦ κήτους, τῆς τοῦ Σωτῆρος ἡμῶν ἦν ἀναστάσεως, μετὰ τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ἀνισταμένου ἀπὸ τῶν νεκρῶν· καὶ ἡ περιτομὴ λεγομένη, σημεῖον τῆς παρὰ τῷ Παύλῳ δηλουμένης ἐν τῷ· „ἡμεῖς [6]) γάρ ἐσμεν ἡ περιτομή.“ Ζήτει δὲ καὶ σὺ πᾶν [7]) τὸ ἐν τοῖς παλαιοῖς γράμμασι σημεῖον τίνος [8]) ἐν τῇ καινῇ γράμμα-

---

[1]) Ed. H. *τοῦ Θεοῦ. Μετὰ — ἐλεύθερος· καὶ δοκεῖ μοι κ. τ. λ.*, ed. R. *τοῦ Θεοῦ. Μετὰ — ἐλεύθερος, καὶ δοκεῖ μοί κ. τ. λ.*

[2]) Psalm. LXXXVIII, 5. (LXXXVII.)

[3]) Matth. XII, 39. et XVI, 4.

[4]) Codd. Reg. (H. quoq. teste) et Tarinianus: *ἐκείνου τοῦτο δηλωτικόν.* R.

[5]) Desideratur *ἐν* in edd. H. et R.

[6]) Philipp. III, 3.

[7]) Erasmus: *quintum etiam quaere signum*, legerat (male): *ζήτει δὲ καὶ σὺ πέμπτον κ. τ. λ.* Huet.

[8]) *τίνος ἐν τῇ καινῇ γραμματός ἐστι.* Ita Cod.

τός ἐστι· καὶ τὸ ἐν τῇ καινῇ διαθήκῃ ὀνομασθὲν σημεῖον, τίνος ἐστὶν ἢ ἐν τῷ μέλλοντι αἰῶνι δηλωτικὸν, ἢ καὶ ἐν ταῖς ὕστερον γενεαῖς, μετὰ τὸ γεγονέναι τὸ σημεῖον.

4. *Καὶ πονηρὰν μὲν εἶπεν αὐτοὺς γενεὰν, διὰ τὴν ἀπὸ τοῦ πονηροῦ ποιότητα εἰς αὐτοὺς ἐγγενομένην· — ἔστι δὲ ἡ πονηρία, ἑκούσιος κακοποιΐα· — μοιχαλίδα δὲ διὰ τοῦτο, ἐπεὶ τὸν τροπικῶς λεγόμενον ἄνδρα, τῆς ἀληθείας λόγον, ἢ νόμον, καταλιπόντες οἱ Φαρισαῖοι καὶ Σαδδουκαῖοι, ἐμοιχεύθησαν ὑπὸ τοῦ ψεύδους, καὶ τοῦ νόμου*[1]) *τῆς ἁμαρτίας. Εἰ γὰρ δύο εἰσὶ νόμοι, ὅ, τε ἐν τοῖς μέλεσιν*[2]) *ἡμῶν ἀντιστρατευόμενος τῷ νόμῳ τοῦ νοὸς, καὶ ὁ τοῦ νοὸς, λεκτέον ὅτι ὁ μὲν τοῦ νοὸς, τουτέστιν ὁ πνευματικὸς, ἀνήρ ἐστι, πρὸς ὃν ἡρμόσθη ἀπὸ θεοῦ γυνὴ ἡ ψυχὴ, ἀνδρὶ τῷ νόμῳ, κατὰ τὸ γεγραμμένον· „παρὰ*[3]) *δὲ θεοῦ ἁρμόζεται ἀνδρὶ γυνή·“ ὁ δὲ ἄλλος, μοιχός ἐστι τῆς ὑποτασσομένης αὐτῷ ψυχῆς, καὶ δι' αὐτὸν μοιχαλίδος χρηματιζούσης. Ὅτι δὲ ὁ νόμος ἀνήρ τῆς ψυχῆς ἐστιν, σαφῶς ἐν τῇ πρὸς Ῥωμαίους ὁ Παῦλος παριστᾷ λέγων, ὅτι „ὁ νόμος*[4]) *κυριεύει τοῦ ἀνθρώπου, ἐφ' ὅσον χρόνον ζῇ. Ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται,“ ὄντι „νόμῳ,“ καὶ τὰ ἑξῆς. Πρόσχες γὰρ ἐν τούτοις ὅτι „ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου, ἐφ' ὅσον χρόνον ζῇ“ ὁ νόμος, ὡς ἀνὴρ γυναικός. „Ἡ γὰρ ὕπανδρος γυνὴ,“ — ἡ ὑπὸ τὸν νόμον ψυχὴ, —*

Holm., cujus ad oram attextum erat aliena manu: *γραφῇ*. Lege: *τίνος ἐν τῇ καινῇ γραφῇ ἐστι.* Supple *σημεῖον* etc. H. — Legas *γραφῇ*, suppleas *δηλωτικόν.*

[1]) Cod. Reg. *νόμου καὶ τῆς ἁμαρτίας.* H. et R.

[2]) Rom. VII, 23.

[3]) Prov. XIX, 14. LXX. interpretes: *παρὰ δὲ κυρίου ἁρμόζ. γυνὴ ἀνδρί.*

[4]) Rom. VII, 1. 2. Deest *ὄντι*, quod consulto Orig. adjecit, in edd. N. T.

„τῷ ζῶντι ἀνδρὶ δέδεται,“ ὄντι „νόμῳ. Ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ὁ νόμος κατήργηται ἀπὸ τοῦ νόμου,“ ὅς ἐστιν ἀνήρ. Ἀποθνήσκει δὲ ὁ νόμος τῷ ἀναβάντι ἐπὶ τὴν μακαριότητα, καὶ μηκέτι ὑπὸ νόμον πολιτευομένῳ· ἀλλ' ὡς ὁ Χριστὸς πράττων, ὃς εἰ καὶ γέγονεν ὑπὸ νόμον διὰ τοὺς ὑπὸ νόμον, ἵνα [1]) τοὺς ὑπὸ νόμον κερδήσῃ, οὔτ' ἐμεινεν ὑπὸ νόμον, οὔτ' ἀφῆκεν ὑπὸ νόμον τοὺς ὑπ' αὐτοῦ ἐλευθερωθέντας· ἀνήγαγε γὰρ αὐτοὺς ἅμα ἑαυτῷ ἐπὶ τὴν ὑπὲρ τὸν νόμον θείαν πολιτείαν, τὸν περιέχοντα, ὡς πρὸς τοὺς ἀτελεστέρους καὶ ἔτι ἁμαρτάνοντας, θυσίας περὶ ἀφέσεως ἁμαρτημάτων. Ὁ οὖν ἀναμάρτητος, καὶ μηκέτι δεόμενος τῶν νομικῶν θυσιῶν, ὑπερβέβηκε τελειωθεὶς τάχα καὶ τὸν πνευματικὸν νόμον, καὶ γέγονεν ἐν τῷ ὑπὲρ αὐτὸν λόγῳ, ὅστις τοῖς μὲν ἐν σαρκὶ ζῶσι σὰρξ ἐγεγόνει· τοῖς δὲ μηδαμῶς ἔτι κατὰ σάρκα στρατευομένοις, ὡς [2]) ἦν ἐν ἀρχῇ πρὸς Θεὸν Θεὸς Λόγος ὤν, θεωρεῖται, καὶ ἀποκαλύπτει τὸν πατέρα. Τρία τοίνυν κατὰ τὸν τόπον νομιστέον· γυναῖκα ὕπανδρον, ὑπὸ ἄνδρα τὸν νόμον· καὶ γυναῖκα μοιχαλίδα, ζῶντος τοῦ ἀνδρὸς νόμου γινομένην ἀνδρὶ ἑτέρῳ, τῷ νόμῳ τῆς σαρκὸς τὴν ψυχήν· καὶ γυναῖκα τῷ ἀδελφῷ τοῦ τεθνηκότος ἀνδρὸς γαμουμένην, τῷ ζῶντι καὶ μὴ ἀποθνήσκοντι Λόγῳ, ὃς „ἐγερθεὶς [3]) ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει· θάνατος γὰρ αὐτοῦ οὐκέτι κυριεύει.“ Καὶ ταῦτα διὰ τό· „ἐὰν δὲ [4]) ἀποθάνῃ ὁ ἀνὴρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός·“ καὶ διὰ τό· „ἄρ' οὖν [5]) ζῶντος τοῦ ἀνδρὸς μοιχαλὶς χρηματίσει,

---

[1]) I Cor. IX, 21.

[2]) Ed. H. ὃς ἦν, ed. R. ὡς ἦν.

[3]) Rom. VI, 9.

[4]) Rom. VII, 2. Deest h. l., cfr. pag. huj. lin. 1., δέ in edd. H. et R.

[5]) Rom. VII, 3. Edd. N. T. ἄρα οὖν κ. τ. λ.

ἐὰν[1]) γένηται ἀνδρὶ ἑτέρῳ·" καὶ[2]) διὰ τό· „ἐὰν δὲ[3]) ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα, γενομένην ἀνδρὶ ἑτέρῳ." Αὐτὸ[4]) δὲ τό· „ἆρ' οὖν ζῶντος τοῦ ἀνδρὸς μοιχαλὶς χρηματίσει" παρειλήφαμεν, βουλόμενοι σαφῶς παραστῆσαι, διὰ τί τοῖς πειράζουσι Φαρισαίοις καὶ Σαδδουκαίοις, καὶ ἐπιζητοῦσι σημεῖον ἐξ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς, ὁ Ἰησοῦς εἶπεν, οὐ μόνον τό· „γενεὰ[5]) πονηρά·" ἀλλὰ καί· „μοιχαλίς." Γενικῶς μὲν οὖν ὁ ἐν τοῖς μέλεσι νόμος, ὁ ἀντιστρατευόμενος[6]) τῷ νόμῳ τοῦ νοὸς, ὡς μοιχὸς ἀνὴρ, μοιχός ἐστι τῆς ψυχῆς. Ἤδη δὲ καὶ πᾶσα δύναμις ἀντικειμένη, ἐπικρατοῦσα τῆς ἀνθρωπίνης ψυχῆς, καὶ ἀναμιγνυμένη αὐτῇ, μοιχός ἐστιν αὐτῆς, νυμφίον ἐχούσης ὑπὸ τοῦ θεοῦ αὐτῇ δοθέντα τὸν Λόγον. Μετὰ ταῦτα γέγραπται, ὅτι „καταλιπὼν[7]) αὐτοὺς ἀπῆλθε." Πῶς γὰρ οὐκ ἔμελλεν ὁ νυμφίος Λόγος καταλιπεῖν τὴν μοιχαλίδα γενεὰν, καὶ ἀπεῖναι ἀπ' αὐτῆς; Εἴποις δ' ἂν, ὅτι τὴν Ἰουδαίων συναγωγὴν ὡς μοιχαλίδα καταλιπὼν ὁ τοῦ θεοῦ Λόγος, ἀπελήλυθεν ἀπ' αὐτῆς, καὶ ἔλαβε γυναῖκα πορνείας, τοὺς ἀπὸ τῶν ἐθνῶν· ἐπεὶ ἐκεῖνοι μὲν, ὄντες πόλις[8]) πιστὴ Σιὼν, γεγόνασι πόρνοι· οὗτοι δὲ ὡς ἡ Ῥαὰβ ἡ πόρνη, τοὺς τοῦ Ἰησοῦ κατασκόπους ὑποδεξαμένη, διεσώθη πανοικὶ, μετὰ τοῦτο μηκέτι πορνεύουσα, ἀλλ' ἐλθοῦσα παρὰ τοὺς τοῦ Ἰησοῦ πόδας, καὶ βρέχουσα αὐτοὺς τοῖς τῆς μετανοίας δάκρυσι,

---

1) H. et R. h. l. ἂν γένηται κ. τ. λ.

2) Desideratur καί in ed. R.

3) Deest δέ in edd. H. et R. Cfr. Rom. VII, 3.

4) H. ad marg., R. in textu rectissime αὐτό; R. in notis: „male Cod. Holm. (it. ed. H. in textu) ἀπό."

5) Matth. XII, 39. XVI, 4.

6) Rom. VII, 23.

7) Matth. XVI, 4.

8) Jes. I, 21. — Jos. VI, 25.

καὶ ἀλείφουσα τῇ τῆς ἁγίας πολιτείας τῶν μύρων εὐωδίᾳ, δι' ἣν Σίμωνι[1]) *τῷ λεπρῷ, τῷ προτέρῳ λαῷ, ὀνειδίζων ἔλεγεν ὅσα γέγραπται.*

Περὶ τῆς ζύμης τῶν Φαρισαίων.

5. „*Καὶ ἐλθόντες*[2]) *οἱ μαθηταὶ αὐτοῦ εἰς τὸ πέραν, ἐπελάθοντο ἄρτους λαβεῖν.*" *Ἐπεὶ μὴ χρήσιμοι ἦσαν οἱ ἄρτοι, οἱ πρὸ τοῦ πέραν, τοῖς ἐλθοῦσι μαθηταῖς εἰς τὸ πέραν· — ἄλλων γὰρ ἔχρῃζον πρὸ τοῦ πέραν, καὶ ἄλλων ἐδέοντο εἰς τὸ πέραν, — διὰ τοῦτο ἀμελήσαντες τοῦ ἐπάγεσθαι ἀπιόντες εἰς τὸ πέραν ἄρτους, ἐπελάθοντο αὐτοὺς σὺν ἑαυτοῖς λαβεῖν. Εἰς τὸ πέραν δὲ γεγόνασι μαθηταὶ τοῦ Ἰησοῦ, οἱ διαβάντες ἀπὸ τῶν σωματικῶν ἐπὶ τὰ πνευματικά, καὶ ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητά. Καὶ τάχα ἵνα ἀποστρέψηται τοὺς διὰ τοῦ ἐφθακέναι εἰς τὸ πέραν ἀρξαμένους πνεύματι τοῦ παλινδρομεῖν ἐπὶ τὰ σάρκινα, εἶπε τοῖς εἰς τὸ πέραν ὁ Ἰησοῦς·* „*ὁρᾶτε*[3]) *καὶ προσέχετε·*" *ἦν γάρ τι φύραμα διδασκαλίας καὶ ζύμης ἀληθῶς παλαιᾶς, τῆς κατὰ τὸ ψιλὸν γράμμα, καὶ διὰ τοῦτο οὐκ ἀπηλλαγμένης τῶν ἀπὸ κακίας, ὅπερ παρεῖχον Φαρισαῖοι καὶ Σαδδουκαῖοι, ἀφ' ἧς οὐ βούλεται Ἰησοῦς ἐσθίειν ἔτι τοὺς ἰδίους μαθητάς, ποιήσας αὐτοῖς νέον καὶ πνευματικὸν φύραμα, ἑαυτὸν παρασχὼν τοῖς ἀποστᾶσι τῆς ζύμης, τῶν Φαρισαίων καὶ Σαδδουκαίων, καὶ προσεληλυθόσιν αὐτῷ, ἄρτον*[4]) *ζῶντα ἐξ οὐρανοῦ καταβεβηκότα, καὶ ζωὴν διδόντα τῷ κόσμῳ. Ἐπεὶ δὲ ὁδός ἐστι τῷ μηκέτι χρησομένῳ ζύμῃ, καὶ φυράματι, καὶ διδασκαλίᾳ Φαρισαίων καὶ Σαδδουκαίων, πρότερον μὲν τὸ*[5]) *θεωρεῖν, δεύτε-*

---

[1]) Luc. VII, 37. seqq.
[2]) Matth. XVI, 5. In ed. Lachm. deest *αὐτοῦ*.
[3]) Ibid. XVI, 6.
[4]) Ev. Joann. VI, 51.
[5]) Ed. Huet. minus recte: *τῷ θεωρεῖν*.

ρον δὲ τὸ προσέχειν, ἵνα μήποτε ἐκ τοῦ μὴ βλέπειν καὶ ἐξ ἀπροσεξίας μεταλάβῃ τις τῆς ἀπηγορευμένης ζύμης ἐκείνων, διὰ τοῦτο πρῶτον τὸ „ὁρᾶτε“ λέγει τοῖς μαθηταῖς, καὶ δεύτερον τὸ „προσέχετε.“ Διορατικῶν οὖν ἐστι καὶ προσεκτικῶν, χωρίζειν τὴν ζύμην τῶν Σαδδουκαίων καὶ Φαρισαίων, καὶ πᾶσαν οὐκ ἀζύμων εἰλικρινείας[1]) καὶ ἀληθείας τροφὴν, ἀπὸ τοῦ ζῶντος ἄρτου, καὶ ἐξ οὐρανοῦ καταβεβηκότος. ἵνα τὰ μὲν τῶν Φαρισαίων καὶ Σαδδουκαίων μὴ προσίηται, τὸν δὲ ζῶντα καὶ ἀληθινὸν ἄρτον ἐσθίων τις ῥωσθῇ τὴν ψυχήν. Καὶ τὸ ῥητὸν δὲ εὐκαίρως ἂν προσφέροιμεν τοῖς μετὰ τοῦ Χριστιανίζειν αἱρουμένοις τὸ σωματικῶς Ἰουδαΐζειν· οὗτοι γὰρ οὐχ ὁρῶσιν, οὐδὲ προσέχουσιν ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων, ἀλλὰ παρὰ τὸ βούλημα τοῦ ἀπαγορεύσαντος αὐτὴν Ἰησοῦ τὸν Φαρισαίων ἄρτον[2]) ἐσθίουσι. Καὶ πάντες δ', οἶμαι, ὅσοι οὐ βούλονται φρονεῖν, ὅτι ὁ νόμος πνευματικός ἐστιν, καὶ σκιὰν[3]) ἔχει τῶν μελλόντων ἀγαθῶν, καὶ σκιά ἐστι τῶν μελλόντων, οὐδὲ ζητοῦσι, τίνος μέλλοντος ἀγαθοῦ ἐστι σκιὰ ἕκαστος τῶν νόμων, οὐχ ὁρῶσιν, οὐδὲ προσέχουσιν ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων. Οἱ δὲ καὶ τὴν τῶν νεκρῶν ἀθετοῦντες ἀνάστασιν, οὐ φυλάττονται ἀπὸ τῆς ζύμης τῶν Σαδδουκαίων. Καὶ πολλοί γε ἐν τοῖς ἑτεροδόξοις διὰ τὴν περὶ ἀναστάσεως νεκρῶν ἀπιστίαν εἰσὶν οἱ ἐμφυρόμενοι τῇ τῶν Σαδδουκαίων ζύμῃ. Ταῦτα δὴ λέγοντος τοῦ Ἰησοῦ, διελογίζοντο οὐ γεγωνὸς[4]) λέ-

---

[1]) 1 Cor. V, 8.

[2]) Ed. Huet. min. recte ἄρτον. Ἐσθίουσι καὶ κτλ.

[3]) Hebr. X, 1. Coloss. II, 17.

[4]) H. recte in notis: „Erasmus: *non quidem facientes quod acciderat*, legerat: οὐ γεγονὸς λέγοντες. Sed veteres libri reclamitant, atque adeo ipse sensus; τὸ γεγωνός, vel, quod idem est, γεγωνόν, apud Hesychium est τὸ ἐξάκουστον. Etc.“

γοντες οἱ μαθηταὶ, ἀλλ' ἐν ταῖς καρδίαις ἑαυτῶν, ὅτι „ἄρτους[1]) οὐκ ἐλάβομεν." Καὶ οἱονεὶ τοιαῦτα ἦν ἃ ἔλεγον· εἰ μὲν εἴχομεν ἄρτους, οὐκ ἂν ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων εἰλήφειμεν· ἐπεὶ δὲ ἀπορίᾳ ἄρτων κινδυνεύομεν ἀπὸ τῆς ἐκείνων ζύμης λαβεῖν, οὐ βούλεται δ' ἡμᾶς ὁ Σωτὴρ παλινδρομεῖν ἐπὶ τῇ ἐκείνων διδασκαλίᾳ, διὰ τοῦτο ἡμῖν εἶπε τό· „ὁρᾶτε[2]) καὶ προσέχετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων." Καὶ ταῦτα μὲν ἐκεῖνοι διελογίζοντο· ὁ δὲ βλέπων Ἰησοῦς τὰ ἐν ταῖς καρδίαις αὐτῶν, καὶ ἀκούων τῶν ἐν αὐταῖς λόγων, ὡς τῶν καρδιῶν ἐπίσκοπος ἀληθὴς, ἐπιπλήσσει αὐτοῖς, ὡς οὐ νοοῦσιν, οὐδὲ μεμνημένοις ἄρτων, ὧν παρ' αὐτοῦ εἰλήφασι, δι' οὓς καὶ, ἐν ἀπορίᾳ δοκοῦντες εἶναι ἄρτων, οὐκ ἔχρῃζον τῆς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ζύμης.

6. Εἶτα σαφηνίζων, καὶ γυμνότερον παριστὰς τοῖς περιελκομένοις διὰ τὴν ὁμωνυμίαν ἄρτου καὶ ζύμης, ὅτι μὴ περὶ αἰσθητοῦ ἔλεγεν αὐτοῖς ἄρτου, ἀλλὰ περὶ τῆς ἐν τῇ διδασκαλίᾳ ζύμης, ἐπιφέρει τό· „πῶς[3]) οὐ νοεῖτε, ὅτι οὐ περὶ ἄρτου εἶπον ὑμῖν; προσέχετε δὲ ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων." Καί τοι μηδὲ γυμνώσαντος αὐτοῦ τὴν ἑρμηνείαν, ἀλλ' ἔτι ἐπιμένοντος τῇ τροπολογίᾳ, συνῆκαν οἱ μαθηταὶ, ὅτι ὁ λόγος τῷ Σωτῆρι ἦν περὶ διδασκαλίας, τροπικῶς „ζύμης" εἰρημένης, ἣν ἐδίδασκον Φαρισαῖοι καὶ Σαδδουκαῖοι. Ὅσον[4]) μὲν οὖν ἔχομεν σὺν ἡμῖν τὸν Ἰησοῦν ποιοῦντα τὴν

---

[1]) Matth. XVI. 7.

[2]) Ibid. XVI, 6.

[3]) Ibid. XVI, 11. Ed. Knapp. ἄρτου εἶπον ὑμῖν, προσέχειν ἀπὸ — Σαδδουκαίων; κ. τ. λ., ed. Lachm. ἄρτων εἶπον ὑμῖν; προσέχετε δὲ ἀπὸ — Σαδδουκαίων. κ. τ. λ.

[4]) Matth. IX, 15. Marc. II, 19. 20. Luc. V, 34. 35.

φάσκουσαν ἐπαγγελίαν· „ἰδοὺ, ἐγὼ [1]) μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος·" οὐ δυνάμεθα νηστεύειν, οὐδὲ ἀπορεῖν τροφῆς, ὡς διὰ τὴν ἀπορίαν αὐτῆς ζητεῖν κἂν παρὰ Φαρισαίων καὶ Σαδδουκαίων τῆς ἀπηγορευμένης ζύμης λαμβάνειν, καὶ ἐσθίειν. Γένοιτο δ' ἄν ποτε καιρὸς, συνόντος αὐτοῦ τοῦ ἡμᾶς ἀτροφεῖν, ὡς ἐν τοῖς ἀνωτέρω λέλεκται, ἐν τῷ· „ἤδη [2]) ἡμέρας τρεῖς παραμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσιν." Ἀλλὰ κἂν τοῦτο συμβῇ, μὴ βουλόμενος ἡμᾶς νήστεις ἀπολῦσαι, μήποτε ἐκλυθῶμεν ἐν τῇ ὁδῷ, εὐχαριστεῖ ἐπὶ τοῖς παρὰ τοῖς μαθηταῖς ἄρτοις, καὶ ποιεῖ ἡμῖν περισσεῦσαι ἀπὸ τῶν ἑπτὰ, ὡς ἀποδεδώκαμεν, ἄρτων τὰς ἑπτὰ σπυρίδας. Ἔτι δὲ καὶ τοῦτο τηρητέον, διὰ τοὺς οἰομένους μὴ πάνυ τι τὴν θεότητα παρίστασθαι τοῦ Σωτῆρος ἐκ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου, ὅτι τὸ, — διαλογιζομένων ἐν ἑαυτοῖς τῶν μαθητῶν, καὶ λεγόντων ἄρτους μὴ ἔχειν, — γνῶναι τοὺς διαλογισμοὺς τὸν Ἰησοῦν, καὶ εἰπεῖν· „τί διαλογίζεσθε [3]) ἐν ἑαυτοῖς, ὀλιγόπιστοι, ὅτι ἄρτους οὐκ ἐλάβετε;" οὐκ ἀνθρώπινον ἦν· μονώτατος [4]) γὰρ γινώσκει τὰς καρδίας τῶν ἀνθρώπων, ὡς ὁ Σολομῶν ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν φησιν, ὁ κύριος. Ἐπεὶ δὲ, τοῦ Ἰησοῦ εἰπόντος· „προσέχετε [5]) ἀπὸ τῆς ζύμης·" συνῆκαν οἱ μαθηταὶ, ὅτι οὐκ εἶπε προσέχειν ἀπὸ τῶν ἄρτων, ἀλλὰ [6]) ἀπὸ τῆς διδαχῆς τῶν Φαρισαίων καὶ Σαδδουκαίων, ἐπιστήσεις εἰ ὅπου ποτ' ἂν ζύμη ὠνομάσθη, εἰς διδαχὴν τροπολογεῖται, εἴτε ἐν νόμῳ, εἴτε καὶ ἐν ταῖς μετὰ τὸν

---

[1]) Matth. XXVIII, 20.

[2]) Ibid. XV, 32. Edd. N. T. ὅτι ἤδη ἡμέραι τρεῖς, προσμένουσί μοι καί κ. τ. λ.

[3]) Ibid. XVI, 8. Ed. Lachm. ἔχετε pro ἐλάβετε.

[4]) I Regg. VIII, 39. (III Regg.)

[5]) Matth. XVI, 6.

[6]) Ed. Huetii: ἀλλ' ἀπό κ. τ. λ.

νόμον γραφαῖς· οὕτω δὲ μήποτε ζύμη οὐ προσφέρεται ἐπὶ τὸ θυσιαστήριον· οὐ γὰρ δεῖ τὰς εὐχὰς τρόπον ἔχειν διδασκαλίας, ἀλλ' εἶναι αὐτὸ[1] *μόνον αἰτήσεις ἀγαθῶν ἀπὸ τοῦ θεοῦ. Ζητήσαι δ' ἄν τις διὰ τὰ ἀποδεδομένα περὶ τῶν μαθητῶν, ἐλθόντων εἰς τὸ πέραν, εἰ δύναταί τις ἐλθὼν εἰς τὸ πέραν ὀνειδίζεσθαι ὡς ὀλιγόπιστος, καὶ ὡς οὐδέπω νοῶν, οὐδὲ μνημονεύων τῶν ὑπὸ τοῦ Ἰησοῦ γεγενημένων. Οὐ χαλεπὸν δ', οἶμαι, πρὸς τοῦτο εἰπεῖν, ὅτι ὡς πρὸς τὸ τέλειον, ὅπερ ὅταν*[2] *ἔλθῃ, τὸ ἐκ μέρους καταργηθήσεται, πᾶσα ἡ ἐνταῦθα πίστις ἡμῶν ὀλιγοπιστία ἐστὶ, καὶ ὡς πρὸς ἐκεῖνο οὐδέπω νοοῦμεν οἱ ἐκ μέρους γινώσκοντες, οὐδὲ μνημονεύομεν· οὐ γὰρ διαρκῆ, καὶ συμπαρεκτεινομένην μνήμην ἀναλαβεῖν δυνάμεθα τῷ πλήθει τῆς φύσεως τῶν θεωρημάτων.*

7. *Ἔτι δέ ἐστι καὶ ἐντεῦθεν μαθεῖν, ὅτι καὶ ἐπὶ μόνοις διαλογισμοῖς, οὓς ἐν ἑαυτοῖς διαλογιζόμεθα, ἔσθ' ὅτε ἐγκαλούμεθα, καὶ ὡς ὀλιγόπιστοι ὀνειδιζόμεθα. Ἐγὼ δ' οἶμαι, ὅτι ὥσπερ μοιχεύει τις ἐν τῇ καρδίᾳ μόνῃ, οὐ πάντως φθάνων καὶ ἐπὶ τὴν πρᾶξιν, οὕτω καὶ τὰ λοιπὰ τῶν ἀπηγορευμένων*[3] *ἐν μόνῃ τῇ καρδίᾳ τις πράττει. Ὡς οὖν ὁ μοιχεύσας ἐν τῇ καρδίᾳ, ἀνάλογον τῇ τοιαύτῃ μοιχείᾳ κολασθήσεται, οὕτως καὶ ὁ τῶν ἀπηγορευμένων τι ποιήσας ἐν τῇ καρδίᾳ, φέρ' εἰπεῖν, κλέψας ἐν μόνῃ καρδίᾳ, ἢ ψευδομαρτυρήσας ἐν μόνῃ καρδίᾳ, οὐχ ὡς ὁ καὶ ἔργῳ μὲν κλέψας, ἢ καὶ τὴν πρᾶξιν τῆς ψευδομαρτυρίας ἐπιτελέσας, ὡς δὲ μόνον ἐν τῇ καρδίᾳ τὰ τοιαῦτα ποιήσας κολασθήσεται, καὶ τοῦτο εἰ παρ'*

---

[1]) H. et R. recte: *αὐτὸ μόνον.*

[2]) I Cor. XIII, 10.

[3]) *ἀπηγορευμένων —. Ὡς οὖν —, οὕτως καὶ ὁ τῶν.* Haec desiderabantur in unico Cod. Holm., neque in Erasmi interpretatione comparebant, licet reperiantur in Codd. Reg. (hactenus H. quoque singulis adstipulatur), Anglicano, Vatic. et Tariniano. R.

αὐτὸν μὴ ἦλθε καὶ ἐπὶ τὴν μοχθηρὰν πρᾶξιν. Εἰ γὰρ πρὸς τῷ βεβουλῆσθαι ἐνεχείρησε μὲν, οὐ τέτευχε δὲ, κολασθήσεται, οὐχ ὡς τῇ καρδίᾳ μόνῃ, ἀλλὰ καὶ τῇ πράξει ἡμαρτηκώς. Ζητήσαι δ' ἄν τις πρὸς τὰ τοιαῦτα, εἰ μοιχεύει μέν τις ἐν τῇ καρδίᾳ μόνῃ, κἂν[1]) μὴ τὸ ἔργον τῆς μοιχείας ποιήσῃ, οὐ σωφρονεῖ δὲ ἐν μόνῃ τῇ καρδίᾳ. Τὸ παραπλήσιον δὲ καὶ περὶ τῶν λοιπῶν ποιήσεις ἐπαινετῶν. Ἔχει δέ τι πιθανῶς ἡμᾶς παραλογίσασθαι δυνάμενον ὁ τόπος, ὅπερ τοῦτον, οἶμαι, καθαρτέον τὸν τρόπον· μοιχεία μὲν γενομένη ἐν τῇ καρδίᾳ, ἔλαττόν ἐστιν ἁμάρτημα, ἢ εἰ προσθείη τις καὶ τὴν πρᾶξιν. Ἀμήχανον δὲ σωφροσύνην εἶναι ἐν καρδίᾳ, ἐμποδίζουσαν τῇ σωφρονικῇ πράξει, εἰ μὴ ἄρα τις καὶ ἐπὶ τούτου τὴν ἐν ἐρημίᾳ βιασθεῖσαν παραλάβοι, κατὰ τὸν νόμον, εἰς παράδειγμα παρθένον· ἔστω γὰρ τὴν καρδίαν τινὸς εἶναι καθαρωτάτην, τὴν δὲ βίαν πεποιηκέναι ἐν τῷ ἀκολάστῳ τὴν φθορὰν τοῦ[2]) σώματος τῆς[3]) σώφρονος. Αὕτη δὴ δοκεῖ μοι σώφρων μὲν πάντως εἶναι ἐν τῷ κρυπτῷ, τῷ δὲ σώματι οὐκέτι εἶναι καθαρὰ, ὁποία πρὸ τῆς βίας ἦν. Ἀλλ' οὐχὶ ἐπεὶ οὐ καθαρὰ, ἤδη καὶ ἀκόλαστος. Ταῦτα καὶ διὰ τό· „ἐλογίζοντο[4]) ἐν ἑαυτοῖς, λέγοντες· ὅτι ἄρτους οὐκ ἐλάβομεν·“ ᾧ ἐπιφέρεται τό· „γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν· ὀλιγόπιστοι, τί διαλογίζεσθε ἐν ἑαυτοῖς;“ καὶ τὰ ἑξῆς· ἔδει γὰρ τὸν

---

[1]) κἂν μή κ. τ. λ. Ita recte Codd. Vatic., Anglican. et Tarinianus (item ed. Huet. ad marginem). Editio vero Huet. (in textu) καὶ μή κ. τ. λ. Paulo post Codd. Vatic. et Tarinianus: τὸ παραπλήσιον καὶ ἐπὶ τῶν λοιπῶν κ. τ. λ. R.

[2]) Ed. R. min. accurate: τῶν.

[3]) Codd. Reg. Vatic., Anglican. et Tarinianus (item ed. H. ad marg.) τῆς σώφρονος. Ed. Huet. in textu τοῦ σώφρονος. R.

[4]) Matth. XVI, 7. — 8. coll. pag. 140. not. 3.

περὶ τῶν ἐν τῷ κρυπτῷ ψόγον ἐξετασθῆναι, καὶ παρακειμένως αὐτῷ τῶν[1]) *ἐν τῷ κρυπτῷ ἔπαινον.*

8. *Θαυμάζω δ' εἰ οἱ μαθηταὶ ᾤοντο, πρὶν σαφηνισθῆναι αὐτοῖς ὑπὸ τοῦ Ἰησοῦ τὸν λόγον, ὅτι ἀπαγορεύει αὐτοῖς ὁ διδάσκαλος καὶ ὁ κύριος, αἰσθητὴν ζύμην Φαρισαίων ἢ Σαδδουκαίων φυλάξασθαι, ὡς οὐ καθαρὰν, καὶ διὰ τοῦτο ἀπαγορευομένην, ἵνα μηδ' ὅτι ἄρτους οὐκ εἰλήφεισαν, τῇ ἐκείνων ζύμῃ χρήσωνται. Τὸ δ' ὅμοιον καὶ*[2]) *ἐπ' ἄλλων μὲν ζητήσαιμεν, ἀρκεῖ δὲ παραδείγματος χάριν τὸ περὶ τῆς Σαμαρείτιδος ἐν τῷ· „πᾶς*[3]) *ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου, διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα." Καὶ γὰρ ἐκεῖ, ὅσον ἐπὶ τῇ λέξει, ἡ Σαμαρεῖτις δόξει οἴεσθαι, περὶ ὕδατος αἰσθητοῦ ἐπαγγέλλεσθαι τὸν Σωτῆρα, λέγοντα· „ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα." Κἀκεῖνα οὖν τροπολογητέον, καὶ συνεξεταστέον ὕδωρ πηγῆς τοῦ Ἰακὼβ, ἀφ' ἧς ἤντλει ἡ Σαμαρεῖτις, ὕδατι τοῦ Ἰησοῦ. Καὶ ἐνταῦθα τὸ ὅμοιον ποιητέον· τάχα γὰρ οὐδὲ ἄρτοι ἦσαν πεφθέντες, ἀλλά τις ζύμη αὐτὸ μόνον ὠμὴ, ἡ διδαχὴ τῶν Φαρισαίων καὶ Σαδδουκαίων.*

Περὶ τῆς ἐν Καισαρείᾳ ἐπερωτήσεως τοῦ Ἰησοῦ, περὶ[4]) *τοῦ τίνα αὐτὸν λέγουσιν οἱ ἄνθρωποι εἶναι.*

9. *„Ἐλθὼν*[5]) *δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας*

---

[1]) Sic recte habebat unus Cod. (item ed. Huet. ad marg.), quem consuluerat Tarinus. R. — Ed. Huet. in textu *τὸν ἐν τῷ κ. τ. λ.*

[2]) Ed. Huet. *καὶ ἄλλων*, sed omnes Mss. *καὶ ἐπ' ἄλλων.* R.

[3]) Ev. Joann. IV, 13. 14. Ed. Knapp. (cfr. ed. nostr. Tom. II. pag. 2. not. 2.) v. 14. *διψήσῃ.*

[4]) Optime Cod. Anglicanus: *περὶ τοῦ τίνα*, male autem ed. Huetii: *περὶ τίνα.* R.

[5]) Matth. XVI, 13. Ed. Knapp. *αὐτοῦ.*

τῆς Φιλίππου, ἠρώτα τοὺς μαθητὰς αὐτοῦ.“ Πυνθάνεται τῶν μαθητῶν ὁ Ἰησοῦς, τίνα λέγουσιν αὐτὸν οἱ ἄνθρωποι εἶναι, ἵν᾽ ἡμεῖς μάθωμεν ἀπὸ τῆς ἀποκρίσεως τῶν ἀποστόλων τὰς διαφόρους περὶ τοῦ Σωτῆρος ἡμῶν ἐν Ἰουδαίοις γενομένας ὑπολήψεις τότε· τάχα δὲ καὶ ἵνα οἱ μαθηταὶ τοῦ Ἰησοῦ διδάσκωνται ἀεὶ περιεργάζεσθαι περὶ τῶν λεγομένων ὑπὸ τῶν ἀνθρώπων περὶ αὐτοῦ· [1]) *ὅπερ πράττουσι συμβαλεῖται πρὸς τὸ, εἴ τι μὲν φαῦλον λέγεται, τούτου τὰς ἀφορμὰς παντὶ τρόπῳ περιαιρεῖν, εἴ τι δὲ ἀστεῖον, τούτου τὰς προφάσεις συναύξειν. Πλὴν ὅρα διὰ τὰ διάφορα ἐν Ἰουδαίοις περὶ τοῦ Ἰησοῦ κινήματα, τίνα τρόπον ἀπό τινων οὐχ ὑγιῶν δογμάτων ἔλεγόν τινες μὲν, ὅτι Ἰωάννης ἦν* [2]) *ὁ Βαπτιστὴς, ὁμοίως Ἡρώδῃ τῷ τετράρχῃ, τῷ εἰπόντι τοῖς παισὶν αὐτοῦ· „οὗτός* [3]) *ἐστιν Ἰωάννης ὁ Βαπτιστής· αὐτὸς* [4]) *ἠγέρθη ἐκ νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ·“ ἄλλοι δὲ, ὅτι Ἡλίας ἐστὶν, ὁ νῦν καλούμενος Ἰησοῦς, ἤτοι γένεσιν ὑπομείνας δευτέραν, ἢ ἔκτοτε* [5]) *ἐν σαρκὶ ζῶν, κατὰ τὸν παρόντα ἐπιφανεὶς χρόνον. Καὶ οἱ φάσκοντες δὲ, ὅτι Ἱερεμίας εἴη ὁ Ἰησοῦς, καὶ οὐχὶ τύπος τοῦ Χριστοῦ ὁ Ἱερεμίας, τάχα ἐκ τῶν εἰρημένων ἐν ταῖς ἀρχαῖς τοῦ Ἱερεμίου περὶ Χριστοῦ ἐκινήθησαν, οὐ πληρωθέντων μὲν ἐν τῷ προφήτῃ τότε, ἀρξαμένων δὲ πληροῦσθαι ἐν τῷ Ἰησοῦ, ὃν „ἔθετο* [6]) *ὁ θεὸς εἰς ἔθνη καὶ*

---

[1]) R. in textu: *αὐτῶν*, in notis: „Codd. Vatic. et Tarinianus: *αὐτῶν*, nec aliter legisse videtur vetus interpres; ed. autem Huetii habet *αὐτοῦ*.

[2]) Ita recte habent Codd. Anglic. et Tarinianus. In aliis, et in ed. H., desideratur *ἦν*. R. — Huet. ad marg. „forsan: *ἐστίν*.“

[3]) Matth. XIV, 2. Edd. N. T. *ἀπο τῶν νεκρῶν*.

[4]) Cod. Vaticanus: *οὗτος ἠγέρθη*. R.

[5]) H. et R. *ἔκτοτε*. R. in notis: „Cod. Tarinianus: *ἢ ἐκτός*.“

[6]) Jerem. I, 10. coll. LXX. virorum versione.

βασιλείας ἐκριζοῦν, καὶ κατασκάπτειν, καὶ ἀπολλύειν,[1]) καὶ ἀνοικοδομεῖν, καὶ μεταφυτεύειν," προφήτην αὐτὸν εἰς ἔθνη γενέσθαι ποιήσας, οἷς ἐκήρυξε τὸν λόγον. Ἀλλὰ καὶ οἱ λέγοντες, ὅτι εἷς τις ἦν τῶν προφητῶν, τοιαῦτα περὶ αὐτοῦ ὑπελάμβανον διὰ τὰ ἐν τοῖς προφήταις, ὡς πρὸς αὐτοὺς μὲν ῥηθέντα, οὐ πεπληρωμένα δὲ ἐπ' αὐτοῖς. Ἀλλ' οἱ μὲν Ἰουδαῖοι, ὡς ἄξιοι τοῦ ἐπὶ τῇ καρδίᾳ αὐτῶν καλύμματος, ἐψευδοδόξουν περὶ τοῦ Ἰησοῦ· Πέτρος[2]) δὲ, ὡς οὐ σαρκὸς καὶ αἵματος μαθητὴς, ἀλλὰ καὶ χωρήσας ἀποκάλυψιν τοῦ ἐν οὐρανοῖς πατρὸς, ὡμολόγησεν αὐτὸν τὸν Χριστὸν τυγχάνειν. Ἦν μὲν οὖν καὶ τὸ ὑπὸ τοῦ Πέτρου λεγόμενον τῷ Σωτῆρι, τό· „σὺ[3]) εἶ ὁ Χριστός·" μὴ γινωσκόμενον ὑπὸ τῶν Ἰουδαίων ὅτι Χριστὸς εἴη, μέγα· μεῖζον δὲ, ὅτι ἠπίστατο αὐτὸν οὐ μόνον Χριστὸν εἶναι, ἀλλὰ καὶ υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος, καὶ διὰ τῶν προφητῶν εἰρηκότος· „ζῶ[4]) ἐγώ·" καί· „ἐμὲ ἐγκατέλιπον, πηγὴν ὕδατος ζῶντος·" καὶ ζωὴ δὲ, ὡς ἀπὸ πηγῆς ζωῆς τοῦ πατρὸς, ὁ εἰπών· „ἐγώ[5]) εἰμι ἡ ζωή." Καὶ πρόσχες ἐπιμελῶς, εἰ μὴ, ὥσπερ οὐ ταὐτόν ἐστι πηγὴ ποταμοῦ καὶ ποταμὸς, οὕτως πηγὴ ζωῆς καὶ ζωή. Καὶ ταῦτα δὲ προσεθήκαμεν, διὰ τὸ προσκεῖσθαι τῷ· „σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ·" τό·[6]) „τοῦ ζῶντος." Ἐξαίρετον γάρ τι ἐχρῆν παραστῆσαι ἐν τῷ λεγομένῳ περὶ τοῦ θεοῦ καὶ πατρὸς τῶν ὅλων, ὡς ζῶντος παρά τε τὴν αὐτοζωὴν καὶ τὰ μετέχοντα αὐτῆς. Ἐπεὶ δὲ εἴπομεν, μὴ ἀπό τινων ὑγιῶν

[1]) H. et R. ἀπολλύειν, LXX. interpretes: ἀπολύειν.

[2]) Ed. Huetii: Πέτρος δ' ὡς κ. τ. λ.

[3]) Matth. XVI, 16.

[4]) Jerem. XXII, 24. — II, 13. LXX. viri ζωῆς pro ζῶντος.

[5]) Ev. Joann. XIV, 6.

[6]) τό, quod necessarium erat, deest in ed. Huetii, et suppletur e Cod. Tariniano. R. — Matth. XVI, 16.

δογμάτων εἰρηκέναι τοὺς ἀποφηναμένους, εἶναι τὸν Ἰησοῦν Ἰωάννην τὸν Βαπτιστὴν, ἤ τινα τῶν ἐπιφερομένων, κατασκευάσωμεν καὶ τοῦτο λέγοντες, ὅτι εἰ παρατετεύχεισαν ἐπὶ τὸ βάπτισμα ἀπεληλυθότι τῷ Ἰησοῦ πρὸς τὸν Ἰωάννην, καὶ βαπτίζοντι τῷ Ἰωάννῃ τὸν Ἰησοῦν, ἢ[1]) εἰ ἀκηκόεισαν παρά τινος, οὐκ ἂν ἔλεγον Ἰησοῦν εἶναι τὸν Ἰωάννην. Ἀλλὰ καὶ εἰ νενοήκασι τὸ δόγμα ἀφ᾽ οὗ εἶπεν ὁ Ἰησοῦς· „εἰ[2]) θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι·“ καὶ ὡς ἔχοντες ὦτα ἀκηκόεισαν τοῦ λελεγμένου,[3]) οὐκ ἂν εἰπόν τινες αὐτὸν εἶναι Ἠλίαν. Καὶ οἱ εἰπόντες αὐτὸν εἶναι Ἱερεμίαν, εἰ ἑώρων ὅτι οἱ πλεῖστοι τῶν προφητῶν συμβολικά τινα αὐτοῦ ἀνειλήφασιν, οὐκ ἂν ἔλεγον αὐτὸν εἶναι Ἱερεμίαν· ὁμοίως δὲ οὐδὲ ἄλλοι ἕνα τινὰ τῶν προφητῶν.

10. *Τάχα δὲ, ὅπερ ἀποκριθεὶς Σίμων Πέτρος εἶπεν* ἐν τῷ· „σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ τοῦ[4]) ζῶντος·“ ἐὰν ὡς ὁ Πέτρος λέγωμεν, οὐ σαρκὸς καὶ αἵματος ἡμῖν ἀποκαλύψαντος, ἀλλὰ φωτὸς ἡμῶν τῇ καρδίᾳ ἐλλάμψαντος ἀπὸ τοῦ ἐν οὐρανοῖς πατρὸς, καὶ αὐτοὶ γινόμεθα ὅπερ καὶ ὁ Πέτρος, ὁμοίως αὐτῷ μακαριζόμενοι, διὰ τὸ τὰ αἴτια τοῦ μακαρισμοῦ ἐκείνῳ καὶ ἐφ᾽ ἡμᾶς ἐφθακέναι, τῷ σάρκα καὶ αἷμα μὴ ἀποκεκαλυφέναι ἡμῖν περὶ τοῦ τὸν Ἰησοῦν εἶναι Χριστὸν, υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος, ἀλλὰ τὸν ἐν οὐρανοῖς πατέρα, ἀπ᾽ αὐτῶν τῶν οὐρανῶν, ἵνα ἐν οὐρανοῖς πολιτευσώμεθα, ἀποκαλύψαντος ἡμῖν ἀποκάλυψιν, ἀνάγουσαν εἰς τοὺς οὐρανοὺς τοὺς

---

[1]) Codd. Vatican. et Tarinianus (item ed. Huet. ad marg.): ἢ εἰ ἀκηκόεισαν. In ed. (in textu ed.) Huet. deest ἤ. R.

[2]) Matth. XI, 14.

[3]) H. ad marg., R. in notis: „Cod. Reg. λεγομένου.“

[4]) Deest h. l., cfr. pag. 145. lin. 4. et 12. a fine, τοῦ in ed. R. — Matth. XVI, 16.

περιαιροῦντας μὲν πᾶν κάλυμμα ἀπὸ τῆς καρδίας, ἀναλαβόντας δὲ τὸ πνεῦμα [1]) τῆς σοφίας τοῦ θεοῦ καὶ τῆς ἀποκαλύψεως. Εἰ δὲ φήσαντες καὶ ἡμεῖς ὡς ὁ Πέτρος· „σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ τοῦ [2]) ζῶντος·“ οὐχ ὡς σαρκὸς καὶ αἵματος ἡμῖν ἀποκαλυψάντων, ἀλλὰ φωτὸς ἡμῶν τῇ καρδίᾳ ἐλλάμψαντος ἀπὸ τοῦ ἐν οὐρανοῖς πατρὸς, γινόμεθα Πέτρος, καὶ ἡμῖν ἂν λέγοιτο ἀπὸ τοῦ Λόγου τό· „σὺ εἶ Πέτρος,“ καὶ τὰ ἑξῆς. Πέτρα [3]) γὰρ πᾶς ὁ Χριστοῦ μαθητὴς, ἀφ᾽ οὗ ἔπινον οἱ ἐκ πνευματικῆς [4]) ἀκολουθούσης πέτρας, καὶ ἐπὶ πᾶσαν τὴν τοιαύτην πέτραν οἰκοδομεῖται ὁ ἐκκλησιαστικὸς πᾶς λόγος, καὶ ἡ κατ᾽ αὐτὸν πολιτεία· ἐν ἑκάστῳ γὰρ τῶν τελείων, ἐχόντων τὸ ἄθροισμα τῶν συμπληρούντων [5]) τὴν μακαριότητα λόγων, καὶ ἔργων, καὶ νοημάτων, ἔστιν ἡ ὑπὸ τοῦ θεοῦ οἰκοδομουμένη ἐκκλησία.

11. *Εἰ δὲ ἐπὶ τὸν ἕνα ἐκεῖνον Πέτρον νομίζεις ὑπὸ τοῦ θεοῦ οἰκοδομεῖσθαι τὴν πᾶσαν ἐκκλησίαν μόνον, τί ἂν φήσαις περὶ Ἰωάννου τοῦ τῆς βροντῆς υἱοῦ, ἢ ἑκάστου τῶν ἀποστόλων; Ἄλλως τε ἆρα τολμήσωμεν λέγειν, ὅτι Πέτρου μὲν ἰδίως πύλαι ᾅδου οὐ κατισχύσουσι, τῶν δὲ λοιπῶν ἀποστόλων, καὶ τῶν τελείων κατισχύσουσιν; Οὐχὶ δὲ καὶ ἐπὶ πάντων, καὶ ἐφ᾽ ἑκάστῳ αὐτῶν τὸ προειρημένον, τό· „πύλαι [6]) ᾅδου οὐ κατισχύσουσιν αὐτῆς·“ γίνεται; καὶ τό· „ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν;“ Ἆρα δὲ τῷ Πέτρῳ μόνῳ δίδονται ὑπὸ τοῦ κυρίου αἱ κλεῖδες τῆς τῶν οὐρανῶν βασιλείας, καὶ οὐδεὶς ἕτερος τῶν μακαρίων*

---

[1]) Ephes. I, 17.

[2]) Deest h. quoque l., cfr. pag. 146. not. 4., τοῦ in ed. R. — Matth. XVI, 16. — 17. — 18.

[3]) In Cod. Tarin. legitur: *Πέτρος γάρ κ. τ. λ.* R.

[4]) I Cor. X, 4.

[5]) Alius (?) Codex: *πληρούντων.* R.

[6]) Matth. XVI, 18.

αὐτὰς λήψεται; Εἰ δὲ κοινόν ἐστι καὶ πρὸς ἑτέρους τό· „δώσω [1]) σοὶ τὰς κλεῖδας τῆς βασιλείας τῶν οὐρανῶν·“ πῶς οὐχὶ καὶ πάντα τά τε προειρημένα, καὶ τὰ ἐπιφερόμενα, ὡς πρὸς Πέτρον λελεγμένα; Καὶ γὰρ ἐνταῦθα μὲν ὡς πρὸς Πέτρον εἰρῆσθαι δοκεῖ τά· „ὅσα [2]) ἂν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς,“ καὶ τὰ ἑξῆς· ἐν δὲ τῷ κατὰ Ἰωάννην, δοὺς πνεῦμα ἅγιον ὁ Σωτὴρ τοῖς μαθηταῖς διὰ τοῦ ἐμφυσήματος, φησί· „λάβετε [3]) πνεῦμα ἅγιον,“ καὶ τὰ ἑξῆς. Πολλοὶ τοίνυν φήσουσι πρὸς τὸν Σωτῆρα· „σὺ [4]) εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος·“ ἀλλ' οὐ πάντες οἱ τοῦτο φάσκοντές ἐροῦσιν αὐτῷ, οὐδαμῶς μὲν ἀπὸ σαρκὸς καὶ αἵματος ἀποκαλυψάντων τοῦτο μεμαθηκότες, αὐτοῦ δὲ τοῦ ἐν τοῖς οὐρανοῖς πατρὸς ἀφελόντος τὸ ἐπικείμενον τῇ καρδίᾳ αὐτῶν κάλυμμα, ἵνα μετὰ τοῦτο ἀνακεκαλυμμένῳ [5]) προσώπῳ τὴν δόξαν τοῦ κυρίου κατοπτριζόμενοι, ἐν πνεύματι θεοῦ λαλῶσι, λέγοντες περὶ αὐτοῦ τό· „κύριος Ἰησοῦς·“ καὶ πρὸς αὐτὸν τό· „σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος.“ Καὶ εἴ τις λέγει τοῦτο πρὸς αὐτὸν, οὐ σαρκὸς καὶ αἵματος ἀποκαλυψάντων αὐτῷ, ἀλλὰ τοῦ ἐν τοῖς οὐρανοῖς πατρὸς, τεύξεται τῶν εἰρημένων, ὡς μὲν τὸ γράμμα τοῦ εὐαγγελίου λέγει, πρὸς ἐκεῖνον τὸν Πέτρον, ὡς δὲ τὸ πνεῦμα αὐτοῦ διδάσκει, πρὸς πάντα τὸν γενόμενον, ὁποῖος ὁ Πέτρος ἐκεῖνος. Παρώνυμοι γὰρ πέτρας πάντες οἱ μιμηταὶ Χριστοῦ, τῆς πνευματικῆς [6]) ἀκολουθούσης πέτρας τοῖς σωζομένοις, ἵνα ἐξ αὐτῆς πίνωσι τὸ πνευματικὸν πόμα.

---

[1]) Matth. XVI, 19. Ed. Knapp. *τὰς κλεῖς.*

[2]) Ibid. XVI, 19. Edd. N. T. *καὶ ὃ ἂν δήσῃς* (ed. Knapp. *κ. ὃ ἐὰν δήσῃς*) —, *ἔσται δεδεμένον κ. τ. λ.*

[3]) Ev. Joann. XX, 22.

[4]) Matth. XVI, 16. — 17.

[5]) II Cor. III, 18. — Matth. XVI, 16.

[6]) I Cor. X, 4.

Οὗτοι δὲ παρώνυμοί εἰσι τῆς πέτρας ὡς Χριστός. Ἀλλὰ καὶ Χριστοῦ μέλη ὄντες, παρώνυμοι ἐχρημάτισαν Χριστιανοί· πέτρας δὲ, Πέτροι. Ἀπὸ δὲ τούτων ἀφορμὴν λαβὼν φήσεις, τοὺς δικαίους παρωνύμους εἶναι Χριστοῦ τῆς δικαιοσύνης, καὶ τοὺς σοφοὺς Χριστοῦ τῆς σοφίας. Καὶ οὕτως ποιήσεις ἐπὶ τῶν λοιπῶν αὐτοῦ ὀνομάτων παρώνυμα ἐπὶ τοὺς ἁγίους· καὶ πρὸς πάντας τοὺς τοιούτους ἂν λέγοιτο ἀπὸ τοῦ Σωτῆρος τὸ λέγον· „σὺ [1]) εἶ Πέτρος,“ καὶ τὰ ἑξῆς, ἕως τοῦ· „οὐ κατισχύσουσιν [2]) αὐτῆς.“ Τίνος δὲ „αὐτῆς;“ Ἆρα γὰρ τῆς πέτρας, ἐφ' ἣν [3]) Χριστὸς οἰκοδομεῖ τὴν ἐκκλησίαν; ἢ τῆς ἐκκλησίας; ἀμφίβολος γὰρ ἡ φράσις· ἢ, ὡς ἑνὸς καὶ τοῦ αὐτοῦ, τῆς πέτρας καὶ τῆς ἐκκλησίας; Τοῦτο δ' οἶμαι ἀληθὲς τυγχάνειν· οὔτε γὰρ τῆς πέτρας, ἐφ' ἣν [4]) ὁ Χριστὸς οἰκοδομεῖ τὴν ἐκκλησίαν, οὔτε τῆς ἐκκλησίας πύλαι ᾅδου κατισχύσουσιν, ὡς οὐδὲ ὁδὸς ὄφεως [5]) ἐπὶ πέτρας, κατὰ τὸ ἐν Παροιμίαις γεγραμμένον, εὑρεθείη ἄν. Εἰ δέ τινος πύλαι ᾅδου κατισχύσουσιν, οὔτε πέτρα ὁ τοιοῦτος ἂν εἴη, ἐφ' ἣν ὁ Χριστὸς οἰκοδομεῖ τὴν ἐκκλησίαν, οὔτε ἡ ὑπὸ Χριστοῦ οἰκοδομουμένη ἐπὶ τὴν πέτραν ἐκκλησία· ἥ τε γὰρ πέτρα ἄβατός ἐστιν ὄφει, καὶ ἰσχυροτέρα τῶν ἀντιπαλαιουσῶν αὐτῇ πυλῶν ᾅδου, ὡς διὰ τὴν ἰσχὺν αὐτῆς μὴ κατισχύειν αὐτῆς τὰς πύλας τοῦ ᾅδου· ἡ δὲ [6]) ἐκκλησία, ὡς Χριστοῦ οἰκοδομὴ, τοῦ οἰκοδομήσαντος [7]) ἑαυτοῦ τὴν οἰκίαν φρονίμως ἐπὶ τὴν πέτραν, ἀνεπίδεκτός ἐστι πυλῶν ᾅδου, κατισχυουσῶν

---

[1]) Matth. XVI, 18.
[2]) Ed. Huet. h. l. min. recte *κατισχύσωσιν*.
[3]) H. et R. h. l. et pag. huj. lin. 8. a fine *ἐφ' ἧ*
[4]) Iidem h. l., cfr. pag. huj. not. 3., *ἐφ' ἧς*.
[5]) Prov. XXX, 19.
[6]) H. et R. *ἥτε ἐκκλησία*.
[7]) Matth. VII, 24.

μὲν παντὸς ἀνθρώπου τοῦ ἔξω τῆς πέτρας καὶ τῆς ἐκκλησίας, οὐδὲν δὲ[1]*) δυναμένων πρὸς αὐτήν.*

12. *Νοήσαντες δὲ, ὡς ἑκάστη τῶν ἁμαρτιῶν, δι᾿ ὧν*[2]*) ἐστιν εἰς ᾅδου γενέσθαι, πύλη ἐστὶν ᾅδου, καταληψόμεθα ὅτι ἡ ἔχουσα „σπῖλον,*[3]*) ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων," καὶ διὰ τὴν κακίαν μηδὲ ἁγία, μηδὲ ἄμωμος τυγχάνουσα ψυχὴ, οὔτε πέτρα ἐστὶν, ἐφ᾿ ἣν ὁ Χριστὸς οἰκοδομεῖ, οὔτε ἐκκλησία, οὔτε ἐκκλησίας μέρος, ἣν ἐπὶ τὴν πέτραν ὁ Χριστὸς οἰκοδομεῖ. Ἐὰν δέ τις πρὸς ταῦτα δυσωπεῖν ἡμᾶς*[4]*) βούλεται, διὰ τὰ πλήθη τῶν πιστεύειν νομιζομένων ἐκκλησιαστικῶν, λεκτέον αὐτῷ οὐ μόνον τό· „πολλοὶ*[5]*) κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί·" ἀλλὰ καὶ τὸ ὑπὸ τοῦ Σωτῆρος πρὸς τοὺς προσιόντας αὐτῷ λελεγμένον, ὡς ἐν τῷ κατὰ Λουκᾶν εἴρηται, οὕτως ἔχον· „ἀγωνίζεσθε*[6]*) εἰσελθεῖν διὰ τῆς στενῆς θύρας, ὅτι πολλοὶ, λέγω ὑμῖν, ζητήσουσιν εἰσελθεῖν διὰ*[7]*) τῆς στενῆς, καὶ οὐκ ἰσχύσουσι·" καὶ τὸ ἐν τῷ κατὰ Ματθαῖον*

---

[1]) Deest *δέ* in edd. H. et R.

[2]) H. in textu: *δι᾿ ὧν Χριστὸς ἐν ᾅδου γενέσθαι*, in notis: „ita Cod. Holm. et Erasmus, qui vertit: *ob quae Christus iturus erat ad inferos;* at vetus interpres: *per quod* (?) *descenditur ad inferos*, cui respondet Cod. Reg. *δι᾿ ὧν ἐστιν εἰς ᾅδου γενέσθαι*, quae genuina lectio est." — R., ut nos, in textu: *δι᾿ ὧν ἐστιν εἰς κτλ.*, in notis: „ita legerat vetus etc. — *inferos*, nec aliter legere est in Codd. Reg., Vaticano et Tariniano. Verumtamen Codd. Holm. et Anglicanus etc."

[3]) Ephes. V, 27.

[4]) Codd. Reg. (H. ad marg.) et Tarin., nec non Erasmus: *ἡμᾶς*. Alii Codd. et vetus interpres (itemque ed. H. in textu): *ὑμᾶς*. R.

[5]) Matth. XX, 16. XXII, 14.

[6]) Luc. XIII, 24. Ed. Knapp. *πύλης* pro *θύρας*.

[7]) Desunt verba: *διὰ τῆς στενῆς* in edd. N. T., desunt eadem in proxime seqq., cfr. pag. 151. not. 2.

δὲ γεγραμμένον τοῦτον τὸν τρόπον ῥητέον· „ὅτι [1]) στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν.“ Προσέχων δὲ τῷ· „ὅτι [2]) πολλοὶ, λέγω [3]) ὑμῖν, ζητήσουσιν εἰσελθεῖν, καὶ οὐκ ἰσχύσουσι·“ συνήσεις, ὅτι τοῦτο ἐπὶ τοὺς αὐχοῦντας μὲν εἶναι ἀπὸ τῆς ἐκκλησίας, ἀσθενῶς δὲ καὶ παρὰ τὸν λόγον βιοῦντας ἀναφέρεται. Οἱ μὲν οὖν [4]) μὴ ἰσχύοντες εἰσελθεῖν τῶν ζητούντων εἰσελθεῖν, τῷ πύλας ᾅδου κατισχύειν αὐτῶν οὐκ ἂν ἰσχύσουσιν· ὧν δὲ πύλαι ᾅδου οὐ κατισχύσουσιν, οὗτοι ζητοῦντες εἰςελθεῖν ἰσχύσουσι, πάντα ἰσχύοντες ἐν τῷ ἐνδυναμοῦντι αὐτοὺς Χριστῷ [5]) Ἰησοῦ. Καὶ οὕτως ἕκαστος [6]) μὲν τῶν πατέρων μοχθηρᾶς γνώμης, ἀρχιτέκτων γέγονε πύλης τινὸς ᾅδου· οἱ δὲ συνεργοὶ τῇ τοῦ ἀρχιτέκτονος τῶν τοιούτων διδασκαλίᾳ, ὑπουργοί τινες καὶ οἰκονόμοι, δουλεύοντες μοχθηρῷ ἀρχιτεκτονικῷ ἀσεβείας λόγῳ. Πολλῶν δὲ καὶ δυσαριθμήτων οὐσῶν τῶν ᾅδου πυλῶν, οὐδεμία πύλη ᾅδου κατισχύσει τῆς πέτρας, ἢ τῆς [7])

---

[1]) Matth. VII, 14. Edd. N. T. τί στενὴ κ. τ. λ.

[2]) Luc. XIII, 24. coll. pag. 150. not. 7.

[3]) Ed. Huet. min. accurate h. l. λέγων.

[4]) Desideratur οὖν in ed. Huetiana.

[5]) Sic habent Codd. Anglic., Vatic. et Tarinianus (item ed. H. ad oram); ed. autem Huetii in textu: κυρίῳ Ἰησοῦ. R.

[6]) H. et R. in notis: „sic habent omnes Mss. in textu, sed ad oram Cod. Holm. adscriptum erat ab eadem manu: ἔστι τις πατὴρ μοχθηρᾶς γνώμης. Erasmus *atque ita quisque qui pater est verae sententiae*; unde sic (?) eum legisse conjectare possumus: καὶ οὕτως ἕκαστος μὲν ὅς ἐστί τις πατήρ. Priorem tamen lectionem retinuimus vel ob haec verba, quae jacent paulo inferius: ἤδη δὲ καὶ ἕκαστος τῶν ἑτεροδόξων, — ᾅδου πύλην.“

[7]) Deest τῆς in textu edd. H. et R.; H. tamen ad oram: „Cod. Reg. τῆς.“

ἐκκλησίας ἣν ἐπ' αὐτῇ Χριστὸς οἰκοδομεῖ. Πλὴν ἔχουσί τινα ἰσχὺν αὗται αἱ πύλαι, ἀφ' ἧς τινων μὲν κρατοῦσι, τῶν μὴ ἀντιτεινόντων καὶ ἀνταγωνιζομένων πρὸς αὐτάς· ὑφ' ἑτέρων δὲ νικῶνται, τῶν διὰ τὸ μὴ ἀφίστασθαι τοῦ εἰπόντος· „ἐγώ[1]) εἰμι ἡ θύρα·“ πάσας τὰς ᾅδου πύλας καθελόντων ἀπὸ τῆς ἑαυτῶν ψυχῆς. Καὶ τοῦτο δὲ[2]) χρὴ εἰδέναι, ὅτι, ὥσπερ αἱ πόλεων πύλαι ὀνόματα ἔχουσιν ἑκάστη οἰκεῖα, τὸν αὐτὸν τρόπον αἱ τοῦ ᾅδου πύλαι ὀνομασθεῖεν ἂν κατὰ τὰ εἴδη τῶν ἁμαρτημάτων, ὡς μίαν μὲν ὀνομάζεσθαι πύλην ᾅδου, πορνείαν, δι' ἧς ὁδεύουσιν οἱ πορνεύοντες, ἑτέραν δὲ ἄρνησιν, δι' ἧς ἀρνησίθεοι εἰς ᾅδου καταβαίνουσιν. Ἤδη δὲ καὶ ἕκαστος τῶν ἑτεροδόξων, καὶ γεννησάντων ψευδώνυμόν τινα γνῶσιν, ᾠκοδόμησεν ᾅδου πύλην, ἄλλην μὲν Μαρκίων, καὶ Βασιλίδης ἄλλην, καὶ Οὐαλεντῖνος ἄλλην.

13. *Ἐνταῦθα μὲν οὖν πύλαι ᾅδου εἴρηνται· ἐν δὲ τοῖς ψαλμοῖς ὁ προφήτης εὐχαριστεῖ λέγων· „ὁ ὑψῶν[3]) με ἐκ τῶν πυλῶν τοῦ θανάτου, ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.“ Καὶ ἐκ τούτου δὲ μανθάνομεν, ὅτι μήποτε οὐχ οἷόν τέ ἐστιν πάσας δυνηθῆναι ἐξαγγεῖλαι τὰς αἰνέσεις τινὰ τοῦ θεοῦ, μὴ ὑψωθέντα ἐκ τῶν πυλῶν τοῦ θανάτου, καὶ γενόμενον παρὰ ταῖς πύλαις Σιών. Πύλαι δὲ Σιὼν ἐναντίως νοηθεῖεν ταῖς πύλαις τοῦ θανάτου, ὡς εἶναι πύλην μὲν θανάτου, τὴν ἀκολασίαν, πύλην δὲ Σιὼν, τὴν σωφροσύνην. Καὶ οὕτω θανάτου μὲν, τὴν ἀδικίαν· Σιὼν δὲ, τὴν δικαιοσύνην, ἥντινα δεικνὺς ὁ προφήτης φησίν· „αὕτη[4]) ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ.“ Καὶ πάλιν τὴν μὲν*

---

[1]) Ev. Joann. X, 7. 9.

[2]) Desideratur *δέ* in ed. Huetiana.

[3]) Psalm. IX, 15. — Ed. R. min. recte *ἐξαγγέλω*.

[4]) Psalm. CXVIII, 20. (CXVII.)

δειλίαν, θανάτου πύλην· τὴν δὲ ἀνδρείαν, Σιών· καὶ ἀφροσύνην μὲν, θανάτου· τὴν δὲ ἐναντίαν αὐτῇ φρόνησιν, τῆς Σιών. Πάσαις δὲ ταῖς πύλαις τῆς ψευδωνύμου γνώσεως μία ἐναντία ἐστὶ πύλη, ἡ τῆς ἀψεύδους γνώσεως. Ἐπίστησον δὲ, εἰ δύνασαι διὰ τό· „οὐκ ἔστιν[1]) ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα," καὶ τὰ λοιπὰ, λέγειν ἑκάστην ἐξουσίαν, καὶ κοσμοκράτορα τοῦ σκότους τούτου, καὶ πνευματικὸν τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις, πύλην εἶναι ᾅδου καὶ πύλην θανάτου. Πύλαι οὖν ᾅδου λέγοιντο καὶ αἱ ἀρχαὶ, καὶ ἐξουσίαι, πρὸς ἃς ἡμῖν ἡ πάλη· πύλαι δὲ δικαιοσύνης, τὰ λειτουργικὰ[2]) πνεύματα. Ὥσπερ δὲ ἐπὶ τῶν κρειττόνων πολλαὶ προλέγονται πύλαι, καὶ μετὰ τὰς πύλας μία ἐν τῷ· „ἀνοίξατέ μοι[3]) πύλας δικαιοσύνης, εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ κυρίῳ·" καί· „αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ·" οὕτω καὶ ἐπὶ τῶν ἐναντίων, πολλαὶ μὲν πύλαι ᾅδου, καὶ θανάτου, ἑκάστη ἐξουσία· ὑπὸ[4]) πάσας δὲ ταύτας αὐτὸς ὁ πονηρός. Καὶ προσέχωμέν γε ἐφ' ἑκάστης ἁμαρτίας, ὡς εἰς πύλην ᾅδου τινὰ καταβαίνοντες, εἰ ἁμαρτάνομεν· ἀλλὰ ὑψούμενοι ἐκ τῶν πυλῶν τοῦ θανάτου, ἐξαγγείλωμεν πάσας τὰς αἰνέσεις τοῦ κυρίου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών· οἷον ἐν μιᾷ πύλῃ τῆς θυγατρὸς Σιὼν, τῇ καλουμένῃ σωφροσύνῃ, ἐξαγγελοῦμεν ἀπὸ σωφροσύνης τὰς αἰνέσεις τοῦ θεοῦ, καὶ ἐν ἄλλῃ, τῇ δικαιοσύνῃ, ἀπὸ

---

[1]) Ephes. VI, 12. Ed. Lachm. ὑμῖν.

[2]) Hebr. I, 14.

[3]) Psalm. CXVIII, 19. (CXVII.). — 20.

[4]) H. et R. in textu ὑπό, H. tamen ad oram: „scrib. ὑπέρ." Idem in notis: „vetus interpres, et Erasmus: *super omnes autem*, etc. videntur legisse: ὑπέρ. Codd. Holm. et Reg." (R. in notis: omnes nostri Codd. Mss.) „ὑπό, quod respondet his (cfr. pag. huj. lin. 13.): μετὰ τὰς πύλας μία."

δικαιοσύνης τὰς αἰνέσεις τοῦ θεοῦ· καὶ ἁπαξαπλῶς ἐν πᾶσιν οἷς γινόμεθα ἐπαινετοῖς, ἐν τούτοις γινόμεθα ἔν τινι πύλῃ τῆς θυγατρὸς Σιὼν, κατ᾽ ἐκείνην ἐξαγγέλλοντες αἴνεσίν τινα τοῦ θεοῦ. Ἐξεταστέον δὲ, πῶς ἔν τινι τῶν δώδεκα λέλεκται· „ἐμίσησαν[1]) ἐν πύλαις ἐλέγχοντα, καὶ λόγον ὅσιον ἐβδελύξαντο.“ Μήποτε οὖν, ὁ ἐν πύλαις ἐλέγχων, ἐστὶν ἀπὸ πυλῶν θυγατρὸς Σιὼν, τοὺς ἐν τοῖς ἐναντίοις τῆς πύλης ταύτης γενομένους ἁμαρτήμασι, καὶ πυλῶν ᾅδου ἢ θανάτου. Εἰ δὲ μὴ οὕτως ἀκούεις τοῦ· „ἐμίσησαν ἐν πύλαις ἐλέγχοντα·“ ἤτοι παρελκόντως ἔσται εἰρημένον τὸ „ἐν πύλαις,“ ἢ ζήτει, πῶς ἂν ἄξιον προφητικοῦ πνεύματος εἴη τὸ λελεγμένον.

14. Μετὰ[2]) ταῦτα ἴδωμεν, πῶς λέλεκται τῷ Πέτρῳ, καὶ παντὶ Πέτρῳ τό· „δώσω[3]) σοὶ τὰς κλεῖδας τῆς βασιλείας τῶν οὐρανῶν.“ Καὶ πρῶτόν γε νομίζω ἀκολούθως λελέχθαι τῷ· „πύλαι[4]) ᾅδου οὐ κατισχύσουσιν αὐτῆς·“ τό· „δώσω σοὶ τὰς κλεῖδας τῆς βασιλείας τῶν οὐρανῶν.“ Ἄξιος γὰρ ἀπὸ τοῦ αὐτοῦ Λόγου λαβεῖν ἐστι τὰς κλεῖδας τῆς τῶν οὐρανῶν βασιλείας, ὁ φραξάμενος πρὸς τὰς τοῦ ᾅδου πύλας, ἵνα μὴ κατισχύσωσιν αὐτοῦ· οἱονεὶ ἆθλα λαμβάνων, τοῦ μηδὲν δεδυνῆσθαι κατ᾽ αὐτοῦ τὰς τοῦ ᾅδου πύλας, τὰς κλεῖδας τῆς τῶν οὐρανῶν βασιλείας, ἵν᾽ ἑαυτῷ ἀνοίγῃ τὰς κεκλεισμένας πύλας τοῖς νικωμένοις ὑπὸ τῶν τοῦ ᾅδου πυλῶν. Καὶ εἰσέρχεται, ὡς μὲν σώφρων, διά τινος ἀνοιγομένης σωφροσύνης πύλης, ὑπὸ κλειδὸς ἀνοιγούσης σωφροσύνην· καὶ δι᾽ ἑτέρας, ὡς δίκαιος, δικαιοσύνης πύλης, ἀνοιγομένης ὑπὸ κλειδὸς δικαιοσύνης. Καὶ οὕτως ἐπὶ τῶν

---

[1]) Amos. V, 10.

[2]) Aegre μετά desideratur in ea, quae Coloniae prodiit, ed. Huetiana.

[3]) Matth. XVI, 19. coll. pag. 148. not. 1.

[4]) Ibid. XVI, 18. — 19. coll. pag. huj. not. 2.

λοιπῶν ἀρετῶν. Οἶμαι γὰρ, ὅτι ὑπὲρ ἑκάστης ἀρετῆς τῆς γνώσεως, τινὰ σοφίας μυστήρια κατάλληλα τῷ εἴδει τῆς ἀρετῆς ἀνοίγεται τῷ κατ᾽ ἀρετὴν βιώσαντι, διδόντος τοῦ Σωτῆρος τοῖς μὴ κρατηθεῖσιν ὑπὸ τῶν τοῦ ᾅδου πυλῶν τοσαύτας κλεῖδας, ὅσαι εἰσὶν αἱ ἀρεταὶ, ἀνοιγούσας ἰσαρίθμους πύλας, καταλλήλους κατὰ τὴν ἀποκάλυψιν τῶν μυστηρίων ἑκάστη ἀρετῇ. Τάχα δὲ καὶ ἑκάστη ἀρετὴ οὐρανοῦ[1]) *ἐστι βασιλεία, καὶ πᾶσα ἅμα βασιλεία τῶν οὐρανῶν· ὡς κατὰ τοῦτο ἤδη ἐν βασιλείᾳ εἶναι οὐρανῶν τὸν κατὰ τὰς ἀρετὰς βιοῦντα, ὡς κατὰ τοῦτο τό· „μετανοεῖτε· ἤγγικε*[2]) *γὰρ ἡ βασιλεία τῶν οὐρανῶν·“ οὐκ ἐπὶ χρόνον*[3]) *ἀναφέρεσθαι, ἀλλὰ ἐπὶ τὰς πράξεις, καὶ τὴν διάθεσιν· ὁ Χριστὸς γὰρ, ἡ πᾶσα ἀρετὴ, ἐπιδεδήμηκε, καὶ λαλεῖ, καὶ διὰ τοῦτο ἐντός ἐστι τῶν αὐτοῦ μαθητῶν ἡ βασιλεία τοῦ θεοῦ, καὶ οὐχὶ*[4]) *ὧδε, καὶ ὧδε. Ὅρα δὲ, ὅσην ἔχει ἐξουσίαν ἡ πέτρα, ἐφ᾽ ἣν ὑπὸ Χριστοῦ οἰκοδομεῖται ἡ ἐκκλησία, καὶ πᾶς ὁ λέγων· „σὺ*[5]) *εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὥστε τὰς κρίσεις μένειν βεβαίας τούτου, ὡς κρίνοντος·“ ἐν αὐτῷ τοῦ θεοῦ, ἵνα ἐν αὐτῷ τῷ κρίνειν μὴ κατισχύσωσιν αὐτοῦ πύλαι ᾅδου. Τοῦ μὲν οὖν ἀδίκως κρίνοντος, καὶ μὴ κατὰ λόγον θεοῦ δεσμεύοντος ἐπὶ*

---

[1]) H. et R. in textu recte *οὐρανοῦ;* H. ad oram: „Cod. Reg. *οὐρανῶν.*“ Idem in notis: „sic (scil. *οὐρανοῦ*) Cod. Holmiensis. Erasmus: *et fortassis unaquaeque virtus est regnum coelorum;* haec vero praetermisit: *καὶ πᾶσα ἅμα βασιλεία τῶν οὐρανῶν.* Cod. Reg. habet: *τάχα δὲ καὶ ἑκάστη ἀρετὴ οὐρανῶν ἐστι βασιλεία, καὶ πᾶσα ἅμα βασιλεία τῶν οὐρανῶν. Οὐκ ἐπὶ χρόνον ἀναφέρεσθαι.* Quae postrema verba loco suo mota sunt, et post aliquot versus rejicienda.“

[2]) Matth. III, 2. IV, 17.

[3]) Ed. Coloniensis min. recte: *χρόνων.*

[4]) Ed. Colon. *οὐχ ὧδε κ. τ. λ.* Luc. XVII, 21.

[5]) Matth. XVI, 16.

γῆς, μηδὲ κατὰ βούλησιν αὐτοῦ λύοντος ἐπὶ γῆς, πύλαι ᾅδου κατισχύουσιν· οὗ δὲ πύλαι ᾅδου οὐ κατισχύουσιν, οὗτος δικαίως κρίνει. Διὸ ἔχει τὰς κλεῖδας τῆς βασιλείας τῶν οὐρανῶν, ἀνοίγων τοῖς λελυμένοις[1]) *ἐπὶ γῆς, ἵνα καὶ ἐν οὐρανοῖς ὦσι λελυμένοι, καὶ ἐλεύθεροι· καὶ κλείων τοῖς κρίσει δικαίᾳ αὐτοῦ δεδεμένοις ἐπὶ γῆς, ἵνα καὶ ἐν οὐρανοῖς ὦσι δεδεμένοι, καὶ κεκριμένοι. Ἐπεὶ δὲ οἱ τὸν τόπον τῆς ἐπισκοπῆς ἐκδικοῦντες, χρῶνται τῷ ῥητῷ, ὡς Πέτρος, καὶ τὰς κλεῖδας τῆς τῶν οὐρανῶν βασιλείας ἀπὸ τοῦ Σωτῆρος εἰληφότες, διδάσκουσί τε τὰ ὑπ᾽ αὐτῶν δεδεμένα, τουτέστι καταδεδικασμένα, καὶ ἐν οὐρανοῖς δεδέσθαι, καὶ τὰ ὑπ᾽ αὐτῶν ἄφεσιν εἰληφότα καὶ ἐν οὐρανοῖς λελύσθαι, λεκτέον, ὅτι ὑγιῶς λέγουσιν, εἰ ἔχουσιν ἔργον, δι᾽ ὃ εἴρηται ἐκείνῳ τῷ Πέτρῳ· „σὺ*[2]) *εἶ Πέτρος·“ καὶ εἰ τηλικοῦτοί εἰσιν, ὡς ἐπ᾽ αὐτοῖς ὑπὸ Χριστοῦ οἰκοδομεῖσθαι τὴν ἐκκλησίαν, καὶ ἐπ᾽ αὐτοὺς εὐλόγως τοῦτο ἀναφέροιτ᾽ ἄν· πύλαι δὲ ᾅδου οὐκ ὀφείλουσι κατισχύειν τοῦ θέλοντος δεσμεῖν καὶ λύειν. Εἰ δὲ σειραῖς τῶν ἁμαρτημάτων αὐτοῦ ἔσφιγκται,*[3]) *μάτην καὶ δεσμεῖ καὶ λύει. Καὶ τάχα δύνασαι εἰπεῖν· ἐν τοῖς ἐν τῷ σοφῷ οὐρανοῖς, ταῖς ἀρεταῖς, δέδεται ὁ φαῦλος, καὶ πάλιν δὲ λέλυται ἐν αὐταῖς ὁ σπουδαῖος, καὶ ἀμνηστίαν λαβὼν τῶν πρὸ τῆς ἀρετῆς αὐτῷ ἡμαρτημένων. Ὥσπερ δὲ τὸν μὴ ἔχοντα σειρὰς ἁμαρτιῶν, μηδὲ ἁμαρτίας παραβαλλομένας σχοινίῳ μακρῷ,*[4]) *ἢ ζυγοῦ ἱμάντι δαμάλεως, οὐδὲ ὁ θεὸς ἂν δήσαιτο, οὕτως*[5]) *οὐδ᾽ ὅστις ἂν ᾖ Πέτρος· εἰ δέ τις μὴ ὢν Πέτρος, καὶ μὴ ἔχων τὰ*

---

[1]) Ed. Huetii: *λυομένοις.*

[2]) Matth. XVI, 18.

[3]) H. et R. *ἔσφικται.* Cfr. Prov. V, 22.

[4]) H. et R. *μάκρῳ.*

[5]) Cod. Tarinianus restituit *οὕτως*, quod deest in editione Huetii. R.

εἰρημένα ἐνταῦθα, ὥσπερ Πέτρος οἴεται δήσειν ἐπὶ γῆς, ὡς τὰ δεδεμένα δεδέσθαι ἐν οὐρανοῖς, καὶ λύσειν ἐπὶ γῆς, ὡς τὰ λελυμένα λελύσθαι ἐν οὐρανοῖς, οὗτος τετύφωται,[1]) μὴ ἐπιστάμενος τὸ βούλημα τῶν γραφῶν, καὶ τυφωθεὶς ἐμπέπτωκεν εἰς τὸ τοῦ διαβόλου πτῶμα.[2])

15. „Τότε[3]) διεστείλατο τοῖς μαθηταῖς αὐτου,[4]) ἵνα μηδενὶ εἴπωσιν, ὅτι αὐτός ἐστιν ὁ Χριστός.“ Ἀνωτέρω μὲν γέγραπται, ὅτι τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς, λέγων αὐτοῖς· „εἰς[5]) ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε·“ καὶ ὅσα ἑξῆς ἀναγέγραπται εἰρηκέναι αὐτοῖς, πέμπων αὐτοὺς ἐπὶ[6]) τὴν ἀποστολήν. Ἆρα οὖν τὸ τῶν ἀποστόλων ἤδη ποιοῦντας ἔργον αὐτοὺς ἐβούλετο κηρύσσειν, ὅτι αὐτὸς εἴη ὁ Χριστός; εἴτε γὰρ ἐβούλετο, ἄξιον ζητῆσαι, τί δήποτε νῦν διαστέλλεται τοῖς μαθηταῖς, ἵνα μὴ εἴπωσιν, ὅτι αὐτὸς εἴη ὁ Χριστός· εἴτε μὴ ἐβούλετο, πῶς δύναται σώζεσθαι τὰ τῆς ἀποστολῆς; καὶ ταῦτα δ' ἄν τις ζητήσαι κατὰ τὸν[7]) τόπον· ἆρα ἀποστέλλων τοὺς δώδεκα, οὐκ ἀπέστελλεν αὐτοὺς φρονοῦντας ὅτι αὐτὸς εἴη ὁ Χριστός; εἰ δὲ τοῦτο[8]) ἐφρόνουν οἱ δώδεκα, δηλονότι καὶ ὁ Πέτρος· πῶς οὖν μακαρίζεται νῦν; Ἐμφαίνει γὰρ ἡ λέξις διὰ τούτων, ὅτι νῦν πρῶτον αὐτὸν ὡμολόγησεν ὁ Πέτρος Χριστὸν

---

[1]) I Tim. VI, 4.

[2]) Cod. Holm. habet: πῶμα, vitiose. Locus petitus est ex I Tim. III, 6. Vetus Orig. interpres N. T. verbis insistit: *et inflatus incidit in judicium diaboli;* at Erasmus: *et tumefactus incidit in diaboli ruinam.* H.

[3]) Matth. XVI, 20. Ed. Lachm. τότε ἐπετίμησεν τοῖς μαθηταῖς ἵνα κ. τ. λ.

[4]) Ed. Knapp., item ed. Huetii: αὐτοῦ.

[5]) Matth. X, 5.

[6]) Cod. Tarinianus: εἰς τὴν ἀποστολήν. R.

[7]) Ed. H. et R. τὸν τόπον, ἆρα —, οὐκ ἀπέστελλεν — ὁ Χριστός· εἰ δέ κ. τ. λ.

[8]) Cod. Tarini: εἰ δὲ καὶ αὐτοὶ ἐφρόνουν. R.

υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος. Ὁ μὲν οὖν Ματθαῖος πεποίηκε κατά τινα τῶν ἀντιγράφων τό· „τότε[1]) διεστείλατο τοῖς μαθηταῖς αὐτοῦ, ἵνα μηδενὶ εἴπωσιν, ὅτι αὐτός ἐστιν ὁ Χριστός·“ ὁ δὲ Μάρκος· „ἐπετίμησεν[2]) αὐτοῖς, φησὶν, ἵνα μηδενὶ λέγωσι περὶ αὐτοῦ·“ ὁ δὲ Λουκᾶς· „ἐπιτιμήσας, φησὶν, αὐτοῖς παρήγγειλε μηδενὶ λέγειν τοῦτο.“ Τί δὲ „τοῦτο;“ ἢ ὅτι καὶ κατ᾽ αὐτὸν ἀποκριθεὶς ὁ Πέτρος εἶπε πρὸς τό· „τίνα[3]) με λέγετε εἶναι;“ τὸν[4]) Χριστὸν, τὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος. Ἰστέον μέντοι, ὅτι τινὰ τῶν ἀντιγράφων τοῦ κατὰ Ματθαῖον ἔχει τὸ „ἐπετίμησεν.“[5]) Ἡ μὲν οὖν ἐπαπόρησις[6]) δοκεῖ μοι εἶναι γενναιοτάτη· λύσις δ᾽ αὐτῆς ἀναντίῤῥητος ζητηθήτω, ἣν ὁ εὑρίσκων, ἐὰν ᾖ πιστικωτέρα τῶν ὑφ᾽ ἡμῶν λεχθησομένων, ὡς ὑπομετρίων, εἰς μέσον φερέτω. Πρόσχες οὖν, εἰ δύνασαι λέγειν, ὅτι τὸ πιστεύεσθαι, Ἰησοῦν εἶναι τὸν Χριστὸν, ἔλαττόν ἐστι τοῦ γινώσκεσθαι τὸ πεπιστευμένον. Τάχα δὲ καὶ τοῦ γινώσκεσθαι, Ἰησοῦν εἶναι τὸν Χριστὸν, διαφορά ἐστιν, οὐ παντὸς τοῦ γινώσκοντος ὁμοίως αὐτὸν γινώσκοντος. Ὅτι μὲν οὖν τὸ πιστεύεσθαι χωρὶς γνώσεως ἔλαττόν ἐστι τοῦ γινώσκεσθαι, δῆλον ἐκ τοῦ κατὰ Ἰωάννην· „ἐὰν[7])

---

1) Matth. XVI, 20. Deest h. l., cfr. pag. 157. lin. 6. et not. 3., *αὐτοῦ* in edd. H. et R.

2) Marc. VIII, 30. Ed. Lachm. *εἴπωσιν περὶ αὐτοῦ.* — Luc. IX, 21.

3) Matth. XVI, 15. 16.

4) H. et R. in textu: *τὸν Χριστὸν τοῦ Θεοῦ. Ἰστέον κ. τ. λ.;* R. tamen in notis: „Cod. Reg. (item H. ad marg.) *τὸν υἱὸν τοῦ Θεοῦ*, Cod. Tarinianus: *τὸν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ.*“ Cfr. Matth. XVI, 16. coll. pag. 145. 146. 147. 148. et 155. ll. ll.

5) Matth. XVI, 20. coll. pag. 157. not. 3.

6) Cod. Tarini: *ἡ μὲν οὖν ἀπόρησις.* R.

7) Ev. Joann. VIII, 31. 32. Edd. N. T. *ἐὰν ὑμεῖς*

μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς·" ὅτι δὲ καὶ τοῦ γινώσκεσθαι, Ἰησοῦν εἶναι τὸν Χριστὸν, διαφορά ἐστιν, οὐκ ἐπίσης τῶν γινωσκόντων γινωσκόντων αὐτὸν, καὶ αὐτὴ μὲν ἡ ἐνάργεια [1]) τῷ κἂν ἐπὶ ποσὸν [2]) ἐπιστήσαντι παρίστησι [3]) τὸ πρᾶγμα. Τίς γὰρ οὐκ ἂν ὁμολογήσαι, ὅτι, φέρ' εἰπεῖν, Τιμόθεος, γινώσκων Ἰησοῦν εἶναι τὸν Χριστὸν, οὐκ ἐπὶ τοσοῦτον πεφώτιστο εἰς τὴν περὶ αὐτοῦ γνῶσιν, ὅσον ὁ ἀπόστολος Παῦλος πεφώτιστο; Καὶ τοῦτο δ' ἂν τίς οὐκ ἂν παραδέξαιτο, ὅτι κἂν πλείονες ἀληθεύοντες λέγωσι περὶ θεοῦ· ὅτι αὐτός μοι δέδωκε τῶν ὄντων γνῶσιν ἀψευδῆ· οὐχ ὁμοίως τρανοῦντες καὶ καταλαμβάνοντες τὰ γινωσκόμενα, οὐδὲ τῷ ἀριθμῷ τοσαῦτα γινώσκοντες τοῦτο ἐροῦσιν; Οὐ μόνον δὲ κατὰ τὴν διαφορὰν τοῦ γινώσκειν ἐστὶ, τοὺς γινώσκοντας μὴ ὁμοίως γινώσκειν, ἀλλὰ καὶ κατὰ τὸ παραστῆσαν τὴν γνῶσιν, ὡς κατὰ τοῦτο τὸν ἀποκαλύψαντος τοῦ πατρὸς τὸν υἱὸν ἐγνωκότα, ὡς Πέτρος μεμαρτύρηται ἐγνωκέναι, ἔχειν τὸν ἀνωτάτω μακαρισμόν. Εἰ δὲ ὑγιῶς ἡμῖν ταῦτα εἴρηται, ἐπιστήσεις εἰ οἱ δώδεκα πρότερον μὲν ἐπίστευον, οὐκ ἐγίνωσκον δέ· ἑξῆς δὲ τῷ πιστεύειν, καὶ ἀρχὰς εἶχον τοῦ γινώσκειν, καὶ ὀλιγώτερα περὶ αὐτοῦ ἐγίνωσκον· ὕστερον δὲ προέκοπτον [4]) ἐν τῷ γινώσκειν, ὡς δύνασθαι χωρῆσαι τὴν ἀπὸ τοῦ πατρὸς γνῶσιν, ἀποκαλύπτοντος [5]) τὸν υἱὸν, ἐν ὁποίᾳ καταστάσει ὁ Πέτρος ἦν ἡνίκα ἐμακαρίσθη· καὶ γὰρ μακαρίζεται, οὐκ ἐπὶ τῷ εἰρηκέναι· „σὺ [6]) εἶ ὁ Χριστός·" μόνον, ἀλλὰ μετὰ

μείνητε — ἐμῷ, ἀληθῶς μαθηταί μου ἐστέ· καὶ γνώσεσθε κ. τ. λ.

1) Ed. Colon. min. accurate: ἐνέργεια.

2) H. et R. constanter ἐπιποσόν.

3) Ed. Huet. minus recte: παράστησι.

4) H. et R. προὔκοπτον.

5) Ed. R. min. accurate ἀποκαλύπτοντες.

6) Matth. XVI, 16.

τῆς προσθήκης, τῆς· „ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος.“ Οἱ γοῦν ἀναγράψαντες Μάρκος καὶ Λουκᾶς, ἀποκριθέντα τὸν Πέτρον εἰρηκέναι· „σὺ εἶ ὁ Χριστός·“ καὶ μὴ προσθέντες τὸ παρὰ τῷ Ματθαίῳ κείμενον, οὐκ ἀνέγραψαν τὸν ἐπὶ τῷ εἰρημένῳ μακαρισμὸν, καὶ τὴν μετὰ τὸν μακαρισμὸν εὐλογίαν, λέγουσαν τό· „σὺ[1]) εἶ Πέτρος,“ καὶ τὰ ἑξῆς.

16. Ἤδη δὲ καὶ τὸ πρῶτον ἐξεταστέον, ὅτι τὰ μὲν ἄλλα περὶ αὐτοῦ κατήγγελλον,[2]) ὡς μεγάλου καὶ θαυμαστοῦ· τὸ δὲ „Χριστὸν εἶναι,“ οὐδέπω ἐκήρυσσον· ἵνα μὴ δοκοίη ὁ Σωτὴρ ἀφαιρεῖν αὐτῶν ἐξουσίαν τὴν περὶ τοῦ καταγγέλλειν αὐτὸν Χριστὸν, ἣν πρότερον ἐδωρήσατο. Καὶ τάχα τις τῷ τοιούτῳ λόγῳ παραστήσεται, φάσκων ὡς ἐν εἰσαγωγῇ δεδιδάχθαι ὑπὸ τῶν ἀποστόλων τοὺς Ἰουδαίους τὰ περὶ τοῦ Ἰησοῦ ἔνδοξα, ἵνα τούτοις ἐν καιρῷ ἐποικοδομηθῇ καὶ τὰ περὶ τοῦ Χριστὸν αὐτὸν εἶναι, τάχα δὲ πολλὰ τῶν πρὸς αὐτοὺς λελεγμένων[3]) πρὸς πάντας εἰρῆσθαι τοὺς πιστεύοντας δυνάμει· οὐ γὰρ μόνοις τοῖς ἀποστόλοις ἐφήρμοζε τό· „ἐπὶ[4]) ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσι·“ τάχα δὲ οὐδ᾽ ὅλως τοῖς ἀποστόλοις, ἀλλ᾽ ἅπασι τοῖς πιστεύειν μέλλουσι, τό· „παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον,“ καὶ τὰ ἑξῆς. Ἀλλὰ καὶ τό· „πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ,“ καὶ τὰ ἑξῆς, οὐκ ἰδίως[5]) τοῖς ἀποστόλοις, ἀλλὰ καὶ πᾶσι τοῖς πιστεύουσιν εἴρηται. Κατὰ τοῦτο οὖν προϋποτύπωσίς ἐστι διδασκαλίας, διὰ τῶν πρὸς τοὺς ἀποστόλους λελεγμένων, ὕστερον κἀκείνοις καὶ παντὶ τῷ διδάσκοντι εἰς χρῆσιν ἐλευσομένης.

---

[1]) Matth. XVI, 18.
[2]) Ed. Huetiana: *κατήγγελον*.
[3]) Cod. Regius: *λεγομένων*. H. et R.
[4]) Matth. X, 18. — 21. — 32.
[5]) Cod. Regius: *ἰδίοις*. H. et R.

17. Ὁ δὲ βουλόμενος καὶ τό· „Χριστὸν αὐτὸν εἶναι·“ κεκηρύχθαι πρότερον ὑπὸ τῶν ἀκουσάντων ἀποστόλων τό· „ὃ [1]) λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί· καὶ ὃ εἰς τὸ οὖς ἀκούετε, [2]) κηρύσσετε ἐπὶ τῶν δωμάτων·“ ἐρεῖ, ὅτι οἱονεὶ κατηχῆσαι ἠθέλησε πρότερον τοὺς τῶν ἀποστόλων ἀκουσομένους τὸ Χριστοῦ ὄνομα, εἶτ' ἐᾶσαι τοῦτο οἱονεὶ πεφθῆναι ἐν ταῖς διανοίαις τῶν ἀκουσάντων, ἵνα σιωπῆς γενομένης τοῦτο τοιοῦτον περὶ αὐτοῦ κηρύσσεσθαι, εὐκαιρότερον ἐποικοδομηθῇ τοῖς προκατηχηθεῖσι Χριστὸς Ἰησοῦς ἐσταυρωμένος, καὶ ἐκ νεκρῶν ἐγηγερμένος· ὅπερ ἐν ταῖς ἀρχαῖς οὐδὲ αὐτοὶ οἱ ἀπόστολοι ᾔδεισαν· [3]) γέγραπται γὰρ ἐν τοῖς νῦν ἐξεταζομένοις, ὅτι „ἀπὸ [4]) τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ, ὅτι [5]) δεῖ αὐτὸν εἰς Ἱεροσόλυμα ἀπελθεῖν,“ καὶ τάδε, καὶ τάδε παθεῖν. Εἰ δὲ ταῦτα νῦν οἱ ἀπόστολοι μανθάνουσι παρὰ τοῦ Ἰησοῦ ἀπαντησόμενα αὐτῷ, τὴν ἀπὸ τῶν πρεσβυτέρων ἐπιβουλὴν, καὶ ὡς ἀναιρεθήσεται, καὶ ὡς μετὰ ταῦτα τῇ τρίτῃ ἡμέρᾳ ἐκ νεκρῶν ἀναστήσεται, τί χρὴ νομίζειν ἐγνωκέναι πρότερον τοὺς μαθητευομένους [6]) παρὰ τοῖς ἀποστόλοις περὶ τοῦ Ἰησοῦ, ἢ ὅτι, εἰ καὶ κατηγγέλλετο αὐτοῖς Χριστὸς, ὡς ἐν εἰσαγωγῇ κατηγγέλλετο, οὐ τρανούσῃ τὰ κατ' αὐτόν; Καὶ γὰρ ὁ Σωτὴρ ἡμῶν ἐβούλετο, διαστελλόμενος τοῖς μαθηταῖς, ἵνα μηδενὶ εἴπωσιν, ὅτι αὐτός ἐστιν ὁ Χριστὸς, τηρῆσαι τὴν τελειοτέραν περὶ αὐτοῦ διδασκαλίαν

---

[1]) Matth. X, 27. Edd. N. T. κηρύξατε.

[2]) Cod. Vaticanus: ἀκηκόατε. R.

[3]) H. et R. ᾔδεισαν.

[4]) Matth. XVI, 21. Ed. Knapp. ἀπὸ — αὐτοῦ, ὅτι δεῖ αὐτὸν ἀπελθεῖν εἰς Ἱεροσόλυμα.

[5]) H. et R. min. accurate εἴ pro εἰ. Equidem, coll. pag. 162. not. 5., ὅτι restitui.

[6]) Cod. Tarinianus: μαθητευσομένους. R.

ἐπιτηδειοτέρῳ καιρῷ, ὅτε [1]) ἐδύναντο μαρτυρῆσαι τοῖς ἑωρακόσιν αὐτὸν σταυρούμενον τὰ περὶ τῆς ἀναστάσεως αὐτοῦ, οἱ ἑωρακότες αὐτὸν σταυρούμενον καὶ ἀναστάντα μαθηταί. Εἰ γὰρ οἱ ἀεὶ αὐτῷ συνόντες ἀπόστολοι, καὶ πάντα ἑωρακότες ἃ ἐποίει θαυμάσια, καὶ μαρτυροῦντες αὐτοῦ τοῖς λόγοις ὅτι ῥήματα ζωῆς αἰωνίου ἦσαν, ἐσκανδαλίσθησαν περὶ τὴν νύκτα τοῦ προδεδόσθαι [2]) αὐτὸν, τί οἴει παθεῖν τοὺς πρότερον μαθόντας, ὅτι αὐτὸς εἴη ὁ Χριστός; Ὧν οἶμαι φειδόμενος ταῦτα διεστείλατο.

18. Ὁ δὲ βουλόμενος τὰ εἰρημένα πρὸς τοὺς δώδεκα εἰς τοὺς μετὰ ταῦτα ἀναφέρεσθαι χρόνους, καὶ μηδέπω κατηγγελκέναι τοὺς ἀποστόλους τοῖς ἀκούουσιν αὐτῶν, ὅτι αὐτὸς εἴη ὁ Χριστὸς, φήσει ὅτι ἐβούλετο τηρηθῆναι τὴν τοῦ Χριστοῦ ἔννοιαν, ἐπιπεπλεγμένην τῷ Ἰησοῦ ὀνόματι, τῇ τελειοτέρᾳ, καὶ σωτηρίῳ κηρύξει, ὁποίαν ἐπιστάμενος ὁ Παῦλος ἔλεγε Κορινθίοις τό· „ἐγὼ [3]) δὲ ἔκρινα μηδὲν εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον.“ Διὸ πρότερον μὲν Ἰησοῦν τάδε τινὰ ποιοῦντα, καὶ τοιάδε τινὰ αὐτὸν διδάσκοντα εἶναι ἐκήρυσσον· νῦν δ' ὅτε Πέτρος Χριστὸν αὐτὸν εἶναι ὁμολογεῖ, υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος, ὡς μὴ βουλόμενος κηρύσσεσθαι αὐτὸν ἤδη Χριστὸν, ἵν' εὐκαιρότερον κηρυχθῇ, καὶ ἐσταυρωμένος, διαστέλλεται τοῖς μαθηταῖς, ἵνα μηδενὶ εἴπωσιν, ὅτι αὐτός ἐστιν ὁ Χριστός. Παρίσταται δέ πως, τοῦτ' εἶναι τὸ βούλημα [4]) αὐτοῦ, κωλύοντος κηρύσσεσθαι αὐτὸν εἶναι Χριστὸν, ἐκ τοῦ· „ἀπὸ [5]) τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μα-

---

[1]) H. et R. in textu: ὅτι; H. tamen ad oram: „Cod. Reg.,“ R. in notis: „„Codd. Reg. et Vaticanus: ὅτε.“ “

[2]) Cod. Vaticanus: προδίδοσθαι. R.

[3]) I Cor. II, 2. coll. ed. nostrae Tom. II. pag. 161.

[4]) Cod. Vaticanus: βουλόμενον. R.

[5]) Matth. XVI, 21. coll. pag. 161. not. 4. et 5.

θηταῖς αὐτοῦ, ὅτι δεῖ αὐτὸν εἰς Ἱεροσόλυμα ἀπελθεῖν, καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων," καὶ τῶν ἐπιφερομένων· οἱονεὶ γὰρ τότε κατὰ τὸν καιρὸν ἐγνωκόσι τοῖς μαθηταῖς, Ἰησοῦν εἶναι Χριστὸν, υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος, ἀποκαλύψαντος αὐτοῖς τοῦ πατέρος, κηρύσσει ἀντὶ τοῦ πιστεύειν αὐτοὺς εἰς Ἰησοῦν Χριστὸν ἐσταυρωμένον, πιστεύειν εἰς Ἰησοῦν Χριστὸν σταυρωθησόμενον. Ἀλλὰ καὶ ἀντὶ τοῦ πιστεύειν εἰς Χριστὸν Ἰησοῦν, καὶ τοῦτον ἐγηγερμένον ἐκ νεκρῶν, διδάσκει αὐτοὺς πιστεύειν εἰς Χριστὸν Ἰησοῦν, καὶ τοῦτον ἐγερθησόμενον ἐκ νεκρῶν. Ἐπεὶ δὲ „ἀπεκδυσάμενος [1]) τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισε θριαμβεύσας ἐν παῤῥησίᾳ ἐν τῷ ξύλῳ," εἴ τις ἐπαισχύνεται τὸν Χριστοῦ σταυρὸν, ἐπαισχύνεται τὴν οἰκονομίαν, δι' ἣν ἐθριαμβεύθησαν ἐκεῖναι· δέον καὶ καυχᾶσθαι ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸν καὶ πιστεύοντα καὶ ἐγνωκότα ταῦτα δι' οὗ Χριστοῦ σταυρουμένου τῷ κόσμῳ τῷ πιστεύοντι ἐδειγματίσθησαν καὶ ἐθριαμβεύθησαν αἱ ἀρχαὶ, ἐν αἷς, οἶμαι, ἦν καὶ ὁ ἄρχων τοῦ αἰῶνος τούτου. Διόπερ ἐγγὺς γενόμενος τοῦ παθεῖν, εἶπε τό· „νῦν [2]) ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται·" καί· „νῦν [3]) ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω." „Καὶ ἐὰν ὑψωθῶ, φησὶν, ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν·" οὐκέτι τοσοῦτον ὅσον δυναμένου τοῦ κωλύοντος ἔρχεσθαι πρὸς τὸν Ἰησοῦν τοὺς ἑλκομένους ὑπ' αὐτοῦ.

19. Ἀναγκαῖον μὲν οὖν τῷ κηρύσσεσθαι Ἰησοῦν Χριστὸν, ἐσταυρωμένον κηρύσσεσθαι αὐτόν· καὶ οὐχ οὕτως ἐλλιπὲς εἶναί μοι φαίνεται τὸ Ἰησοῦν εἶναι τὸν Χριστὸν,

---

[1]) Coloss. II, 15. coll. ed. nostrae Tom. I. pag. 264. not. 2. et Tom. II. pag. 463. not. 9.

[2]) Ev. Joann. XVI, 11. Edd. N. T. ὅτι ὁ ἄρχων κτλ.

[3]) Ibid. XII, 31. 32. Edd. N. T. vers. 32. κἀγὼ ἐάν κ. τ. λ.

σιωπωμένου τινὸς τῶν ἄλλων τεραστίων αὐτοῦ, ὡς σιωπωμένου τοῦ εἶναι αὐτὸν ἐσταυρωμένον. Διόπερ τηρῶν τὸ τελειοτέρως κηρυχθῆναι ὑπὸ τῶν ἀποστόλων τὰ περὶ αὐτοῦ, διεστείλατο [1]) „τοῖς μαθηταῖς αὐτοῦ, ἵνα μηδενὶ εἴπωσιν, ὅτι αὐτός ἐστιν ὁ Χριστὸς," καὶ ηὐτρέπιζεν αὐτοὺς λέγειν, ὅτι αὐτός ἐστιν ὁ Χριστὸς ὁ ἐσταυρωμένος καὶ ἐκ νεκρῶν ἀναστὰς, ἡνίκα ἤρξατο οὐ μόνον λέγειν, οὐδὲ ἕως τοῦ διδάσκειν προκόπτειν, ἀλλὰ καὶ δεικνύναι [2]) „τοῖς μαθηταῖς αὐτοῦ, ὅτι δεῖ αὐτὸν εἰς Ἱεροσόλυμα ἀπελθεῖν," καὶ τὰ ἑξῆς· πρόσεχε γὰρ τῇ „δεικνύειν" λέξει, ὅτι ὥσπερ τὰ αἰσθητὰ δείκνυσθαι λέγεται, οὕτως δείκνυσθαι εἴρηται ὑπὸ τοῦ Ἰησοῦ τὰ ὑπ' αὐτοῦ λεγόμενα τοῖς μαθηταῖς αὐτοῦ. Καὶ οὐχ οὕτως οἶμαι δεδεῖχθαι τοῖς ἑωρακόσι σωματικῶς πολλὰ πάσχοντα αὐτὸν ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ ἕκαστον τῶν ὁρωμένων, ὡς τοῖς μαθηταῖς τὴν λογικὴν δεῖξιν περὶ τούτου.

20. „Τότε [3]) μὲν ἤρξατο δεικνύειν" εἰκὸς δ' ὅτι μετὰ τοῦτο τοῖς χωρητικοῖς γινομένοις τρανότερον ἐδείκνυεν, οὐκέτι ὡς εἰσαγομένοις ἀρχόμενος δεικνύναι, ἀλλ' ἤδη [4]) καὶ προκόπτων ἐν τῷ δεικνύναι· καὶ εἴπερ ἐστὶν εὔλογον νοεῖν, ὅτι πάντως οὗπερ ὁ Ἰησοῦς ἤρξατο, τοῦτο ἐτέλεσε, [5]) πάντως ποτὲ ἐτέλεσεν ὃ ἤρξατο δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ περὶ τοῦ δεῖν τὰ γεγραμμένα αὐτὸν παθεῖν. Ὅτε γὰρ τὴν ἀπὸ τοῦ Λόγου περὶ τούτων τελείαν γνῶσιν καταλαμβάνει τις, τότε λεκτέον, ἀπὸ λογικῆς δείξεως ὁρῶντος τοῦ νοοῦ τὰ δεικνύμενα τετελειῶσθαι [6]) τὴν δεῖξιν τῷ ταῦτα θεωρεῖν καὶ βουλομένῳ.

---

[1]) Matth. XVI, 20. coll. pag. 157. not. 3. et 4.
[2]) Ibid. XVI, 21. coll. pag. 162. not. 5.
[3]) Ibid. XVI, 21.
[4]) Cod. Regius: ἤδει. Huet.
[5]) Deest ἐτέλεσε in ed. R.
[6]) Ed. R. τελειῶσθαι, ed. H. τετελειῶσθαι.

καὶ δυναμένῳ, καὶ θεωροῦντι. Ἐπεὶ δὲ οὐκ[1]) *ἐνεδέχετο, προφήτην ἀπολέσθαι ἔξω Ἱερουσαλὴμ, ἀπώλειαν ἀναλογίαν ἔχουσαν πρὸς τό· „ὁ ἀπολέσας*[2]) *τὴν ψυχὴν αὑτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν·“ διὰ τοῦτο ἔδει αὐτὸν εἰς Ἱεροσόλυμα ἀπελθεῖν, ἵνα πολλὰ παθὼν ἐν ἐκείνοις τὴν ἀπαρχὴν τῆς ἐκ νεκρῶν ἀναστάσεως ποιήσῃ ἐν τοῖς ἄνω Ἱεροσολύμοις, καταργῶν καὶ καταλύων τὴν ἐπὶ τῆς γῆς μετὰ πάσης τῆς ἐν αὐτῇ λατρείας. Ὅσον μὲν γὰρ Χριστὸς οὐκ ἐγήγερται*[3]) *ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων, οὐδὲ συνηγέρθησαν αὐτῷ οἱ γινόμενοι σύμμορφοι τῷ θανάτῳ καὶ τῇ ἀναστάσει αὐτοῦ, κάτω ἐζητεῖτο ἡ τοῦ θεοῦ πόλις, καὶ ὁ ναὸς, οἱ καθαρισμοὶ, καὶ τὰ λοιπά· ὅτε δὲ τοῦτο γέγονεν, οὐκέτι, ἀλλὰ τὰ ἄνω· ἅτινα ἵνα ἐνστῇ, ἔδει αὐτὸν εἰς τὰ κάτω Ἱεροσόλυμα*[4]) *ἀπελθεῖν, καὶ πολλὰ ἐκεῖ παθεῖν ἀπὸ τῶν ἐν αὐτῇ πρεσβυτέρων, καὶ ἀρχιερέων, καὶ γραμματέων τοῦ λαοῦ, ἵνα δοξασθῇ ὑπὸ τῶν χωρούντων τὰς εὐεργεσίας αὐτοῦ οὐρανίων πρεσβυτέρων, καὶ θειοτέρων ἀρχιερέων ὑπὸ ἀρχιερεῖ τῷ ἑνὶ τεταγμένων· δοξασθῇ δ' ὑπὸ τῶν γραμματέων τοῦ λαοῦ ἀσχολουμένων περὶ γράμματα, οὐ τὰ γραφόμενα μέλανι, ἀλλὰ τετρανωμένα πνεύματι θεοῦ ζῶντος, καὶ ἀποκτανθῇ μὲν ἐν τοῖς κάτω Ἱεροσολύμοις, βασιλεύσῃ δὲ ἀναστὰς ἐν Σιὼν ὄρει, καὶ πόλει θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ. Τῇ τρίτῃ δὲ ἡμέρᾳ ἐκ νεκρῶν ἀνέστη,*[5]) *ἵνα ῥυσάμενος ἀπὸ τοῦ πονηροῦ, καὶ*

---

[1]) Luc. XIII, 33.

[2]) Matth. X, 39. Ed. Knapp. (it. ed. Huet.) *αὑτοῦ*, ed Lachm. (itemq. ed. R.) *αὐτοῦ*.

[3]) I Cor. XV, 20.

[4]) Matth. XVI, 21.

[5]) H. et R. in textu: *ἀνέστη;* H. tamen ad oram: „scrib. *ἀναστῇ*,“ in notis: „Cod. Holm. et vetus interpretatio *ἀνέστη*. Ordo tamen et sensus videbantur (?) desiderare *ἀναστῇ* post *δοξασθῇ, ἀποκτανθῇ, βασιλεύσῃ*.“ R. in notis: „„omnes Mss. *ἀνέστη*. Ordo tamen etc.““

τοῦ υἱοῦ αὐτοῦ, ἐν ᾧ τὸ ψεῦδος ἦν, καὶ ἡ ἀδικία, καὶ ὁ πόλεμος, καὶ πάντα τὰ ἐναντία οἷς ἔστιν ὁ Χριστὸς, ἔτι δὲ τοῦ μετασχηματιζομένου εἰς ἅγιον πνεῦμα βεβήλου πνεύματος, περιποιήσῃ τοῖς ῥυσθεῖσι βαπτίζεσθαι τὸ πνεῦμα, καὶ τὴν ψυχὴν, καὶ τὸ σῶμα, εἰς ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, ἅπερ τρεῖς ἡμέραι εἰσὶν ἅμα ἐνεστηκυῖαι αἰωνίως τοῖς δι' αὐτὰς υἱοῖς τοῦ φωτός·[1]) (.)

(21.) * * * * * * * — — — — —
— — — — — — — — — — — — —
— — — — — — — — — — — — —
— — — — — — — — — — — — —
— — — — — — — — — — — — —
— — — — — — — — — — — — —

Ἐπεὶ δὲ ἀνάξια τὰ πάθη ἐνόμιζεν εἶναι Χριστοῦ, τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ζῶντος, ἧττονα δὲ καὶ τοῦ ἀποκαλύψαντος αὐτῷ πατρὸς τὰ τηλικαῦτα περὶ αὐτοῦ· — οὐ

---

[1]) H. in notis: „Hoc loco hiabat noster Codex (scil. Holm.), quod non dubito ex nimia nostra properantia contigisse; neque subsidio fuit Cod. Reg., in quo fragmentum ingens hic desiderabatur. Sed e veteri interprete illud explevimus.“ Egregie, puto, maximam partem illud explevisti. — R. in notis: „„post voc. *φωτός* nullus in Mss. Codd. hiatus est, sed immediate scriptum est: *ἐπεὶ δὲ ἀνάξια κ. τ. λ.* Aliquid tamen desiderari fidem facere videtur vetus interpretatio, etc.“ “ Quae quidem vetus interpretatio haec habet: qui sunt tres dies simul instantes iis, qui per eos facti fuerint filii lucis.

21. *Et accipiens Jesum Petrus coepit eum increpare: propitius esto tibi, Domine, et hoc tibi non erit. Cui dixit: vade post me, Satana, scandalum mihi es, quoniam non sapis, quae Dei sunt, sed quae hominis.* (Cfr. Matth. XVI, 22. 23.). Quoniam coeperat Jesus ostendere discipulis suis, quia oportet eum abire in Jerosolymam, et multa pati, adhuc initia eorum, quae ostendebantur, discebat Petrus. Quoniam autem etc.

γάρ ἀποκεκάλυπτο αὐτῷ τὰ περὶ τοῦ πείσεσθαι, — διὰ τοῦτο προσλαβόμενος[1]) αὐτὸν, καὶ ὥσπερ ἐπιλαθόμενος τῆς ἀξίας τοῦ Χριστοῦ, καὶ ὅτι ὁ υἱὸς τοῦ ζῶντος θεοῦ οὐδὲν ἐπιτιμήσεως λέγει ἢ πράττει ἄξιον, ἤρξατο ἐπιτιμᾷν αὐτῷ, καὶ ὡς δεομένῳ ἱλασμοῦ, — οὐ γὰρ ᾔδει πω, ὅτι τοῦτον „προέθετο[2]) ὁ θεὸς ἱλαστήριον διὰ πίστεως ἐν τῷ αὐτοῦ αἵματι" —, εἶπεν· „ἵλεώς σοι, κύριε." Οὗ τὴν μὲν πρόθεσιν ἀποδεξάμενος, τῇ δὲ ἀγνοίᾳ ἐπιτιμῶν, διὰ μὲν τὴν πρόθεσιν, οὖσαν δεξιὰν, λέγει αὐτῷ· „ὕπαγε[3]) ὀπίσω μου·" οἱονεὶ καταλιπόντι τὰ[4]) δι' ὧν ἠγνόει, καὶ οὐκ ὀρθῶς ἔλεγεν, ἀκολουθεῖν τῷ Ἰησοῦ· διὰ δὲ τὴν ἄγνοιαν, ὡς ἀντικείμενόν τι ἔχοντι τοῖς τοῦ θεοῦ, εἶπε· „σατανᾶ·" ὅπερ ἔστιν Ἑβραϊκοῖς[5]) „ἀντικείμενος." Εἰ δὲ μήτε ἀπὸ ἀγνοίας εἰρήκει, μήτε ἐπιτετιμήκει τῷ υἱῷ τοῦ ζῶντος θεοῦ, λέγων αὐτῷ τό· „ἵλεώς[6]) σοι, κύριε· οὐ μὴ ἔσται σοι τοῦτο·" οὔτ' ἂν εἶπεν αὐτῷ τό· „ὕπαγε ὀπίσω μου·" ὡς καταλιπόντι τὸ εἶναι αὐτοῦ ὀπίσω, καὶ ἕπεσθαι αὐτῷ· οὔτ' ἂν ὡς ἀντικείμενα εἰρηκότι τοῖς ὑπ' αὐτοῦ λελεγμένοις ἔλεξεν ἂν τό· „σατανᾶ." Νυνὶ δὲ ἴσχυσεν αὐτὸν ὁ σατανᾶς, ἀκολουθήσαντα τῷ Ἰησοῦ καὶ ὀπίσω αὐτοῦ βαίνοντα, ἀποστῆσαι τοῦ ἀκολουθεῖν αὐτῷ, καὶ τοῦ ὀπίσω τυγχάνειν τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ ποιῆσαι αὐτὸν δι' ὧν εἶπεν ἀπὸ ἀγνοίας ἄξιον τοῦ ἀκοῦσαι „σατανᾶν,"[7]) καὶ „σκάνδαλον" τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ „οὐ φρονοῦντα τὰ τοῦ θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων." Ὅτι δὲ ὀπίσω

---

[1]) Matth. XVI, 22.

[2]) Rom. III, 25. Ed. Knapp. διὰ τῆς πίστεως. — Matth. XVI, 22.

[3]) Matth. XVI, 23.

[4]) Desunt verba: τὰ δι' ὧν ἠγνόει, καὶ οὐκ in ed. R.

[5]) Cod. Anglicanus recte: ἑβραϊκῶς. R.

[6]) Matth. XVI, 22.

[7]) Ibid. XVI, 23.

πρότερον ἦν, πρὶν τοῦτο ἁμαρτεῖν, τοῦ υἱοῦ τοῦ θεοῦ ὁ Πέτρος, δῆλον ἐκ τοῦ· „δεῦτε [1]) ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων.“

22. Ἅμα δὲ συγκρινεῖς, ὅτι [2]) πρὸς μὲν τὸν Πέτρον εἶπεν· „ὕπαγε [3]) ὀπίσω μου, σατανᾶ·“ πρὸς δὲ τὸν διάβολον, εἰπόντα αὐτῷ· „πάντα [4]) σοι ταῦτα δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι·“ „ὕπαγε, [5]) σατανᾶ·“ χωρὶς τῆς „ὀπίσω μου“ προσθήκης· τὸ γὰρ ὀπίσω τοῦ Ἰησοῦ εἶναι ἀγαθόν ἐστι. Διὸ εἴρηται τό· „δεῦτε [6]) ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων.“ Τοιοῦτον δέ ἐστι καὶ τό· „ὃς [7]) οὐκ αἴρει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος.“ Καὶ ἁπαξαπλῶς τήρει τὴν „ὀπίσω“ λέξιν, ὅτι ἀγαθὸν μέν ἐστι πρᾶγμα, ὅτε ὀπίσω κυρίου τοῦ θεοῦ τις πορεύεται, καὶ ὀπίσω τοῦ Χριστοῦ γίνεται· ἐναντίον δὲ, ὅτε ῥίπτει τις τοὺς λόγους τοῦ θεοῦ εἰς τὰ ὀπίσω, ἢ ὅτε παραβαίνει τὴν λέγουσαν ἐντολήν· „ὀπίσω [8]) τῶν ἐπιθυμιῶν σου μὴ πορεύου.“ Καὶ ὁ Ἠλίας δὲ ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν πρὸς τὸν λαόν φησιν· „ἕως [9]) πότε ὑμεῖς χωλανεῖτε ἐπ᾽ ἀμφοτέραις ταῖς ἰγνύαις; εἰ ἔστι κύριος ὁ θεὸς, πορεύεσθε ὀπίσω αὐτοῦ· εἰ δέ ἐστι κύριος ὁ Βάαλ, πορεύεσθε ὀπίσω αὐτοῦ.“ Καὶ λέγει τοῦτο τῷ Πέτρῳ ὁ

---

[1]) Matth. IV, 19.

[2]) H. et R. h. l. ὅ, τι κ. τ. λ.

[3]) Matth. XVI, 23.

[4]) Ibid. IV, 9. Edd. N. T. ταῦτα πάντα σοι δώσω κτλ.

[5]) Ibid. IV, 10. Ed. Knapp. ὕπαγε ὀπίσω μου, σατανᾶ, ed. Lachm. ὕπαγε (ὀπίσω μου), σατανᾶ.

[6]) Ibid IV, 19.

[7]) Ibid. X, 38. coll. ed. nostrae Tom. II. pag. 483. not. 1.

[8]) Ecclesiastic. (Sap. Sir.) XVIII, 30.

[9]) III Regg. (I Regg.) XVIII, 21. LXX. viri simpliciter: εἰ δὲ Βάαλ, πορεύεσθε κ. τ. λ.

Ἰησοῦς „στραφεὶς,“ [1]) καὶ τοῦτο εὐεργετῶν ποιεῖ. Καὶ σὺ μὲν οὖν πλείονα συναγαγὼν παραδείγματα τοῦ „στραφεὶς,“ καὶ μάλιστα ἐπὶ τοῦ Ἰησοῦ τεταγμένα, καὶ συνεξετάσας αὐτὰ ἀλλήλοις, εὕροις ἂν οὐ παρελκόντως τὴν λέξιν κειμένην. Ἀρκεῖ δὲ ἐπὶ τοῦ παρόντος παραθέσθαι ἀπὸ τοῦ κατὰ Ἰωάννην· „στραφεὶς [2]) δὲ ὁ Ἰησοῦς, καὶ θεασάμενος αὐτοὺς, — δηλονότι Πέτρον, καὶ Ἀνδρέαν, — „ἀκολουθοῦντας, λέγει αὐτοῖς· τί ζητεῖτε;“ ὅρα γὰρ, ὅτι καὶ ἐν τούτοις „στραφεὶς,“ ἐπ' εὐεργεσίᾳ γίνεται τῶν πρὸς οὓς ἐστράφη.

23. Μετὰ ταῦτα ζητητέον, πῶς εἴρηκε τῷ Πέτρῳ τό· „σκάνδαλόν [3]) μου εἶ·“ μάλιστα ἐπεί φησιν ὁ Δαβίδ· „εἰρήνη [4]) πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον.“ Φήσει γάρ τις, εἰ διὰ τὸ βέβαιον τῶν τὴν ἀγάπην ἐχόντων, καὶ ἀνεπιδέκτων ὄντων τοῦ σκανδαλίζεσθαι, — „ἡ ἀγάπη [5]) γὰρ πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει· ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει“ —, εἴρηται τοῦτο ἐν τῷ προφήτῃ, πῶς αὐτὸς ὁ κύριος ὑποστηρίζων [6]) πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθῶν πάντας τοὺς κατεῤῥαγμένους, εἶπε τῷ Πέτρῳ· „σκάνδαλόν [7]) μου εἶ;“ Λεκτέον δὲ, ὅτι ἀνεπίδεκτος μέν ἐστι τοῦ σκανδαλίζεσθαι, οὐ μόνον ὁ Σωτὴρ, ἀλλὰ καὶ ὁ ἐν ἀγάπῃ τετελειωμένος. Τὸ ὅσον δὲ ἐφ' ἑαυτῷ ὁ τὰ τοιαῦτα λέγων, ἢ πράττων, σκάνδαλόν ἐστι καὶ τοῦ μὴ σκανδαλισθησομένου· εἰ μὴ ἄρα τὸν μαθητὴν Ἰησοῦς ἁμαρτάνοντα σκάνδαλον καὶ ἑαυτοῦ ἀποκαλεῖ, ὡς πολλῷ μᾶλ-

---

[1]) Matth. XVI, 23.
[2]) Ev. Joann. I, 38.
[3]) Matth. XVI, 23. Ed. Lachm. σκάνδ. εἶ ἐμοῦ.
[4]) Psalm. CXIX, 165. (CXVIII.)
[5]) I Cor. XIII, 7. 8. Ed. Lachm. vers. 8. πίπτει.
[6]) Psalm. CXLV, 14. (CXLIV), et CXLVI, 8. (CXLV.)
[7]) Matth. XVI, 23. coll. pag. huj. not. 3.

λον παρὰ Παῦλον διὰ τὴν ἀγάπην λέξων ἄν· „τίς[1]) ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;" παρ' ὃ δυνατὸν ποιῆσαι· τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ σκανδαλίζομαι; Εἰ δὲ Πέτρος τότε διὰ τό· „ἵλεώς[2]) σοι, κύριε· οὐ μὴ ἔσται σοι τοῦτο" σκάνδαλον εἴρηται ὑπὸ τοῦ Ἰησοῦ, ὡς οὐ τὰ τοῦ θεοῦ ἐν οἷς εἶπε φρονῶν, ἀλλὰ τὰ τῶν ἀνθρώπων, τί λεκτέον περὶ πάντων τῶν ἐπαγγελλομένων μαθητεύεσθαι τῷ Ἰησοῦ, μὴ φρονούντων δὲ τὰ τοῦ θεοῦ, καὶ μὴ σκοπούντων[3]) τὰ μὴ βλεπόμενα καὶ αἰώνια, φρονούντων δὲ τὰ τῶν ἀνθρώπων, καὶ σκοπούντων τὰ βλεπόμενα καὶ πρόσκαιρα, ἢ ὅτι οἱ τοιοῦτοι ἔτι μᾶλλον ἂν ὑπὸ τοῦ Ἰησοῦ ἀποκαλοῖντο σκάνδαλον αὐτοῦ· καὶ διὰ τὸ[4]) σκάνδαλα αὐτοῦ εἶναι καὶ τῶν ἀδελφῶν; ἐφ' οἷς ὡς λέγει τό· „ἐπείνων,[5]) καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν," καὶ τὰ ἑξῆς, οὕτως εἴποι ἂν καὶ τό· τρέχοντα ἐσκανδαλίσατέ με. Μὴ νομίσωμεν τοίνυν τὸ τυχὸν εἶναι ἁμάρτημα τὸ[6]) φρονεῖν τὰ τῶν ἀνθρώπων, δέον ἐν πᾶσι φρονεῖν τὰ τοῦ θεοῦ. Ἁρμόσει δὲ λέγειν τοῦτο καὶ παντὶ τῷ ἀποπεπτωκότι μὲν δογμάτων θεοῦ, καὶ λόγων ἐκκλησιαστικῶν, καὶ φρονήματος ἀληθοῦς· φρονοῦντι δ' ὡς ἀληθῆ, φέρε εἰπεῖν, τὰ Βασιλίδου, ἢ Οὐαλεντίνου, ἢ Μαρκίωνος, ἤ τινος τῶν διδασκόντων τὰ ἀνθρώπινα ὡς θεῖα.

24. „Τότε[7]) ὁ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ· εἴ τις θέλει ὀπίσω μου ἀκολουθεῖν,"[8]) καὶ τὰ ἑξῆς. Διὰ

---

1) II Cor. XI, 29.

2) Matth. XVI, 22. — 23.

3) II Cor. IV, 18.

4) Ed. Coloniensis minus recte: τά.

5) Matth. XXV, 42. Edd. N. T. ἐπείνασα γάρ κτλ.

6) Desideratur τό in ed. R.

7) Matth. XVI, 24. Ed. Knapp. τοῖς μαθηταῖς αὐτοῦ.

8) Edd. N. T. ἐλθεῖν; rectissime, nisi quis legere malit. ἐλθεῖν καὶ ἀκολουθεῖν ἐμοί. Cfr. pag. 171. lin. 1. et 2.

τούτων δείκνυται, ὅτι τὸ θέλειν ὀπίσω τοῦ Ἰησοῦ ἐλθεῖν, καὶ ἀκολουθεῖν αὐτῷ, οὐκ ἀπὸ τοῦ τυχόντος ἀνδραγαθήματος γίνεται, καὶ οὐδεὶς μὴ ἀρνησάμενος ἑαυτὸν ἥκοι ἂν ὀπίσω τοῦ Ἰησοῦ. Ἀρνεῖται δὲ ἑαυτὸν ὁ τὸν ἑαυτοῦ πρότερον κατὰ κακίαν βίον γεγενημένον τῇ ἀξιολόγῳ μεταβολῇ ἀπαλείφων· οἷον, ὡς ἐπὶ παραδείγματος, ὁ πάλαι ἀκόλαστος ἀρνεῖται αὐτὸν ἀκόλαστον, σωφρονήσας καὶ καθεξῆς. Ἀλλ᾽ εἰκὸς ἀντιπίπτειν τινά, εἰ ὥσπερ ἑαυτὸν ἠρνήσατο, οὕτως καὶ αὐτὸν ὁμολογεῖ, ἀρνησάμενος μὲν ἑαυτὸν τὸν ἄδικον, ὁμολογῶν δὲ ἑαυτὸν τὸν δίκαιον. Ἀλλ᾽ εἴπερ Χριστός ἐστιν ἡ δικαιοσύνη, ὁ τὴν δικαιοσύνην ἀνειληφὼς, οὐχ ἑαυτὸν, ἀλλὰ Χριστὸν ὁμολογεῖ· οὕτως καὶ ὁ τὴν σοφίαν εὑρὼν, δι᾽ αὐτοῦ τοῦ ἔχειν σοφίαν Χριστὸν ὁμολογεῖ. Καὶ ὁ τοιοῦτός γε καρδίᾳ [1]) πιστεύων εἰς δικαιοσύνην, καὶ στόματι ὁμολογῶν εἰς σωτηρίαν, καὶ τοῖς ἔργοις Χριστοῦ μαρτυρῶν, ὡς ὁμολογήσας διὰ πάντων τούτων τὸν Χριστὸν ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογηθήσεται [2]) ὑπ᾽ αὐτοῦ ἔμπροσθεν τοῦ ἐν τοῖς οὐρανοῖς πατρός. Οὕτω δὲ καὶ ὁ μὴ ἀρνησάμενος ἑαυτὸν, ἀρνησάμενος τὸν Χριστὸν, πείσεται τό· „κἀγὼ [3]) αὐτὸν ἀρνήσομαι.“ Διὰ τοῦτο πᾶς διαλογισμὸς ἡμῶν, καὶ νόημα, καὶ πᾶς λόγος, καὶ πᾶσα πρᾶξις γινέσθω τῆς ἡμῶν περὶ ἑαυτῶν μὲν ἀρνήσεως, περὶ δὲ Χριστοῦ, καὶ ἐν Χριστῷ μαρτυρίας· πείθομαι γὰρ, πᾶσαν τὴν τοῦ τελείου πρᾶξιν μαρτύριον εἶναι Χριστοῦ Ἰησοῦ, καὶ τὴν πάσης ἁμαρτίας ἀποχὴν ἄρνησιν εἶναι ἑαυτοῦ, φέρουσαν ὀπίσω τοῦ Ἰησοῦ. Ὁ δὲ τοιοῦτος Χριστῷ συνεσταύρωται, καὶ ἄρας τὸν σταυρὸν ἑαυτοῦ ἀκολουθεῖ τῷ δι᾽ ἡμᾶς βαστάζοντι τὸν ἑαυτοῦ σταυρὸν, κατὰ τὸ εἰρημένον οὕτω παρὰ τῷ

---

1) Rom. X, 10.

2) Matth. X, 32. coll. Luc. XII, 8.

3) Matth. X, 33. Ed. Knapp. ἀρνήσ. αὐτόν κἀγώ, ed. Lachm. ἀρνήσ. κἀγὼ αὐτόν. Cfr. Luc. XII, 9.

Ἰωάννη· „παραλαβόντες [1]) οὖν αὐτὸν ἐπέθηκαν αὐτῷ,“ καὶ τὰ ἑξῆς, ἕως τοῦ· „ὅπου αὐτὸν ἐσταύρωσαν.“ Ἀλλ' ὁ μὲν, ἵν' οὕτως ὀνομάσω, κατὰ τὸν Ἰωάννην Ἰησοῦς ἑαυτῷ βαστάζει τὸν σταυρὸν, καὶ βαστάζων αὐτὸν ἐξῆλθεν· ὁ δὲ κατὰ τὸν Ματθαῖον, [2]) καὶ Μάρκον, καὶ Λουκᾶν, οὐχ ἑαυτῷ αὐτὸν αἴρει· Σίμων γὰρ ὁ Κυρηναῖος αὐτὸν βαστάζει. Καὶ τάχα οὗτος μὲν εἰς ἡμᾶς ἀναφέρεται, τοὺς διὰ τὸν Ἰησοῦν τὸν Ἰησοῦ σταυρὸν αἴροντας, αὐτὸς δὲ ὁ Ἰησοῦς εἰς ἑαυτόν· οἷον γὰρ δύο ἐπίνοιαι τοῦ σταυροῦ εἰσιν, ἑνὸς μὲν ὃν ὁ Σίμων [3]) ὁ Κυρηναῖος βαστάζει, ἑτέρου δὲ ὃν αὐτὸς ἑαυτῷ ὁ Ἰησοῦς.

25. Ἔτι δὲ εἰς τό· „ἀρνησάσθω [4]) ἑαυτόν·“ δοκεῖ μοι χρήσιμον εἶναι τὸ ὑπὸ τοῦ Παύλου ἀρνουμένου ἑαυτὸν εἰρημένον, οὕτως ἔχον· „ζῶ [5]) δὲ, οὐκ ἔτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός·“ τὸ γάρ· „ζῶ, οὐκ ἔτι ἐγώ·“ φωνὴ ἦν ἑαυτὸν ἀρνουμένου, ὡς ἀποθεμένου μὲν τὴν ἑαυτοῦ ζωὴν, ἀνειληφότος δὲ εἰς ἑαυτὸν τὸν Χριστὸν, ἵνα αὐτὸς ἐν αὐτῷ ζήσῃ, ὡς δικαιοσύνη, καὶ ὡς σοφία, καὶ ὡς ἁγιασμὸς, καὶ ὡς εἰρήνη ἡμῶν, καὶ ὡς δύναμις θεοῦ, πάντα ἐν αὐτῷ ἐνεργῶν. Ἔτι δὲ καὶ τούτῳ πρόσχες, ὅτι πολλῶν ὄντων τῶν τρόπων τοῦ ἀποθνήσκειν, ἐπὶ ξύλου κρεμασθεὶς [6]) ἐσταυρώθη ὁ υἱὸς τοῦ θεοῦ, ἵνα πάντες οἱ ἀποθνήσκοντες τῇ ἁμαρτίᾳ μὴ ἄλλῳ τρόπῳ ἀποθάνωσιν αὐτῇ, ἢ τῷ κατὰ τὸν σταυρόν. Διὸ ἐροῦσι τό· „Χριστῷ [7]) συνεσταύρωμαι·“ καὶ τό· „ἐμοὶ μὴ γε-

---

[1]) Ev. Joann. XIX, 17. 18. coll. edd. N. T.

[2]) Matth. XXVII, 32. Marc. XV, 21. Luc. XXIII, 26. coll. ev. Joann. XIX, 17.

[3]) Ed. H. *ὁ Σίμων*, ed. R. *Σίμων*.

[4]) Matth. XVI, 24. Edd. N. T. *ἀπαρνησάσθω κτλ.*

[5]) Gal. II, 20. H. et R. *οὐκ ἔτι*.

[6]) Ed. R. *κρεμαδεί*.

[7]) Gal. II, 19. (20.) — VI, 14. Edd. N. T. *ἐμοὶ δὲ*

νοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ.“ Τάχα [1]) δὲ καὶ ἕκαστος τῶν συσταυρουμένων τῷ Χριστῷ ἀπεκδύεται [2]) τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας, καὶ δειγματίζει αὐτὰς, καὶ θριαμβεύει ἐν τῷ ξύλῳ· μᾶλλον δὲ Χριστὸς ἐν αὐτοῖς ταῦτα ποιεῖ.

26. „Ὃς [3]) γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν.“ Ἀμφίβολος ἡ πρώτη λέξις· ἔστι γὰρ ἀπ' αὐτῆς, καθ' ἕνα μὲν τρόπον, ταῦτα νοῆσαι· εἴ τις ὡς φιλόζωος, καὶ οἰόμενος τὴν ἐνεστηκυῖαν εἶναι ζωὴν ἀγαθὸν, περιέπει τὴν ἑαυτοῦ ψυχὴν πρὸς τὸ ἐν σαρκὶ ζῆν, φοβούμενος ἀποθανεῖν, ὡς διὰ τοῦ θανάτου ἀπολέσων αὐτὴν, οὗτος ἐν αὐτῷ τῷ θέλειν τὸν τρόπον τοῦτον σώζειν τὴν ψυχὴν ἑαυτοῦ ἀπολέσει αὐτὴν, ἔξω ποιῶν αὐτὴν τῶν [4]) ὅρων τῶν τῆς μακαριότητος. Εἰ δέ τις καταφρονῶν τοῦ ἐνεστηκότος ζῆν διὰ τὸν ἐμὸν λόγον, πείσαντα περὶ αἰωνίου ζωῆς μέχρι θανάτου ἀγωνίζεσθαι ὑπὲρ ἀληθείας, ἀπόλλυσι τὴν ἑαυτοῦ ψυχὴν, παραδιδοὺς αὐτὴν ὑπὲρ εὐσεβείας τῷ κοινότερον ὀνομαζομένῳ θανάτῳ, οὗτος ὡς δι' ἐμὲ ἀπολέσας τὴν ψυχὴν, σώσει αὐτὴν μᾶλλον, καὶ περιποιήσεται. Καὶ καθ' ἕτερον δὲ τρόπον οὕτως ἂν ἐκδεχοίμεθα τὸ ῥητόν· εἴ τις νοήσας ὅ, τί ποτέ ἐστιν ἡ σωτηρία, βούλεται κομίσασθαι τὴν σωτηρίαν τῆς ἑαυτοῦ ψυχῆς, οὗτος ἀποταξάμενος τούτῳ

μὴ γένοιτο, et τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. In fine vers. ed. Lachm. κἀγὼ κόσμῳ.

[1]) H. et R. in textu: τάχα γὰρ καὶ ἕκ. τ. συσταυρουμένων Χριστῷ; R. tamen in notis: „Cod. Vatic. τάχα δὲ καὶ ἕκ. τῶν σταυρουμένων τῷ Χριστῷ.“

[2]) Coloss. II, 15.

[3]) Matth. XVI, 25. Ed. Lachm. ἐὰν θέλῃ τ. ψυχὴν αὐτοῦ.

[4]) H. et R. in textu: τῶν ὅρων τῆς κ. τ. λ.; H. tamen in notis: „Cod. Reg. τῶν ὁρώντων τῆς κ. τ. λ., lege τῶν ὅρων τῶν τῆς κ. τ. λ.“

τῷ βίῳ, καὶ ἀρνησάμενος αὐτὸν, καὶ ἄρας τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθῶν μοι, ἀπολλύτω τῷ κόσμῳ τὴν ψυχὴν ἑαυτοῦ· ἐμοῦ γὰρ ἕνεκεν, καὶ πάσης μου τῆς διδασκαλίας ἀπολλὺς αὐτὴν, τέλος τῆς τοιαύτης ἀπωλείας κομίσεται τὴν σωτηρίαν.

27. Ἅμα δὲ καὶ τήρει, ὅτι ἐν μὲν τῇ ἀρχῇ τό· „ὃς[1]) ἂν θέλῃ" εἴρηται· ἑξῆς δὲ τό· „ὃς[2]) ἀπολέσῃ αὐτήν." Θέλοντες οὖν αὐτὴν σώζεσθαι, ἀπολέσωμεν αὐτὴν τῷ κόσμῳ, ὡς Χριστῷ συσταυρούμενοι, καὶ ὡς ἔχοντες καύχημα[3]) τὸ ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ ὁ κόσμος ἡμῖν σταυρωθήσεται, καὶ ἡμεῖς τῷ κόσμῳ, ἵνα κομισώμεθα τὸ τέλος τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν, ἀρχομένην ἀπὸ τοῦ ἀπολλύναι ἡμᾶς αὐτὴν ἕνεκα τοῦ λόγου. Ἀλλ᾽ εἴπερ νοοῦμεν, τὸ σώζεσθαι τὴν ψυχὴν μακάριον εἶναι, ἀναφερόμενον ἐπὶ τὴν ἐν θεῷ σωτηρίαν, καὶ τοὺς παρ᾽ αὐτῷ μακαρισμοὺς, ὀφείλει τις εἶναι καὶ ἀπώλεια ψυχῆς ἀγαθὴ, καὶ ἕνεκεν Χριστοῦ προοίμιον ἐσομένη τῆς μακαρίας σωτηρίας. Δοκεῖ μοι οὖν, ἀνάλογον τῷ ἀρνεῖσθαι ἑαυτὸν, κατὰ τὰ ἀποδεδομένα ἀπολλύναι δεῖν ἕκαστον τὴν ἑαυτοῦ ψυχήν. Ἀπολλύτω οὖν ἕκαστος τὴν ἑαυτοῦ ἁμαρτάνουσαν ψυχὴν, ἵνα ἀπολέσας τὴν ἁμαρτάνουσαν, ἀναλάβῃ τὴν ἐν τῷ κατορθοῦν σωζομένην· οὐδὲν δὲ ὠφεληθήσεται[4]) ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδάνῃ. Κερδαίνει δ᾽, οἶμαι, τὸν κόσμον, ᾧ ὁ κόσμος οὐ σταυροῦται· ᾧ δὲ κόσμος οὐ σταυροῦται, ἐκείνῳ ἔσται ζημία τῆς ψυχῆς ἑαυτοῦ. Δύο δὲ προκειμένων, ἤτοι διὰ τὸ κερδαίνειν τὴν ψυχὴν ζημιοῦσθαι τὸν κόσμον, ἢ διὰ τὸ κερδαίνειν τὸν κόσμον ζημιοῦσθαι τὴν ψυχὴν, πολλῷ μᾶλ-

---

[1]) Ed. R. h. l., cfr. pag. 173. not. 3., ἂν ὃς θέλῃ. Matth. XVI, 25.

[2]) Matth. XVI, 25. coll. edd. N. T.

[3]) Gal. VI, 14.

[4]) Matth. XVI, 26.

λόν ἐστιν αἱρετώτερον, ζημιωθῆναι μὲν ἡμᾶς τὸν κόσμον, κερδῆσαι δὲ τὴν ψυχὴν, ἐκ τοῦ διὰ Χριστὸν αὐτὴν ἀπολέσαι.

28. Τὸ δέ· „ἢ[1]) τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ;“ δόξει μὲν, ἐπαπορητικῶς εἰρημένον, δύνασθαι δηλοῦν καὶ τὸ δοῦναι „ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ,“ μετὰ τὰς ἁμαρτίας ὅλην ἀποδεδομένον τὴν οὐσίαν, ἵνα ψωμίσῃ πένητας τὰ ὑπάρχοντα αὐτοῦ, ὡς διὰ τούτου σωθησόμενος· καὶ ἀποφαντικῶς δ᾽ οἶμαι δηλοῦν, ὅτι οὐκ ἔστι τι τῷ ἀνθρώπῳ, ὅπερ δοὺς ὡς „ἀντάλλαγμα τῆς ψυχῆς ἑαυτοῦ,“ κεκρατημένης ὑπὸ τοῦ θανάτου, λυτρώσεται αὐτὴν ἐκ χειρὸς αὐτοῦ. Ἄνθρωπος μὲν οὖν οὐκ ἂν δώῃ τι „ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ,“ θεὸς δὲ τῆς πάντων ἡμῶν ψυχῆς ἀντάλλαγμα ἔδωκε τὸ τίμιον αἷμα τοῦ Ἰησοῦ, καθὸ τιμῆς[2]) ἠγοράσθημεν, οὐ[3]) φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ, ἀπολυτρωθέντες, ἀλλὰ τιμίῳ αἵματι, ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου, Χριστοῦ. Καὶ ἐν Ἡσαΐᾳ λέλεκται τῷ Ἰσραήλ· „ἔδωκά[4]) σου ἀντάλλαγμα[5]) Αἰθιοπίαν, καὶ Αἴγυπτον, καὶ Σοήνην ὑπὲρ σοῦ· ἀφ᾽ οὗ σὺ ἔντιμος ἐγένου ἐναντίον μου, ἐδοξάσθης.“ „Ἄλλαγμα“[6]) γὰρ, φέρ᾽ εἰπεῖν, ὑπὲρ τῶν πρωτοτόκων τοῦ Ἰσραὴλ τὰ πρωτότοκα γέγονεν Αἰγυπτίων· καὶ ὑπὲρ τοῦ Ἰσραὴλ οἱ ἀποθανόντες Αἰγύπτιοι ἐν ταῖς λοιπαῖς μάστιξι ταῖς ἐπεληλυθυίαις ἐπ᾽ Αἴγυπτον, καὶ ἐν τῷ μετὰ τὰς μάστιγας κα-

---

[1]) Matth. XVI, 26. Ed. Lachm. αὐτοῦ.

[2]) I Cor. VI, 20. et VII, 23.

[3]) I Petr. I, 18. 19.

[4]) Jes. XLIII, 3. 4. LXX. interpretes: ἐποίησα ἄλλαγμά σου Αἴγυπτον καὶ Αἰθιοπίαν, καὶ ὑπὲρ σοῦ. Ἀφ᾽ οὗ ἔντιμος κ. τ. λ.

[5]) H. et R. h. l., cfr. pag. huj. not. 6., ἀντάλλαγμα.

[6]) H. et R. h. l., cfr. pag. huj. not. 4. coll. not. 5., ἄλλαγμα.

ταποντισμῷ. Ἀπὸ τούτων δὲ ὁ δυνάμενος ἐξεταζέτω, εἰ τοῦ ἀληθινοῦ Ἰσραὴλ ἄλλαγμα δίδοται ὑπὸ τοῦ θεοῦ, ῥυομένου τὸν Ἰσραὴλ ἐκ[1]) πασῶν τῶν ἀνομιῶν αὐτοῦ, ἡ ἀληθινὴ Αἰθιοπία, καὶ, ἵν᾽ οὕτως ὀνομάσω, πνευματικὴ Αἴγυπτος, καὶ τῆς Αἰγύπτου ἡ Σοήνη· ἵνα δὲ τολμηρότερον ζητήσω, τάχα Σοήνη μὲν ὑπὲρ τῆς Ἱερουσαλὴμ, Αἴγυπτος δὲ ὑπὲρ τῆς Ἰουδαίας, Αἰθιοπία δὲ ὑπὲρ τῶν φοβουμένων, ἑτέρων ὄντων παρὰ τὸν Ἰσραὴλ, καὶ τὸν οἶκον Λευὶ, καὶ τὸν οἶκον Ἀαρών.

29. „Μέλλει[2]) γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ." Νῦν μὲν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλήλυθεν οὐκ[3]) ἐν τῇ δόξῃ αὐτοῦ· „εἴδομεν[4]) γὰρ αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἄνθρωπος ἐν πληγῇ ὢν, καὶ πόνῳ, καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη, καὶ οὐκ ἐλογίσθη." Καὶ ἔδει αὐτὸν τοιοῦτον ἐληλυθέναι, ἵνα τὰς ἁμαρτίας[5]) ἡμῶν φέρῃ, καὶ περὶ ἡμῶν ὀδυνηθῇ· οὐ γὰρ ἔπρεπε τὸν ἐν δόξῃ φέρειν τὰς ἁμαρτίας ἡμῶν, καὶ ὀδυνηθῆναι περὶ ἡμῶν. Ἀλλὰ καὶ ἔρχεται ἐν δόξῃ, προευτρεπίσαι τοὺς μαθητὰς διὰ τῆς μὴ ἐχούσης εἶδος, μηδὲ κάλλος, ἐπιφανείας αὐτοῦ· καὶ γενόμενος ὡς αὐτοὶ, πρὸς τὸ γενέσθαι αὐτοὺς ὡς αὐτὸς,

---

[1]) Psalm. CXXX, 8. (CXXIX.)

[2]) Matth. XVI, 27. Ed. Lachm. bis *αὐτοῦ*.

[3]) *ἐλήλυθεν οὐκ ἐν κ. τ. λ.* Ita recte habet Cod. Vaticanus. In ed. (textu ed.) Huet. deest *οὐκ*. R. — H. in notis: „veterum interpretatio: *nunc quidem filius hominis venit, sed non in gloria sua;* et id sensus desiderat. Scribendum ergo: *ἐλήλυθεν, ἀλλ᾽ οὐκ ἐν τῇ κτλ.*"

[4]) Jes. LIII, 2. 3. Desunt verba, *καὶ πόνῳ*, in LXX. virorum versione.

[5]) Jes. LIII, 4.

συμμόρφους [1]) τῆς εἰκόνος τῆς δόξης αὐτοῦ, ἐπεὶ πρότερον αὐτὸς γέγονε σύμμορφος [2]) τῷ σώματι τῆς ταπεινώσεως ἡμῶν, ἡνίκα „ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβὼν," ἀποκαθίσταταί τε ἐπὶ τὴν τοῦ θεοῦ μορφὴν, καὶ ποιεῖ αὐτοὺς συμμόρφους αὐτῇ.

30. Ἐὰν δὲ δυνηθῇς κατανοῆσαι τὰς τοῦ λόγου διαφορὰς, ἐν μωρίᾳ [3]) κηρύγματος καταγγελλομένου τοῖς πιστεύουσι, καὶ ἐν σοφίᾳ λαλουμένου τοῖς τελείοις, ὄψει τίνα τρόπον ὁ Λόγος τοῖς μὲν εἰσαγομένοις ἔχει δούλου μορφὴν, ὥστ' ἂν εἰπεῖν αὐτούς· „εἴδομεν [4]) αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος." Τοῖς δὲ τελείοις ἔρχεται „ἐν [5]) τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ," λέγουσιν [6]) ἂν τό· „καὶ ἐθεασάμεθα [7]) τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας." Καὶ γὰρ τοῖς τελείοις φαίνεται ἡ δόξα τοῦ Λόγου, καὶ τὸ μονογενὲς αὐτοῦ τῷ πατρὶ θεῷ, καὶ τὸ τῆς χάριτος πλῆρες, ὁμοίως δὲ καὶ τῆς ἀληθείας· ὅπερ οὐ δύναται χωρῆσαι ὁ δεόμενος πρὸς τὸ πιστεύειν τῆς μωρίας [8]) τοῦ κηρύγματος. „Μέλλει [9]) δὲ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ," οὐ μόνος, ἀλλὰ „μετὰ τῶν ἀγγέλων αὐτοῦ." Καὶ εἰ δύνασαι νοῆσαι πάντας τοὺς συνεργοὺς τῆς δόξης τοῦ Λόγου, καὶ τῆς ἀποκαλύψεως τῆς σοφίας, ἅπερ ἔστιν ὁ Χριστὸς, συνεπιδημοῦντας αὐτῷ, ὄψει τίνα τρόπον ἔρχεται ὁ υἱὸς τοῦ ἀνθρώπου „ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν

---

[1]) Rom. VIII, 29.
[2]) Philipp. III, 21. — II, 7.
[3]) I Cor. I, 21. — II, 6.
[4]) Jes. LIII, 2.
[5]) Matth. XVI, 27.
[6]) Cod. Vaticanus: λέξουσι καὶ ἐθεασάμεθα. R.
[7]) Ev. Joann I, 14.
[8]) I Cor. I, 21.
[9]) Matth. XVI, 27. coll. pag. 176. not. 2.

ἀγγέλων αὐτοῦ.“ Καὶ πρόσχες, εἰ δύνασαι ἐν τούτοις τοὺς πρότερον παθόντας προφήτας ἀναλογίαν φάσκειν ἐσχηκέναι πρὸς τὸν μὴ ἐσχηκότα εἶδος μηδὲ κάλλος Λόγον, τῷ μὴ ἔχοντι εἶδος μηδὲ κάλλος λόγῳ. Ὥσπερ δὲ ἔρχεται ὁ υἱὸς τοῦ ἀνθρώπου „ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ,“ οὕτως ἄγγελοι, γινόμενοι οἱ ἐν τοῖς προφήταις λόγοι, μετ᾽ αὐτοῦ παραγίνονται, τὴν ἀναλογίαν σώζοντες τῆς ἑαυτῶν δόξης. Ἐπὰν δὲ τοιοῦτος μετὰ τῶν ἀγγέλων αὐτοῦ ἐπιδημήσῃ ὁ Λόγος, μεταδώσει ἑκάστῳ τῆς δόξης ἑαυτοῦ, [1]) καὶ τῆς λαμπρότητος τῶν ἀγγέλων ἑαυτοῦ, κατὰ τὴν ἑκάστου πρᾶξιν. [2]) Ταῦτα δὲ λέγομεν οὐκ ἀθετοῦντες καὶ τὴν ἁπλούστερον νοουμένην δευτέραν ἐπιδημίαν τοῦ υἱοῦ τοῦ θεοῦ. Πότε δὲ ταῦτα ἀπαντήσεται; ἢ ὅτε τὸ ἀποστολικὸν ἐκεῖνο πληροῦται λόγιον, τὸ λέγον· „τοὺς [3]) γὰρ πάντας ἡμᾶς παραστῆναι [4]) δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον; Εἰ δὲ ἑκάστῳ κατὰ τὴν πρᾶξιν ἀποδώσει, οὐ τὴν ἀστείαν μόνην, [5]) ἀλλ᾽ οὐδὲ τὴν φαύλην χωρὶς τῆς ἀστείας, δῆλον ὅτι ἑκάστῳ ἀποδώσει κατὰ πᾶσαν φαύλην, καὶ κατὰ πᾶσαν ἀστείαν πρᾶξιν. Ὑπολαμβάνω δὲ, — ἐν τούτοις πειθόμενος καὶ τῷ ἀποστόλῳ, συμβάλλων δὲ καὶ τὰ τοῦ Ἰεζεκιὴλ, [6]) ἐν οἷς τοῦ τελείως ἐπιστρέψαντος ἀπαλείφεται τὰ ἁμαρτήματα, καὶ τοῦ πάντῃ ἐκπεσόντος οὐ λογίζεται τὰ πρότερον κατορθώματα, — ὅτι τοῦ μὲν τελειωθέντος, καὶ πάντῃ τὴν κακίαν ἀποθεμένου, ἀπαλείφεται τὰ ἁμαρτήματα· τοῦ

---

[1]) Codd. Vatic. et Tarinianus: αὐτοῦ. R.

[2]) Unus Codex habet τάξιν. R.

[3]) II Cor. V, 10. Edd. N. T. φανερωθῆναι pro παραστῆναι, et κακόν pro φαῦλον.

[4]) Unus Codex παραστῆσαι. R.

[5]) Cod. Tarinianus: ἐκείνην. R.

[6]) Ezech. XVIII, 21. 22. 24. 27. 28.

δὲ πάντη ἀποστατήσαντος[1]) *τῆς θεοσεβείας, οὐ λογίζεται εἴ τι πρότερον χρηστὸν αὐτῷ πέπρακται. Ἡμῖν δὲ, τοῖς μεταξὺ τοῦ τελείου καὶ τοῦ ἀποστάτου παραστᾶσιν*[2]) *ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, δίδοται ἃ ἐπράξαμεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον· οὔτε γὰρ τοσοῦτον ἐκαθαρεύσαμεν, ἵνα ἡμῖν μηδόλως ἐπιλογισθῇ τὰ φαῦλα· οὔτε ἐπὶ τοσοῦτον ἐκπεπτώκαμεν, ὥστε ἐπιλησθῆναι ἡμῶν τὰ κρείττονα.*

31. „*Ἀμὴν*[3]) *λέγω ὑμῖν, εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου.*“ *Ταῦτα ἀναφέρουσί τινες ἐπὶ τὴν μεθ' ἡμέρας ἕξ, ἢ, ὡς ὁ Λουκᾶς φησιν, ὀκτὼ*[4]) *ἀνάβασιν τῶν τριῶν ἀποστόλων εἰς τὸ ὑψηλὸν μετὰ τοῦ Ἰησοῦ κατ' ἰδίαν ὄρος· καί φασιν οἱ οὕτω διηγούμενοι, ὅτι οὐκ ἐγεύσαντο θανάτου Πέτρος, καὶ οἱ λοιποὶ δύο, πρὸ τοῦ ἰδεῖν τὸν υἱὸν τοῦ ἀνθρώπου, ἐλθόντα ἐν τῇ βασιλείᾳ αὐτοῦ, καὶ*[5]) *ἐν τῇ δόξῃ αὐτοῦ. Ἰδόντες γὰρ ἔμπροσθεν αὐτῶν μεταμορφωθέντα τὸν Ἰησοῦν, ὡς λάμψαι τὸ πρόσωπον αὐτοῦ, καὶ τὰ ἑξῆς, ἑωράκασι „τὴν βασιλείαν*[6]) *τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.*“ *Καὶ γὰρ ὡς περιεστήκασι βασιλέα δορυφόροι τινὲς, οὕτως Μωσῆς*[7]) *καὶ Ἠλίας ὤφθησαν τοῖς ἀναβεβηκόσιν εἰς τὸ ὄρος, μετὰ τοῦ Ἰησοῦ λαλοῦντες. Ἄξιον δὲ ἐπιστῆσαι, εἰ ἐπὶ*[8]) *τούτους ἀναφέρεται τὸ*

---

[1]) Cod. Tarinianus: *ἀποστήσαντος*. R.

[2]) II Cor. V, 10.

[3]) Matth. XVI, 28. Ed. Lachm. *ὅτι εἰσί κ. τ. λ.*; edd. N. T. *ἑστώτων*.

[4]) Luc. IX, 28.

[5]) Deest *καί* in ed. R. — Matth. XVI, 28. H. in notis: „quidam N. T. Codd. habent: *ἐν τῇ βασιλείᾳ αὐτοῦ*, alii: *ἐν τῇ δόξῃ αὐτοῦ*. Utramque lectionem Origenes complexus est.“

[6]) Marc. IX, 1.

[7]) Matth. XVII, 3.

[8]) Codex Vaticanus: *ἐπὶ τούτοις*. R.

καθίσαι [1]) ἐκ δεξιῶν καὶ εὐωνύμων τοῦ Σωτῆρος ἐν τῇ βασιλείᾳ αὐτοῦ, ὡς τό· „ἀλλ' οἷς ἡτοίμασται·" διὰ τούτους λελέχθαι. Αὕτη δὲ ἡ διήγησις περὶ τοῦ μὴ γεύσασθαι θανάτου τοὺς τρεῖς ἀποστόλους, ἕως ἂν ἴδωσι τὸν Ἰησοῦν μεταμορφούμενον, ἁρμόζει τοῖς, ὡς ὁ Πέτρος ὠνόμασε, γενομένοις ὡς ἀρτιγέννητα [2]) βρέφη, τὰ ἐπιποθοῦντα τὸ λογικὸν ἄδολον γάλα· πρὸς οὓς ὁ Παῦλος λέγει· „γάλα [3]) ὑμᾶς ἐπότισα, οὐ βρῶμα," καὶ τὰ ἑξῆς. Καὶ πᾶσα δ', οἶμαι, ἡ πρὸς τὸ ῥητὸν οἰκοδομεῖν δυναμένη τοὺς μὴ χωροῦντας μείζονα διήγησις, γάλα ἂν εὐλόγως ὀνομάζοιτο, τὸ ῥέον ἀπὸ τῆς ἁγίας τῶν γραφῶν γῆς, τῆς ῥεούσης μέλι καὶ γάλα. Ἀλλ' ὁ [4]) ὡς ὁ Ἰσαὰκ ἀπογαλακτισθεὶς, ἀξίως εὐφροσύνης καὶ δοχῆς ἣν ἐποίησεν ἐπὶ [5]) τῷ ἀπογαλακτισμῷ τοῦ υἱοῦ ὁ Ἀβραὰμ, ζητήσειεν ἂν τὴν ἐν τούτοις καὶ πάσῃ γραφῇ [6]) τροφὴν, ἑτέραν, οἶμαι, οὖσαν τοῦ βρώματος μὲν, οὐ στερεᾶς δὲ τροφῆς, καὶ τῶν ὀνομαζομένων τροπικῶς λαχάνων, ἅτινα τῷ ἀπογαλακτισθέντι μὲν, οὐκ ἰσχυρῷ δὲ, ἀλλ' ἀσθενοῦντί ἐστι τροφὴ, κατὰ τό· „ὁ ἀσθενῶν [7]) λάχανα ἐσθίει." Ὁμοίως καὶ ὁ ὡς Σαμουὴλ ἀπογα-

---

[1]) Matth. XX, 23.

[2]) I Petr. II, 2.

[3]) I Cor. III, 2.

[4]) H. ad oram, R. in notis: „Cod. Regius: ἀλλ' ὡς ὁ Ἰσαὰκ κ. τ. λ." Gen. XXI, 8.

[5]) H. ad marg., R. in notis: „Cod. Regius: ἐπὶ τῷ ἀπογαλακτισθῆναι."

[6]) H. in textu: γραφῇ στερεὰν * οἶμαι οὖσαν, R. in textu: γραφῇ στερεὰν οἶμαι οὖσαν κ. τ. λ.; R. in notis: „pro στερεάν lego ἑτέραν, ex veteri versione." Quae quidem vetus interpretatio haec offert: *et in omni scriptura fortiorem cibum, qui alter est ab eo cibo, qui cibus quidem est, sed non fortis cibus,* etc.

[7]) Rom. XIV, 2

λακτισθεὶς, [1]) *καὶ ἀνατιθέμενος ἀπὸ τῆς μητρὸς τῷ θεῷ· — αὕτη δὲ Ἄννα ἦν, ἥτις ἑρμηνεύεται Χάρις· — καὶ εἴη ἂν τῆς χάριτος υἱὸς, ὁ ζητῶν, ὡς ἐν ναῷ τρεφόμενος, θεοῦ κρέα, ἁγίαν τροφὴν τελείων ἅμα καὶ ἱερέων.*

32. *Τὰ οὖν εἰς τὸν προκείμενον τόπον βλεπόμενα ἐπὶ τοῦ παρόντος ἡμῖν τοιαῦτά ἐστιν· ἦσάν τινες ἑστῶτες ὅπου ὁ Ἰησοῦς, καὶ ἐρηρεισμένας ἔχοντες τὰς τῆς ψυχῆς βάσεις παρὰ τῷ Ἰησοῦ, καὶ ἦν αὐτῶν ἡ τῶν ποδῶν στάσις συγγενὴς τῇ περὶ ἧς εἶπε Μωσῆς στάσει ἐν τῷ· „κἀγὼ* [2]) *ἔστην ἐν τῷ ὄρει τεσσαράκοντα ἡμέρας, καὶ τεσσαράκοντα νύκτας·" ἀξιωθέντι* [3]) *καὶ τοῦ· „σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ·" λεγομένου πρὸς αὐτὸν ὑπὸ τοῦ θεοῦ ἀξιοῦντος αὐτὸν στῆναι παρ' αὐτῷ. Οὗτοι δὴ οἱ ἑστῶτες παρὰ τῷ Ἰησοῦ, τουτέστι παρὰ τῷ Λόγῳ τοῦ θεοῦ, οὐ πάντες ἐπίσης ἑστήκασιν· ἔστι γὰρ καὶ ἐν τοῖς ἑστηκόσι παρὰ τῷ Ἰησοῦ πρὸς ἀλλήλους διαφορά. Διὸ οὐ πάντες οἱ ἑστῶτες παρὰ τῷ Σωτῆρι, ἀλλά τινες αὐτῶν, ὡς βέλτιον ἑστηκότες, οὐ γεύονται θανάτου, ἕως ἂν ἴδωσι τὸν ἀνθρώποις ἐπιδημήσαντα Λόγον, καὶ διὰ τοῦτο υἱὸν ἀνθρώπου χρηματίζοντα, ἐρχόμενον ἐν τῇ βασιλείᾳ ἑαυτοῦ· οὐ γὰρ ἀεὶ, ὅτε ἔρχεται ὁ Ἰησοῦς, ἐν τῇ βασιλείᾳ αὐτοῦ ἔρχεται, ἐπεὶ τοῖς εἰσαγομένοις τοιοῦτός ἐστιν, ὥστε εἰπεῖν ἂν αὐτοὺς, βλέποντας αὐτὸν, οὐκ ἔνδοξον, οὐδὲ μέγαν, ἀλλ' ὑποδεέστερον πολλῶν ἐν αὐτοῖς Λόγον· „εἴδομεν* [4]) *αὐτὸν,*

---

[1]) I Sam. I, 23. sqq. (I Regg.)

[2]) Deut. X, 10.

[3]) H. et R. in textu recte: *ἀξιωθέντι καὶ τοῦ;* H. in notis: „quid hic dandi casum postulet, non video; cum enim haec praecedant: *συγγενὴς τῇ — στάσει*, plane dici debuit: *ἀξιωθεὶς καὶ τοῦ.* Lectionem tamen Mss. retinuimus." — Deut. V, 31.

[4]) Jes. LIII, 2. 3. coll. propter *πάντας* p. 176. not. 4.

καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων.“ Καὶ ταῦτα ἐροῦσιν οἱ ἰδόντες αὐτοῦ τὴν δόξαν περὶ τῶν προτέρων ἑαυτῶν[1]) *χρόνων, ὅτε κατὰ τὰς ἀρχὰς οὐκ εἶχεν αὐτοῖς εἶδος, οὐδὲ κάλλος, ὁ ἐν συναγωγῇ νοούμενος*[2]) *Λόγος. Ἔστιν οὖν βασιλικὸν ἐμφαινόμενον ἀξίωμα τοῦ τὴν ἐπὶ πᾶσιν λόγοις ἀρχὴν φανερώτατα ἀνειληφότος Λόγου, βλεπόμενόν τισι τῶν ἑστηκότων παρὰ τῷ Ἰησοῦ, ἐπὰν δυνηθῶσιν αὐτῷ ἀκολουθῆσαι προάγοντι αὐτοὺς, καὶ ἀναβαίνοντι εἰς τὸ ὑψηλὸν τῆς ἑαυτοῦ φανερώσεως ὄρος. Οὗ τινες τῶν ἑστώτων παρὰ Ἰησοῦν ἀξιοῦνται, ἐὰν ὦσιν ἤτοι Πέτρος, οὗ πύλαι ᾅδου οὐ κατισχύουσιν,*[3]) *ἢ οἱ τῆς βροντῆς*[4]) *υἱοὶ, καὶ γεννώμενοι ἀπὸ τῆς μεγαλοφωνίας τοῦ θεοῦ βροντῶντος, καὶ μεγάλα οὐρανόθεν βοῶντος τοῖς ἔχουσιν ὦτα, καὶ σοφοῖς. Οἱ τοιοῦτοι γοῦν οὐ γεύονται θανάτου.*

33. *Τί δὲ τὸ „γεύεσθαι θανάτου“ κατανοητέον. Καὶ ἔστιν ἡ μὲν ζωὴ, ὁ εἰπών· „ἐγώ εἰμι*[5]) *ἡ ζωή·“ καὶ αὕτη γε ἡ ζωὴ „κέκρυπται*[6]) *σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ·“ καὶ „ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε σὺν αὐτῷ“ φανερωθήσονται οἱ ἄξιοι τοῦ σὺν αὐτῷ φανερωθῆναι ἐν τῇ δόξῃ. Ὁ δὲ ἐχθρὸς ταύτης τῆς ζωῆς, ὃς καὶ „ἔσχατος*[7]) *ἐχθρὸς καταργεῖται“ πάντων*

---

[1]) Unus Codex: *αὐτῶν χρόνον* (*χρόνων?*) R.

[2]) Cod. Vaticanus: *λεγόμενος λόγος*. R.

[3]) H. et R. in textu: *κατισχύουσιν;* R. in notis: „Cod. Vaticanus: *ἤτοι Πέτρος, οὗ αἱ πύλαι ᾅδου οὐ κατισχύσουσι.*“ Cfr. Matth. XVI, 18. coll. pag. 184. not. 1. et 3.

[4]) Marc. III, 17. — H. et R. in seqq. *μέγαλα*.

[5]) Ev. Joann. XI, 25. et XIV, 6.

[6]) Coloss. III, 3. 4. coll. edd. N. T.

[7]) I Cor. XV, 26.

τῶν ἐχθρῶν αὐτοῦ, θάνατός ἐστιν, ὃν ψυχὴ ἡ ἁμαρτάνουσα ἀποθνήσκει, ἐναντίως διατιθεμένη τῷ γινομένῳ περὶ τὴν κατορθοῦσαν ψυχὴν, καὶ ἐκ τοῦ κατορθοῦν ζῶσαν. Καὶ ἐπὰν λέγεται ἐν τῷ νόμῳ· „δέδωκα[1]) πρὸ προσώπου σου τὴν ζωήν·“ περὶ τοῦ εἰπόντος· „ἐγώ εἰμι ἡ ζωή·“ ταῦτά φησιν ἡ γραφὴ, καὶ περὶ τοῦ ἐχθροῦ αὐτοῦ, θανάτου· ὧν τὸ ἕτερον ἕκαστος ἡμῶν δι᾽ ὧν πράττει ἀεὶ ἐκλέγεται. Καὶ ἐπὰν πρὸ προσώπου ἡμῶν οὔσης τῆς ζωῆς ἁμαρτάνωμεν, πληροῦται ἐφ᾽ ἡμᾶς ἡ λέγουσα ἀρά· „καὶ[2]) ἔσται ἡ ζωή σου κρεμαμένη σοι ἀπέναντι,“ καὶ τὰ ἑξῆς, ἕως τοῦ· „καὶ[3]) ἀπὸ τῶν ὁραμάτων τῶν ὀφθαλμῶν σου ἃ ὄψει.“ Ὥσπερ οὖν ἡ ζωὴ, καὶ ὁ ζῶν ἄρτος, ἔστιν ὁ ἐκ[4]) τοῦ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ, οὕτως ὁ ἐχθρὸς αὐτῷ, θάνατος, ἄρτος ἐστὶ νεκρός. Πᾶσα δὲ λογικὴ ψυχὴ, ἤτοι ζῶντι τρέφεται ἄρτῳ, ἢ νεκρῷ, δι᾽ ὧν παραδέχεται δογμάτων ἀστείων, ἢ φαύλων. Εἶθ᾽ ὥσπερ ἐστὶν ἐπὶ τῶν κοινοτέρων τροφῶν, ποτὲ μὲν αὐτῶν γεύσασθαι μόνον, ποτὲ δὲ ἐπὶ πλεῖον αὐτῶν ἐσθίειν· οὕτω καὶ ἐπὶ τούτων τῶν ἄρτων ὁ μέν τις ἐνδεέστερον ἐσθίει γευόμενος αὐτῶν, ὁ δὲ καὶ ἐμφορεῖται· ἀγαθὸς μὲν ὢν, ἢ ὁδεύων ἐπὶ τὸ ἀγαθὸς εἶναι, τοῦ ζῶντος ἄρτου καὶ ἐξ οὐρανοῦ καταβεβηκότος· μοχθηρὸς δὲ τοῦ νεκροῦ ἄρτου, ὅς ἐστιν ὁ θάνατος· καὶ τάχα οἱ μὲν σπανίως, καὶ μικρὰ ἁμαρτάνοντες, μόνον γεύονται θανάτου· οἱ δὲ ἀρετὴν ἀνειληφότες, οὐδὲ γεύονται αὐτοῦ, ἀλλ᾽ ἀεὶ ἄρτῳ

---

[1]) Deut. XXX, 15. LXX. viri: ἰδοὺ, δέδ. πρὸ προσώπου σου σήμερον τὴν ζωὴν καὶ τὸν θάνατον, τὸ ἀγαθὸν καὶ τὸ κακόν.

[2]) Deut. XXVIII, 66. LXX. interpretes: καὶ — κρεμαμένη ἀπέναντι τῶν ὀφθαλμῶν σου.

[3]) Deut. XXVIII, 67. LXX. viri: τῶν ὀφθαλμῶν σου ὧν ὄψῃ.

[4]) Ev. Joann. VI, 33.

τρέφονται ζῶντι. Ἀκόλουθον οὖν ἦν τῷ Πέτρῳ, οὗ πύλαι ᾅδου οὐ κατισχύσουσι,[1]) τὸ μηδὲ γεύσασθαι θανάτου, ἐπεὶ τότε γεύεταί τις[2]) θανάτου, καὶ ἐσθίει θανάτου, ὅτε πύλαι ᾅδου κατισχύσουσιν[3]) αὐτοῦ. Καὶ ἀνάλογον ἐσθίει ἢ γεύεται θανάτου, τῷ κατισχύειν αὐτοῦ ἐπὶ πλεῖον ἢ ἔλαττον, καὶ πλείονας ἢ ἐλάττονας ᾅδου πύλας. Ἀλλὰ καὶ τοῖς τῆς βροντῆς[4]) υἱοῖς, γεννηθεῖσιν ἀπὸ βροντῆς, οὐρανίου χρήματος, ἀδύνατον ἦν γεύσασθαι θανάτου, τοῦ σφόδρα πόῤῥω τῆς μητρὸς αὐτῶν, βροντῆς. Ταῦτα δὲ προφητεύει ὁ Λόγος τοῖς τελειωθησομένοις, καὶ ἐκ[5]) τοῦ ἑστηκέναι παρὰ τῷ Λόγῳ ἐπὶ τοσοῦτον προκόψασιν, ὥστε αὐτοὺς μηδὲ γεύσασθαι θανάτου, ἕως ἂν ἴδωσι τὴν ἐπιφάνειαν, καὶ τὴν δόξαν, καὶ τὴν βασιλείαν, καὶ τὴν ὑπεροχὴν τοῦ Λόγου τοῦ Θεοῦ, καθ' ἣν ὑπερέχει παντὸς τοῦ ἀντιπερισπῶντος, καὶ περιέλκοντος Λόγου φαντασίᾳ ἀληθείας τοὺς μὴ δυναμένους διαῤῥῆξαι τοὺς τοῦ περισπασμοῦ δεσμούς, καὶ ἀνελθεῖν ἐπὶ τὸ ὕψος τῆς ὑπεροχῆς τοῦ τῆς ἀληθείας Λόγου.

34. Ἀλλ' ἐπεὶ δόξαι ἄν τις, τὴν τοῦ Σωτῆρος ἐπαγγελίαν περιορίζειν χρόνῳ τὸ μὴ γεύσασθαι θανάτου, — ὅτι οὐ γεύσονται μὲν θανάτου,[6]) ἕως ἂν ἴδωσι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ, μετὰ δὲ τοῦτο γεύσονται αὐτοῦ —, παραστήσωμεν, κατά τινα συνήθειαν τῆς γραφῆς τὸ „ἕως“ δηλοῦν τὸν κατεπείγοντα περὶ τοῦ δηλουμένου χρόνον, οὐ περιορίζό-

---

[1]) H. et R. h. l., cfr. pag. 182. not. 3. coll. Matth. XVI, 18., *κατισχύσουσιν.*

[2]) Desideratur *τις* in ed. R.

[3]) Cod. Vaticanus: *κατισχύουσιν.* R.

[4]) Marc. III, 17.

[5]) Cod. Vaticanus: *ἐκ τοῦ στῆναι*, Cod. Tarinianus: *ἐκ τοῦ ἐκστῆναι.* R.

[6]) Matth. XVI, 28. coll. pag. 179. not. 5.

μενον, ὥστε πάντως μετὰ τὸ „ἕως“ γενέσθαι[1]) τὸ ἐναντίον τῷ δηλουμένῳ. Φησὶ δὲ ὁ Σωτὴρ τοῖς ἕνδεκα μαθηταῖς, ἡνίκα ἀνέστη ἀπὸ τῶν νεκρῶν, πρὸς ἑτέροις καὶ τό· „ἰδοὺ, ἐγὼ[2]) μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος.“ Ἆρα[3]) γὰρ εἰπὼν τοῦτο, ἕως μὲν τῆς συντελείας τοῦ αἰῶνος ἔμελλεν αὐτοῖς συνέσεσθαι, μετὰ δὲ τὴν συντέλειαν τοῦ αἰῶνος, ἐνισταμένου[4]) τοῦ ἑτέρου, τοῦ καλουμένου μέλλοντος, οὐκέτι συνέσεσθαι αὐτοῖς ἐπηγγέλλετο·[5]) ὡς κατὰ τοῦτο κρεῖττον εἶναι ἂν τοῖς μαθηταῖς τὸ „ἕως τῆς συντελείας τοῦ αἰῶνος“ περὶ αὐτοὺς[6]) κατάστημα τοῦ[7]) μετὰ[8]) τὴν συντέλειαν τοῦ αἰῶνος. Ἀλλ' οὐκ ἂν οἶμαί τινα τολμῆσαι λέγειν, ὅτι μετὰ τὴν συντέλειαν τοῦ αἰῶνος οὐκέτι συνέσται τοῖς μαθηταῖς ὁ υἱὸς τοῦ θεοῦ, ἐπεὶ ἡ λέξις, ἐπὶ τοσοῦτον ἔσεσθαι αὐτὸν μετ' αὐτῶν, φησὶν, ἕως ἡ συντέλεια τοῦ αἰῶνος ἐνστῇ· σαφὲς[9]) γὰρ,

---

[1]) Unus Cod. habebat: *γενέσθαι ἐναντίως τῷ δηλουμένῳ.* R.

[2]) Matth. XXVIII, 20. Edd. N. T. *καὶ ἰδού.*

[3]) *Ἆρα γὰρ εἰπὼν τοῦτο, ἕως μὲν τῆς συντελείας τοῦ αἰῶνος.* Haec, quae in ed. Huetii desiderantur, nunc supplentur e Codd. Vaticano, Anglicano et Tariniano. R.

[4]) Pro *ἐνισταμένου τοῦ ἑτέρου*, Codd. Vatic. et Tarin. habent: *εἰσενηνεγμένου τοῦ ἑτέρου.* R.

[5]) Ed. H. *ἐπηγγέλλετο*, ed. R. *ἐπηγγέλετο.*

[6]) Ed. Huet. *αὐτούς*, ed. R. *αὐτοῖς.*

[7]) Articulus *τοῦ*, qui in Huet. Cod. desiderabatur (itemq. in textu ed. H. desideratur), suppletur e Codd. Vatic. et Tariniano. R. — H. ad oram: „forsan *τοῦ κτλ.*“

[8]) H. et R. in textu *περί*, H. tamen in notis: „vetus interpretatio: *ut melius esset discipulis hoc tempus, quod est ante consummationem saeculi, quam illud futurum.* Legendum fortasse: *τοῦ μετὰ τήν κ. τ. λ.* Codicis tamen nostri lectionem interpolare, religio fuit.“

[9]) Cod. Tarinianus: *σαφῶς.* R.

ὅτι τὸ ζητούμενον ἦν, εἰ πρὸ τοῦ μέλλοντος αἰῶνος, καὶ τῶν ἐλπιζομένων ἀμοιβαίων ἐπαγγελιῶν τοῦ θεοῦ, ἤδη συνέσεσθαι τοῖς μαθηταῖς ἔμελλεν ὁ υἱὸς τοῦ θεοῦ. Ζητούμενον δ' ἂν ἦν, διδομένου[1]) τοῦ συνέσεσθαι αὐτοῖς, μήποτε ὁτὲ μὲν συνῆν αὐτοῖς, ὁτὲ δὲ οὐ συνῆν. Διόπερ ἀπολύων[2]) ἡμᾶς τῆς περὶ τοῦ διστάζειν ὑπονοίας ἀπεφήνατο, ὅτι ἤδη καὶ ἐπὶ πάσας τὰς ἡμέρας συνεῖναι τοῖς μαθηταῖς ἤμελλεν, οὐ καταλείψων τοὺς μαθητευθέντας αὐτῷ ἕως τῆς συντελείας τοῦ αἰῶνος· οὐ μὴν κατὰ τὰς νύκτας, εἴ τινι ἔδυνεν ὁ ἥλιος, συνῆν αὐτοῖς. Εἰ δὲ τοιοῦτόν ἐστι τό· „ἕως[3]) τῆς συντελείας τοῦ αἰῶνος·“ δηλονότι οὐκ ἀναγκασθησόμεθα παραδέξασθαι, γεύσασθαι θανάτου τοὺς ἰδόντας τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ, μετὰ τὸ καταξιωθῆναι τοῦ τοιοῦτον αὐτὸν ἰδεῖν. Ἀλλ' ὥσπερ ἐφ' οὗ παρεθέμεθα ῥητοῦ, τὸ κατεπεῖγον ἦν ἡμᾶς μαθεῖν, ὅτι ἕως τῆς συντελείας τοῦ αἰῶνος οὐ καταλείψει ἡμᾶς, ἀλλ' ἔσται μεθ' ἡμῶν πάσας τὰς ἡμέρας· οὕτως καὶ ἐπὶ τούτου σαφὲς μὲν οἶμαι τοῖς βλέπειν εἰδόσιν ἀκολουθίαν πραγμάτων εἶναι, τὸν ἅπαξ ἰδόντα „τὸν[4]) υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ,“ καὶ ἰδόντα αὐτὸν „ἐν τῇ δόξῃ αὐτοῦ,“ καὶ ἰδόντα „τὴν[5]) βασιλείαν τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει,“ οὐκ ἂν μετὰ τὴν τῶν τηλικούτων ἀγαθῶν θεωρίαν θανάτου γεύσασθαι. Τὸ χωρὶς δὲ τοῦ λόγου τῆς ἐπαγγελίας τοῦ Ἰησοῦ, οὐκ ἀλόγως ἂν ὑπενοήσαμεν γεύσασθαι θανάτου, ὅσον οὐδέπω κατηξιώθημεν ἰδεῖν „τὴν βασιλείαν τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει,“ καὶ „τὸν[6])

---

[1]) Cod. Tarini: διδομένου τοῦ συντελέσθαι αὐτοῖς. R.
[2]) Cod. Tarini: ἀπολύων. Huetius ἀπολύειν. R.
[3]) Matth. XXVIII, 20. — XVI, 28.
[4]) Ibid. XVI, 28. coll. pag. 179. not. 5.
[5]) Marc. IX, 1.
[6]) Matth. XVI, 28. coll. pag. 179. not. 5.

υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ δόξῃ αὐτοῦ, καὶ ἐν τῇ βασιλείᾳ αὐτοῦ." [1])

35. *Ἐπεὶ δὲ ἐνταῦθα μὲν γέγραπται παρὰ τοῖς τρισὶν εὐαγγελισταῖς τό· „οὐ* [2]) *μὴ γεύσονται* [3]) *θανάτου·" ἐν δὲ ἄλλοις διάφορα περὶ θανάτου, οὐκ ἄτοπον κἀκεῖνα παραθέμενον* [4]) *συνεξετάσαι τῷ „γεύσασθαι." Ἐν μὲν οὖν τοῖς* [5]) *ψαλμοῖς λέλεκται· „τίς ἐστιν* [6]) *ἄνθρωπος, ὃς ζήσεται, καὶ οὐκ ὄψεται θάνατον;" καὶ πάλιν ἐν ἄλλῳ τόπῳ· „ἐλθέτω* [7]) *δὲ θάνατος ἐπ' αὐτοὺς, καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες·" ἐν δέ τινι τῶν προφητῶν· „κατέπιεν* [8]) *ὁ θάνατος ἰσχύσας·" ἐν δὲ τῇ Ἀποκαλύψει· „ὁ θάνατος,* [9]) *καὶ ὁ ᾅδης ἀκολουθεῖ* [10]) *τισιν." Ἐν τούτοις δὲ δοκεῖ μοι ἕτερον μὲν εἶναι τὸ γεύσασθαι θανάτου, ἕτερον δὲ τὸ ἰδεῖν αὐτὸν, καὶ ἄλλο τὸ ἐλθεῖν αὐτὸν ἐπί τινας, καὶ τέταρτον σημαίνεσθαι παρὰ τὰ προειρημένα ἐκ τοῦ· „κατέπιεν* [11]) *ὁ θάνατος ἰσχύσας·" καὶ πέμπτον τι παρὰ ταῦτα ἐκ τοῦ· „ὁ θάνατος,* [12]) *καὶ ὁ ᾅδης ἀκολουθεῖ* [13]) *αὐτοῖς." Καὶ σὺ*

---

[1]) Deest h. l., cfr. pag. 179. lin. 16., *αὐτοῦ* in edd. H. et R.

[2]) Matth. XVI, 28. Marc. IX, 1. et Luc. IX, 27.

[3]) H. et R. h. l. *γεύσονται*. Cfr. ed. nostrae Tom. II. p. 302. lin. 3. 6. et 9. coll. not. 3. et p. 303. not. 2.

[4]) H. et R. recte *παραθέμενον*.

[5]) Desideratur *τοῖς* in ed. Huetiana.

[6]) Psalm. LXXXIX, 48. (LXXXVIII, 49.)

[7]) Psalm. LV, 15. (LIV, 16.). LXX. interpretes: *ἐλθέτω θάνατος*.

[8]) Jes. XXV, 8.

[9]) Apoc. VI, 8. Ed. Knapp. *ἠκολούθει μετ' αὐτοῦ*, ed. Lachm. *ἀκολουθεῖ μετ' αὐτοῦ*. Cfr. de voc. *θάνατος* edd. N. T.

[10]) H. et R. h. l., cfr. p. huj. not. 13., *ἀκολουθεῖ τισιν*.

[11]) Jes. XXV, 8.

[12]) Apoc. VI, 8. coll. pag. huj. not. 9.

[13]) H. et R. h. l., cfr. p. huj. not. 10., *ἀκολουθεῖ αὐτοῖς*.

δ' ἀναλεξάμενος τάχα εὕροις καὶ ἑτέρας παρὰ ταύτας, ὧν ὑπεμνήσθημεν, διαφορὰς, ἅστινας παρατιθεὶς ἀλλήλαις, καὶ ὀρθῶς ζητῶν, εὕροις ἂν τὰ καθ' ἕκαστον τόπον σημαινόμενα πράγματα. Ζητῶ δὲ ἐν τούτοις[1]) μήποτε ἔλαττον μὲν κακόν ἐστι τὸ ἰδεῖν θάνατον, τούτου δὲ μεῖζον τὸ γεύσασθαι αὐτοῦ, τούτου δὲ ἔτι[2]) χεῖρον τὸ ἀκολουθεῖν τινι θάνατον, καὶ οὐ μόνον ἀκολουθεῖν, ἀλλὰ καὶ ἤδη ἐλθεῖν ἐπ' αὐτὸν, καὶ καταλαβεῖν ἐκεῖνον ᾧ πρότερον ἠκολούθει·[3]) τὸ δὲ καταποθῆναι πάντων δοκεῖ μοι βαρύτερον εἶναι τῶν εἰρημένων. Ἐπιστήσας δὲ τοῖς εἰρημένοις, καὶ τῇ διαφορᾷ τῶν ἁμαρτανομένων, οὐκ ὀκνήσεις, οἶμαι, παραδέξασθαι τοιαῦτά τινα νενοῆσθαι τῷ ἐνεργήσαντι ταῦτα γραφῆναι ἐν τοῖς λογίοις τοῦ θεοῦ πνεύματι. Εἰ δὲ παρὰ τὰ εἰρημένα σαφέστερον ἐκθέσθαι δεῖ, τί δηλοῦται ἐν τῷ ἰδεῖν „τὸν[4]) υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ," ἢ „ἐν τῇ δόξῃ αὐτοῦ," καὶ τί σημαίνεται ἐν τῷ ἰδεῖν „τὴν βασιλείαν[5]) τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει," τὰ εἴτε ἐλλαμπόμενα ἐν[6]) ταῖς καρδίαις ἡμῶν, εἴτε ζητοῦσιν εὑρισκόμενα, εἴτε ὑπεισιόντα τοὺς λογισμοὺς ἡμῶν, — ἕκαστος δὲ ὡς βούλεται κρινέτω, — ἐκθησόμεθα. Ὁ θεωρῶν καὶ καταλαμβάνων τὴν τοῦ Λόγου ὑπεροχὴν, λύοντος καὶ διελέγχοντος πάσας τὰς ὑπὲρ τῶν ψευδῶν μὲν, ἐπαγγελλομένων δὲ ἀλήθειαν, πιθανότητας, βλέπει τὸν υἱὸν τοῦ ἀνθρώπου, κατὰ τὸν Ἰω-

---

1) Sic Cod. Tarinianus, ed. autem Huet.: τοιούτοις. R.

2) Sic recte habent Codd. Anglicanus, Vatic. et Tarinianus; male autem alias: ἐπίχειρον. R. — Huet. in textu: ἐπιχεῖρον, ad oram: „fortasse: ἔτι χεῖρον."

3) H. et R. minus accurate: ἠκολουθεῖ.

4) Matth. XVI, 28. coll. pag. 179. not. 5.

5) Marc. IX, 1.

6) Sic habet Cod. Tarin., in ed. autem Huetii deest ἐν. R.

άννου λόγον, τὸν Λόγον τοῦ Θεοῦ, ἐρχόμενον ἐν τῇ ἰδίᾳ βασιλείᾳ· εἰ δὲ βλέποι ὁ τοιοῦτος τὸν Λόγον, οὐ μόνον λύοντα πᾶσαν τὴν τῶν ἐναντίων πιθανότητα, ἀλλὰ καὶ τὰ ἴδια τρανότατα παριστάντα, βλέποι ἂν αὐτοῦ πρὸς τῇ βασιλείᾳ καὶ τὴν δόξαν. Καὶ ὁ τοιοῦτός γε ἐν αὐτῷ βλέποι ἂν „τὴν τοῦ Θεοῦ βασιλείαν ἐληλυθυῖαν ἐν[1]) *δυνάμει“ καὶ τοῦτο βλέποι ἂν, ὡς οὐδαμῶς ἔτι ὑπὸ ἁμαρτίας βασιλευόμενος, βασιλευούσης*[2]) *ἐν τῷ θνητῷ σώματι τῶν ἁμαρτανόντων, ἀλλ᾽ ἀεὶ τεταγμένος ὑπὸ βασιλεῖ τῷ τῶν ὅλων Θεῷ, οὗ ἡ βασιλεία δυνάμει μὲν „ἐντὸς*[3]) *ἡμῶν ἐστι,“ ἐνεργείᾳ δὲ, καὶ, ὡς ὠνόμασεν ὁ Μάρκος, ἐν δυνάμει, καὶ οὐδαμῶς ἐν ἀσθενείᾳ, ἐντὸς τῶν τελείων μόνων. Ταῦτα μὲν οὖν ἑστῶσι τοῖς μαθηταῖς ὁ Ἰησοῦς, οὐ περὶ πάντων αὐτῶν, ἀλλὰ*[4]) *περί τινων προφητεύων ἐπηγγείλατο.*

Περὶ τῆς μεταμορφώσεως τοῦ Σωτῆρος.

36. *„Μετὰ*[5]) *δὲ ἡμέρας ἕξ,“ — κατὰ τὸν Ματθαῖον, καὶ τὸν Μάρκον, — „παραλαμβάνει τὸν Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀνάγει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ᾽ ἰδίαν· καὶ μετεμορφώθη*

---

[1]) Marc. IX, 1.

[2]) Rom. VI, 12.

[3]) Luc. XVII, 21. — Marc. IX, 1.

[4]) *ἀλλὰ περί τινων.* Sic lacunam, quae comparet in ed. Huetii, supplet Cod. Tarinianus. R. — Huet. in textu: *ἀλλὰ πε * * * προφητεύων*, in notis: „lacunam Ms. H. bona fide repraesentamus. E veteri interpretatione, quae h. l. deficit, nulla nos prosecuta sunt auxilia. Quod si quae (?) conjecturae fides est, dum veteres libri desunt, auctor sum legendi: *οὐ περὶ πάντων αὐτῶν, ἀλλὰ περί τινων μόνον προφητεύων.*“

[5]) Matth. XVII, 1. 2. Edd. N. T. *καὶ μεθ᾽ ἡμέρας — παραλαμβάνει ὁ Ἰησοῦς τὸν — ἀδελφὸν αὐτοῦ, καὶ ἀναφέρει αὐτούς.* Cfr. Marc. IX, 2. et pag. 190. not. 2

ἔμπροσθεν αὐτῶν." Τοῦτο δὲ καὶ πρὸ τῆς κατὰ ταῦτα φαινομένης ἡμῖν διηγήσεως γεγονέτω πάλαι, καὶ ὡς πρὸς τὴν λέξιν. Δοκεῖ δέ μοι, τοὺς ἀναγομένους ὑπὸ τοῦ Ἰησοῦ εἰς τὸ ὑψηλὸν ὄρος, καὶ ἀξιουμένους τοῦ κατ' ἰδίαν αὐτοῦ τὴν μεταμόρφωσιν θεωρῆσαι, μὴ μάτην μεθ' ἓξ ἡμέρας ἀνάγεσθαι τῶν προειρημένων λόγων. Ἐπεὶ γὰρ ἐν ἓξ ἡμέραις, τελείῳ ἀριθμῷ, ὁ σύμπας γεγένηται κόσμος, τὸ τέλειον τοῦτο δημιούργημα, διὰ τοῦτ' οἶμαι τὸν ὑπερβαίνοντα πάντα τὰ τοῦ κόσμου πράγματα ἐν τῷ ἐσκοπηκέναι, οὐκέτι μὲν τὰ βλεπόμενα, πρόσκαιρα γὰρ ταῦτα, ἤδη δὲ τὰ μὴ[1]) βλεπόμενα, καὶ μόνα τὰ μὴ βλεπόμενα, διὰ τὸ εἶναι αὐτὰ αἰώνια, δηλοῦσθαι ἐν τῷ· „μεθ' ἡμέρας[2]) ἓξ παραλαμβάνει ὁ Ἰησοῦς" τούσδε τινάς. Εἴ τις οὖν ἡμῶν βούλεται, τοῦ Ἰησοῦ παραλαμβάνοντος αὐτὸν, ὑπ' αὐτοῦ ἀναχθῆναι εἰς τὸ ὑψηλὸν ὄρος, καὶ ἀξιωθῆναι τοῦ κατ' ἰδίαν θεωρῆσαι τὴν μεταμόρφωσιν αὐτοῦ, ὑπεραναβαινέτω τὰς ἓξ ἡμέρας, διὰ τὸ μὴ σκοπεῖν ἔτι τὰ βλεπόμενα, μηδὲ ἀγαπᾷν ἔτι τὸν κόσμον, μηδὲ τὰ ἐν κόσμῳ, μηδέ τινα κοσμικὴν ἐπιθυμίαν ἐπιθυμεῖν, ἥτις ἐστὶν ἐπιθυμία σωμάτων, καὶ τοῦ ἐν σώματι πλούτου, καὶ τῆς κατὰ σάρκα δόξης, καὶ ὅσα πέφυκε τὴν ψυχὴν περισπᾷν, καὶ περιέλκειν ἀπὸ τῶν κρειττόνων καὶ θειοτέρων, καὶ[3]) κα-

---

[1]) Sic recte habent Codd. Vatic. et Tarinianus; male autem ed. Huetii (in textu): *μὲν βλεπόμενα*. R. — H. in notis: „Locus petitus est ex II Cor. IV, 18. Vetus interpres: *considerans jam non quae videntur, temporalia enim sunt; sed quae non videntur, quoniam sunt aeterna.* Mendosa itaque est Ms. H. lectio, quae sic fortasse emendanda est: *ἤδη δὲ μόνα τὰ μὴ βλεπόμενα, διὰ τὸ εἶναι κ. τ. λ.*"

[2]) Matth. XVII, 1. coll. Marc. IX, 2. et pag. 189. not. 5.

[3]) Deest *καί* in ed. R.

ταβιβάζειν, καὶ ἐρείδειν τῇ ἀπάτῃ τοῦ αἰῶνος τούτου ἐν πλούτῳ, καὶ δόξῃ, καὶ ταῖς λοιπαῖς ἐχθραῖς ἀληθείας ἐπιθυμίαις. Ἐπειδὰν γὰρ διέλθῃ τὰς ἓξ, ὡς εἰρήκαμεν, ἡμέρας,[1]) καινὸν σαββατιεῖ σάββατον, εὐφραινόμενος ἐν τῷ ὑψηλῷ ὄρει ἐκ τοῦ βλέπειν μεταμορφωθέντα τὸν Ἰησοῦν ἔμπροσθεν αὐτοῦ· διαφόρους γὰρ ἔχει ὁ Λόγος μορφὰς, φαινόμενος ἑκάστῳ ὡς συμφέρει τῷ βλέποντι, καὶ μηδενὶ ὑπὲρ ὃ χωρεῖ ὁ βλέπων φανερούμενος.

37. Ζητήσεις δὲ, εἰ, ὅτε μετεμορφώθη ἔμπροσθεν τῶν ὑπ᾽ αὐτοῦ ἀναχθέντων εἰς τὸ ὑψηλὸν ὄρος, ὤφθη αὐτοῖς ἐν μορφῇ θεοῦ, ᾗ ὑπῆρχε πάλαι· ὡς τοῖς μὲν κάτω ἔχων τὴν δούλου μορφὴν, τοῖς δὲ ἀκολουθήσασιν αὐτῷ μετὰ ἓξ ἡμέρας εἰς τὸ ὑψηλὸν ὄρος, οὐκ ἐκείνην, ἀλλὰ τὴν τοῦ θεοῦ. Ἀλλὰ ἄκουε τούτων, εἰ δύνασαι, πνευματικῶς προσέχων ἅμα, ὅτι οὐκ εἴρηται μὲν ἁπαξαπλῶς „μετεμορφώθη," μετὰ δέ τινος ἀναγκαίας προσθήκης, ἣν ἀνέγραψε Ματθαῖος, καὶ Μάρκος· κατὰ γὰρ ἀμφοτέρους „μετεμορφώθη[2]) ἔμπροσθεν αὐτῶν." Καὶ κατὰ[3]) τοῦτό γε ἐρεῖς δυνατὸν εἶναι, τὸν Ἰησοῦν ἔμπροσθεν μέν τινων μεταμορφωθῆναι ταύτην τὴν μεταμόρφωσιν, ἔμπροσθεν δὲ ἑτέρων κατὰ τὸ αὐτὸ καιροῦ μὴ μεταμορφωθῆναι. Εἰ δὲ θέλεις τὴν μεταμόρφωσιν τοῦ Ἰησοῦ ἰδεῖν ἔμπροσθεν τῶν ἀναβάντων εἰς τὸ ὑψηλὸν ὄρος κατ᾽ ἰδίαν σὺν αὐτῷ, ἴδε μοι τὸν ἐν τοῖς εὐαγγελίοις Ἰησοῦν ἁπλούστερον μὲν νοούμενον, καὶ, ὡς ἂν ὀνομάσαι τις, κατὰ σάρκα γινωσκόμενον τοῖς μὴ ἀναβαίνουσι διὰ τῶν ἐπαναβεβηκότων ἔργων καὶ λόγων ἐπὶ τὸ ὑψηλὸν τῆς σοφίας ὄρος· οὐκέτι δὲ κατὰ σάρκα γινωσκόμενον, ἀλλὰ θεολογούμενον δι᾽ ὅλων τῶν εὐαγγελίων, καὶ ἐν τῇ τοῦ θεοῦ μορφῇ κατὰ τὴν γνῶσιν αὐ-

---

[1]) Desideratur ἡμέρας in edd. H. et R.

[2]) Matth. XVII, 2. Marc. IX, 2.

[3]) Deest κατά in ed. Coloniensi.

τῶν[1]) θεωρούμενον· τούτων γὰρ ἔμπροσθεν μεταμορφοῦται ὁ Ἰησοῦς, καὶ οὐδενὶ[2]) τῶν κάτω. Ἐπὰν δὲ μεταμορφωθῇ, καὶ τὸ πρόσωπον αὐτοῦ λάμπει ὡς ὁ ἥλιος, ἵνα φανερωθῇ τοῖς τέκνοις τοῦ φωτὸς, ἐκδυσαμένοις τὰ ἔργα[3]) τοῦ σκότους, καὶ ἐνδυσαμένοις τὰ ὅπλα τοῦ φωτὸς, καὶ μηκέτι οὖσι τέκνοις σκότους[4]) ἢ νυκτὸς, ἀλλὰ γενομένοις υἱοῖς ἡμέρας, καὶ ὡς ἐν ἡμέρᾳ εὐσχημόνως[5]) περιπατοῦσι· καὶ φανερωθεὶς λάμψει αὐτοῖς, οὐχ ἁπλῶς ὡς ὁ ἥλιος, ἀλλ' ἐπιδεικνύμενος αὐτοῖς τὸ εἶναι δικαιοσύνης ἥλιος.

38. Καὶ οὐ μόνον αὐτὸς μεταμορφοῦται ἔμπροσθεν τῶν τοιούτων μαθητῶν, οὐδὲ προστίθησι μόνον τῇ μεταμορφώσει τὸ λάμψαι τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος· ἀλλὰ γὰρ καὶ τὰ ἱμάτια[6]) αὐτοῦ τοῖς ἀναχθεῖσιν ὑπ' αὐτοῦ εἰς τὸ ὑψηλὸν ὄρος κατ' ἰδίαν φαίνεται λευκὰ ὡς τὸ φῶς. Ἱμάτια δὲ τοῦ Ἰησοῦ, αἱ λέξεις καὶ, ἃ ἐνεδύσατο, τῶν εὐαγγελίων γράμματα. Οἶμαι δ' ὅτι καὶ τὰ παρὰ τοῖς ἀποστόλοις δηλοῦντα[7]) τὰ περὶ αὐτοῦ, ἱμάτιά ἐστιν Ἰησοῦ, γινόμενα τοῖς ἀναβαίνουσιν εἰς τὸ ὑψηλὸν ὄρος μετὰ τοῦ Ἰησοῦ λευκά. Ἀλλ' ἐπεὶ καὶ λευκῶν εἰσι διαφοραὶ, τὰ ἱμάτια αὐτοῦ γίνονται

---

[1]) Cod. Vaticanus: αὐτοῦ. R.

[2]) Idem Codex: καὶ ἐν οὐδενὶ τῶν κάτω. Mox omnes Mss.: ἐπὰν δὲ μεταμορφωθῇ, καὶ τὸ πρόσωπον αὐτοῦ λάμπει κ. τ. λ. In ed. autem Huetii deest λάμπει. R.

[3]) Rom. XIII, 12.

[4]) I Thess. V, 5.

[5]) I Thess. IV, 12. Rom. XIII, 13.

[6]) Matth. XVII, 2. coll. Marc. IX, 3.

[7]) Ita recte habebat Cod. Tarinianus (itemque ed. Huet. ad oram habet atque in notis); male autem ed. Huetii (in textu) δηλοῦν τὰ περί κ. τ. λ. R

λευκὰ ὡς τὸ πάντων λευκῶν[1]) λαμπρότατον καὶ καθαρώτατον. Τοῦτο δέ ἐστι τὸ φῶς. Ἐπὰν οὖν ἴδῃς τινὰ, οὐ μόνον τὴν περὶ Ἰησοῦ θεολογίαν ἀκριβοῦντα, ἀλλα καὶ τὴν λέξιν τῶν εὐαγγελίων πᾶσαν σαφηνίζοντα, μὴ ὄκνει τῷ τοιούτῳ φάσκειν, γεγονέναι τὰ ἱμάτια τοῦ Ἰησοῦ λευκὰ ὡς τὸ φῶς. Ἐπὰν δὲ οὕτω νοηθῇ καὶ θεωρηθῇ μεταμορφωθεὶς ὁ υἱὸς τοῦ θεοῦ, ὡς τὸ πρόσωπον αὐτοῦ εἶναι ἥλιον, καὶ τὰ ἱμάτια αὐτοῦ λευκὰ ὡς τὸ φῶς, εὐθέως ὀφθεῖεν ἂν τῷ τοιοῦτον ἰδόντι τὸν Ἰησοῦν Μωσῆς, ὁ νόμος, καὶ ὁ Ἠλίας συνεκδοχικῶς, οὐχ εἷς μόνος, ἀλλὰ πάντες οἱ προφῆται κοινολογούμενοι πρὸς τὸν Ἰησοῦν· τοιοῦτον γάρ ἐστι τὸ δηλούμενον· „μετ' αὐτε[2]) συλλαλοῦντες·“ κατὰ δὲ τὸν Λουκᾶν· „Μωσῆς[3]) καὶ Ἠλίας, ὀφθέντες ἐν δόξῃ,“ καὶ τὰ ἑξῆς, ἕως τοῦ· „ἐν Ἱερουσαλήμ.“ Εἴ τις δὲ εἶδε Μωσέως τὴν δόξαν, νοήσας τὸν πνευματικὸν νόμον ὡς ἕνα πρὸς τὸν Ἰησοῦν λόγον, καὶ τὴν ἐν τοῖς προφήταις ἐν μυστηρίῳ[4]) ἀποκεκρυμμένην σοφίαν, εἶδε Μωσῆν καὶ Ἠλίαν ἐν δόξῃ, ὅτε εἶδεν αὐτοὺς μετὰ τοῦ Ἰησοῦ.

39. Εἶτα[5]) ἐπεὶ κατὰ τὸν Μάρκον δεήσει διηγήσασθαι τό· „καὶ ἐν τῷ[6]) προσεύχεσθαι αὐτὸν μετεμορφώθη ἔμπροσθεν αὐτῶν·“ λεκτέον, ὅτι μήποτε μάλιστα ἔστιν ἰδεῖν τὸν Λόγον ἔμπροσθεν ἡμῶν μεταμορφούμενον, ἐὰν τὰ προειρημένα ποιήσωμεν, καὶ ἀναβῶμεν εἰς τὸ ὄρος, καὶ ἴδωμεν τὸν Αὐτολόγον κοινολογούμε-

---

[1]) H. et R. in textu quidem: λευκόν, iidem tamen, ille ad marg., hic in notis: „lege λευκῶν.“

[2]) Matth. XVII, 3. Ed. Lachm. συλλαλ. μετ' αὐτοῦ. Cfr. Marc. IX, 4.

[3]) Luc. IX, 30. 31. coll. edd. N. T.

[4]) I Cor. II, 7.

[5]) H. in notis: „Cod. Holm. habebat: εἴ τε ἐπεί κτλ.“

[6]) Haec non sunt Marci, neque item Lucae; sed partim Marci (cfr. Marc. IX, 2. coll. Matth. XVII, 2.), partim Lucae, cfr. Luc. IX, 29. Huetius.

νον πρὸς τὸν πατέρα, καὶ εὐχόμενον αὐτῷ ὑπὲρ ὧν εὔξαιτ᾽ ἂν ἀληθινὸς ἀρχιερεὺς ἀληθινῷ μόνῳ θεῷ. Ἵνα δὲ οὕτω θεῷ ὁμιλῇ, καὶ προσεύξηται τῷ πατρὶ, ἀναβαίνει εἰς τὸ ὄρος· τότε δὲ, κατὰ τὸν Μάρκον, γίνονται τὰ ἱμάτια[1]) *αὐτοῦ λευκὰ καὶ στίλβοντα ὡς τὸ φῶς, οἷα γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύναται οὕτως λευκᾶναι.*[2]) *Καὶ τάχα οἱ μὲν ἐπὶ τῆς γῆς γναφεῖς, οἱ ἐπιμελούμενοί εἰσι σοφοὶ τοῦ αἰῶνος τούτου λέξεως ἧς νομίζουσι λαμπρᾶς, καὶ καθαρᾶς, ὡς κοσμεῖσθαι δοκεῖν καὶ τὰ αἰσχρὰ νοήματα, καὶ τὰ ψευδῆ δόγματα ὑπὸ τῆς, ἵν᾽ οὕτως ὀνομάσω, γναφικῆς αὐτῶν· ὁ δὲ στίλβοντα τοῖς ἐπαναβεβηκόσιν ἐπιδεικνὺς τὰ ἱμάτια αὐτοῦ, καὶ λαμπρότερα ὧν δύναται ποιεῖν ἡ ἐκείνων γναφικὴ, ὁ Λόγος ἐστὶ, παριστὰς ἐν ταῖς ὑπὸ πολλῶν καταφρονουμέναις λέξεσι τῶν γραφῶν τὴν τῶν νοημάτων στίλψιν, ὅτε ὁ ἱματισμὸς τοῦ Ἰησοῦ, κατὰ τὸν Λουκᾶν, λευκὸς*[3]) *καὶ ἐξαστράπτων γίνεται.*

40. *Ἴδωμεν δὲ*[4]) *μετὰ ταῦτα, τί νοήσας ὁ Πέτρος ἀποκριθεὶς εἶπε τῷ Ἰησοῦ· „Κύριε,*[5]) *καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· ποιήσωμεν τρεῖς σκηνὰς,“ καὶ τὰ ἑξῆς. Διὰ τοῦτο δὲ μάλιστα ταῦτα ζητητέον, ἐπεὶ ὁ μὲν Μάρκος ἐπήγαγεν αὐτοῖς ὡς ἐκ τοῦ ἰδίου προσώπου τό· „οὐ*[6]) *γὰρ ᾔδει τί ἀπεκρίθη·“ ὁ δὲ Λουκᾶς· „μὴ*[7]) *εἰδὼς, φησὶν, ὃ λέγει.“ Ἐπιστήσεις οὖν, εἰ κατ᾽ ἔκστα-*

---

[1]) Marc. IX, 3. coll. edd. N. T.

[2]) H. et R. *λευκάναι.*

[3]) Luc. IX, 29.

[4]) Cod. Vaticanus: *ἴδωμεν οὖν μετὰ ταῦτα.* R.

[5]) Matth. XVII, 4. coll. Marc. IX, 5. et Luc. IX, 33. Ed. Knapp. Matth. l. l. *εἰ θέλεις, ποιήσωμεν ὧδε τρεῖς σκηνάς,* ed. Lachm. *εἰ θέλεις, ποιήσω ὧδε κ. τ. λ.* De voc. *ὧδε* cfr. pag. 201. lin. 6.

[6]) Marc. IX, 6. Pro verbis: *τί ἀπεκρίθη,* ed. Knapp. *τί λαλήσει,* ed. Lachm. *τί λαλήσῃ.* Cfr. pag. 200. not. 2

[7]) Luc. IX, 33.

σιν ταῦτα ἐλάλει, πεπληρωμένος τοῦ κινοῦντος αὐτὸν πνεύματος πρὸς τὸ εἰπεῖν ταῦτα, ὅπερ ἅγιον μὲν εἶναι οὐ δύναται· ἐδίδαξε γὰρ ἐν τῷ εὐαγγελίῳ ὁ Ἰωάννης, πρὸ τῆς ἀναστάσεως τοῦ Σωτῆρος μηδένα πνεῦμα ἅγιον ἐσχηκέναι, εἰπών· „οὔπω [1]) γὰρ ἦν πνεῦμα, ὅτι ὁ Ἰησοῦς οὐδέπω ἐδοξάσθη.“ Εἰ δὲ οὔπω ἦν πνεῦμα, καὶ ὁ μὴ εἰδώς, τί ἐλάλει, ὑπό τινος κινούμενος πνεύματος ἐλάλει, ἕν τι τῶν πνευμάτων ἦν τὸ ταῦτα λέγεσθαι ἐνεργοῦν, ὃ μηδέποτε ἐθριάμβευτο ἐν τῷ ξύλῳ, μηδὲ ἐδειγμάτιστο μετ᾽ ἐκείνων, περὶ ὧν γέγραπται τό· „ἀπεκδυσάμενος [2]) τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν ἐν παῤῥησίᾳ θριαμβεύσας ἐν τῷ ξύλῳ.“ Τοῦτο δὲ ἦν τάχα τὸ κληθὲν σκάνδαλον ὑπὸ τοῦ Ἰησοῦ, καὶ ὁ εἰρημένος σατανᾶς ἐν τῷ· „ὕπαγε [3]) ὀπίσω μου, σατανᾶ· σκάνδαλόν μου εἶ.“ Εὖ οἶδα δ᾽ ὅτι τὰ τοιαῦτα πολλοῖς προσκόψει τῶν ἐντυγχανόντων, οἰομένοις οὐ κατὰ τὸ εὔλογον δυσφημεῖσθαι τὸν πρὸ μικροῦ μακαρισθέντα ὑπὸ τοῦ Ἰησοῦ, ἐπὶ τῷ τὸν ἐν οὐρανοῖς πατέρα ἀποκεκαλυφέναι αὐτῷ τὰ περὶ τοῦ Σωτῆρος, ὡς ἄρα ὁ Ἰησοῦς εἴη, καὶ ὁ Χριστὸς, καὶ ὁ υἱὸς τοῦ [4]) θεοῦ τοῦ ζῶντος. Ἀλλ᾽ ὁ τοιοῦτος ἐπιστησάτω τῇ τοῦ Πέτρου καὶ τῶν λοιπῶν ἀποστόλων ἀκριβείᾳ, καὶ αὐτῶν δεηθέντων, ὡς ἀλλοτρίων ἔτι τοῦ ἐξαγοράσοντος [5]) αὐτοὺς

---

[1]) Ev. Joann. VII, 39. Ed. Knapp. πνεῦμα ἅγιον, ὅτι ὁ Ἰησ. οὐδέπω κ. τ. λ., ed. Lachm. πνεῦμα δεδομένον, ὅτι Ἰησοῦς οὔπω κ. τ. λ.

[2]) Coloss. II, 15. coll. pag. 163. not. 1.

[3]) Matth. XVI, 23. coll. pag. 169. not. 3.

[4]) H. et R. in notis, ille: „Cod. noster (Holm.) ὁ υἱὸς τοῦ ζῶντος,“ hic: „„in Cod. Anglicano (Holm.?) deest τοῦ θεοῦ.“ “

[5]) Cod. Anglicanus recte habet: ἐξαγοράσοντος, non autem ἐξαγοράσαντος, uti legerat Huetius. R. — Huet. in notis: „quod qui pote congruat cum ὀνησομένου, quod sequitur? Lege (item ad oram): ἐξαγοράσοντος.“

ἀπὸ τοῦ ἐχθροῦ, καὶ ὠνησομένου αὐτοὺς τῷ τιμίῳ αὐτοῦ αἵματι· ἢ λεγέτωσαν ἡμῖν οἱ θέλοντες καὶ πρὸ τοῦ πάθους Ἰησοῦ τελείους γεγονέναι τοὺς ἀποστόλους, πόθεν „ὁ Πέτρος[1]) *καὶ οἱ σὺν αὐτῷ" κατὰ τὸν καιρὸν τῆς Ἰησοῦ μεταμορφώσεως „ἦσαν βεβαρημένοι ὕπνῳ." Ἵνα δὲ προλαβών τι καὶ τῶν ἑξῆς εἰς τὸ προκείμενον παραλάβω, ἐπαπορήσαιμ' ἂν τοιαῦτα· ἆρά ἐστί τινα σκανδαλισθῆναι ἐν τῷ Ἰησοῦ, χωρὶς τῆς τοῦ σκανδαλίζοντος διαβόλου ἐνεργείας· ἔστι δὲ ἀρνήσασθαι τὸν Ἰησοῦν, καὶ ταῦτα ἐπὶ παιδισκαρίου, καὶ θυρωροῦ, καὶ ἀνθρώπων εὐτελεστάτων, μὴ συνόντος τῷ ἀρνουμένῳ πνεύματος ἐχθροῦ τῷ διδομένῳ πνεύματι, καὶ σοφίᾳ, τοῖς πρὸς τὸ ὁμολογεῖν κατά τινα ἀξίαν αὐτῶν ὑπὸ θεοῦ βοηθουμένοις. Ἀλλ' οὐ φήσει ὅγε τὰς ῥίζας τῶν ἁμαρτημάτων ἀναφέρειν μεμαθηκὼς ἐπὶ τὸν πατέρα τῆς ἁμαρτίας, τὸν διάβολον, χωρὶς ἐκείνου ἢ τοὺς ἀποστόλους ἐσκανδαλίσθαι, ἢ τὸν Πέτρον ἠρνῆσθαι πρὸ τῆς ἀλεκτοροφωνίας ἐκείνης τρίς. Εἰ δὲ τοῦθ' οὕτως ἔχει, μήποτε τὸ ὑπὲρ τοῦ σκανδαλίσαι τὸ ὅσον ἐφ' ἑαυτῷ τὸν Ἰησοῦν, καὶ ἀποστῆσαι τῆς κατὰ τὸ πάθος σωτηρίου ἀνθρώποις μετὰ πολλῆς προθυμίας οἰκονομίας, τὰ εἰς ταῦτα φέρειν δοκοῦντα ἐνεργῶν, αὐτὸς καὶ ἐνταῦθα οἱονεὶ ἀπατηλῶς περισπᾶσαι βούλεται τὸν Ἰησοῦν, ὡς ἐπικαλῶν τὸ*[2]) *μηκέτι συγκαταβαίνειν τοῖς ἀνθρώποις, καὶ ἥκειν πρὸς αὐτοὺς, καὶ τὸν ὑπὲρ αὐτῶν ἀναδέξασθαι θάνατον, ἀπομεῖναι δὲ ἐν τῷ ὑψηλῷ ὄρει μετὰ Μωϋσέως καὶ Ἠλίου. Ἐπηγγέλλετο δὲ καὶ ποιῆσαι τρεῖς σκηνὰς, μίαν μὲν ἰδίαν τῷ Ἰησοῦ, ἑτέραν δὲ τῷ Μωσεῖ. καὶ ἄλλην τῷ Ἠλίᾳ, ὡς μὴ χωρούσης, εἰ καὶ ἐν σκηναῖς αὐτοὺς ἔδει εἶναι καὶ ἐν τῷ ὑψηλῷ ὄρει, μιᾶς σκηνῆς τοὺς τρεῖς. Τάχα δὲ καὶ ἐν τούτῳ ἐκακούργει ὁ τὸν „μὴ*[3]) *εἰδότα, τί λέγει," ἐνεργῶν, βουλόμενος μὴ ἅμα*

---

[1]) Luc. IX, 32.

[2]) Ed. Huet. *τό*, ed. R. *τῷ*.

[3]) Luc. IX, 33.

εἶναι Ἰησοῦν καὶ Μωσέα, καὶ Ἠλίαν, ἀλλὰ χωρίσαι αὐτοὺς ἀπ' ἀλλήλων, προφάσει τῶν τριῶν σκηνῶν.[1]) Ψεῦδος δὲ ἦν καὶ τό· „καλόν ἐστιν[2]) ἡμᾶς ὧδε εἶναι·" εἰ γὰρ ἦν καλὸν, κἂν ἔμειναν ἐκεῖ. Εἰ δὲ ψεῦδος, ζητήσεις τίς ἐνέργησε λαληθῆναι τὸ ψεῦδος· καὶ μάλιστα ἐπεὶ κατὰ τὸν Ἰωάννην· „ὅταν[3]) λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψεύστης ἐστὶ καὶ ὁ πατὴρ αὐτοῦ·" καὶ ὥσπερ οὐκ ἔστιν ἀλήθεια χωρὶς ἐνεργείας εἰπόντος· „ἐγώ εἰμι[4]) ἡ ἀλήθεια·" οὕτως[5]) οὐδὲ τὸ ψεῦδος χωρὶς τοῦ ἐχθροῦ τῇ ἀληθείᾳ. Τὰ ἐναντία τοίνυν ἔτι ἐν τῷ Πέτρῳ ἦν, ἀλήθεια καὶ ψεῦδος· καὶ ἀπὸ ἀληθείας μὲν ἔλεγε τό· „σὺ[6]) εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ τοῦ[7]) ζῶντος·" ἀπὸ δὲ τοῦ ψεύδους τό· „ἵλεώς[8]) σοι, κύριε· οὐ μὴ ἔσται σοι τοῦτο·" ἀλλὰ καὶ τό· „καλόν ἐστιν[9]) ἡμᾶς ὧδε εἶναι." Ὁ δὲ μὴ θέλων ἀπό τινος ἐνεργείας χείρονος τὸν Πέτρον εἰρηκέναι ταῦτα, ἀλλὰ ψιλῆς εἶναι τῆς προαιρέσεως αὐτοῦ τοὺς λόγους, ἀπαιτούμενος πῶς ἂν παραστήσαι τό· „μὴ[10]) εἰδὼς ὃ ἐλάλει·" καὶ τό· „οὐ γὰρ[11]) ᾔδει τί ἀπεκρίθη·" φήσει, ὅτι κἀκεῖ ὡς δύσφη-

---

[1]) H. et R. in textu: τῶν τριῶν ἐκείνων, H. tam. in notis: „ita Cod. noster. Lege τῶν τριῶν σκηνῶν. Vetus interpres: *trium tabernaculorum obtentu.*" — Item fere R. in notis: „„„lego cum Huetio σκηνῶν, etc."""

[2]) Matth. XVII, 4. Marc. IX, 5. Luc. IX, 33.

[3]) Ev. Joann. VIII, 44.

[4]) Ibidem XIV, 6.

[5]) οὕτως οὐδὲ — ἐχθροῦ τῇ ἀληθείᾳ. Haec in Huet. ed. desiderantur, et hic supplentur e Mss. Vaticano, Anglicano et Tariniano. R.

[6]) Matth. XVI, 16.

[7]) Desunt h. l., cfr. pag. 158. not. 4., verba: τοῦ ζῶντος, in edd. H. et R.

[8]) Matth. XVI, 22.

[9]) Ibid. XVII, 4. Marc. IX, 5. Luc. IX, 33.

[10]) Luc. IX, 33. H. et R. h. l., cfr. p. 191. not. 7., ἐλάλει.

[11]) Marc. IX, 6. coll. pag. 194. not. 6.

μον ἐποίησε[1]) *καὶ ἀνάξιον τοῦ Ἰησοῦ τὸ παραδέξασθαι ἀποκτανθῆναι τὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος, τὸν Χριστὸν, ὃν ἤδη ἀποκαλύψας ἦν αὐτῷ ὁ πατήρ· καὶ ἐνταῦθα ὡς τὰς δύο μορφὰς τοῦ Ἰησοῦ ἰδὼν, καὶ πολὺ διαφέρουσαν τὴν κατὰ τὴν μεταμόρφωσιν, ταύτῃ εὐαρεστούμενος καλὸν εἶπεν εἶναι τὰς διατριβὰς ἐν τῷ ὄρει ἐκείνῳ ποιήσασθαι, ἵνα αὐτός τε καὶ οἱ σὺν αὐτῷ εὐφραίνωνται, θεωροῦντες τὴν μεταμόρφωσιν τοῦ Ἰησοῦ, καὶ τὸ λάμπον*[2]) *πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, καὶ τὰ λευκὰ ὡς τὸ φῶς ἱμάτια αὐτοῦ, καὶ πρὸς τούτοις τοὺς ἅπαξ ὀφθέντας ἐν δόξῃ ἀεὶ θεωρῶσιν ἐν δόξῃ, Μωσῆν καὶ Ἠλίαν· εὐφραίνωνται δὲ ἐφ᾽ οἷς ἂν ἀκούσωσιν αὐτῶν συλλαλούντων ἀλλήλοις καὶ κοινολογουμένων, Μωσέως μὲν καὶ Ἠλίου πρὸς τὸν Ἰησοῦν, τοῦ δὲ Ἰησοῦ πρὸς αὐτούς.*

41. *Ἐπεὶ δὲ μηδέπω περιεργασάμενοι τροπολογεῖν τὰ κατὰ τὸν τόπον, ὡς πρὸς τὸ ῥητὸν βασανίζοντες ταῦτα εἴπομεν,*[3]) *τούτοις ἀκολούθως ἴδωμεν, μήποτε ἀναβιβασθέντες εἰς τὸ ὕψος τῶν τῆς ἀληθείας δογμάτων, καὶ τὴν μεταμόρφωσιν ἰδόντες τοῦ Ἰησοῦ, καὶ τῶν ὀφθέντων ἐν δόξῃ μετ᾽ αὐτοῦ, Μωϋσέως καὶ Ἠλίου, ὁ ἀποδεδομένος*[4]) *Πέτρος καὶ οἱ τῆς βροντῆς υἱοὶ βούλοιντ᾽ ἂν ἐν αὐτοῖς σκηνὰς ποιῆσαι τῷ τοῦ θεοῦ Λόγῳ κατοικήσοντι ἐν αὐτοῖς, καὶ τῷ νόμῳ αὐτοῦ μετὰ δόξης τεθεωρημένῳ, καὶ τῇ προφητείᾳ τὴν ἔξοδον*[5]) *λαλούσῃ τοῦ Ἰησοῦ, ἣν ἔμελλε πληροῦν, καὶ ὡς τὸν θεωρητικὸν*

---

[1]) Codd. Vatic. et Tarinianus: *ἐποίησε*. Ed. Huetii: *περιέστησε*. R.

[2]) Omnes Mss. *λάμπον*. Ed. Huetii: *λαμπρόν*. R.

[3]) Ed. Huet. *εἴπομεν*, ed. R. in textu: *εἴπωμεν*, in notis: „Cod. Vaticanus: *εἴπωμεν εἰ τούτοις ἀκολούθως ἴδομεν.*"

[4]) Cod. Vaticanus: „*ὁ ἀποδεδειγμένος*. R.

[5]) Luc. IX, 31.

γε ἀγαπήσας ὁ Πέτρος βίον, καὶ τὸ ἐν αὐτῷ τερπωλὸν προκρίνας τοῦ ἐν πολλοῖς εἶναι μετά τινος ὀχλήσεως, ἐπὶ προθέσει τοῦ ὠφελεῖν τοὺς βουλομένους, εἶπε τό· „καλόν ἐστιν[1]) ἡμᾶς ὧδε εἶναι.“ Ἀλλ᾽ ἐπεὶ ἡ ἀγάπη „οὐ ζητεῖ[2]) τὰ ἑαυτῆς,“ τὸ νομιζόμενον τῷ Πέτρῳ καλὸν οὐ πεποίηκεν ὁ Ἰησοῦς· διὸ καταβέβηκεν ἀπὸ τοῦ ὄρους πρὸς[3]) τοὺς μὴ δυναμένους ἀναβῆναι ἐπ᾽ αὐτὸ, καὶ ἰδεῖν[4]) τὴν αὐτοῦ μεταμόρφωσιν, ἵνα κἂν ὁποῖον χωροῦσιν αὐτὸν ἰδεῖν θεωρήσωσι. Δικαίου τοίνυν ἐστὶ καὶ τὴν μὴ τὰ ἑαυτῆς ζητοῦσαν ἀγάπην[5]) ἔχοντος, ἐλεύθερον μὲν εἶναι ἐκ πάντων, πᾶσι δὲ αὐτὸν δουλῶσαι τοῖς κάτω, ἵνα τοὺς πλείονας αὐτῶν κερδήσῃ. Εἴποι δ᾽ ἄν τις πρὸς τὰ ἀποδεδομένα περὶ ἐκστάσεως καὶ ἐνεργείας πνεύματος χείρονος εἰς τὸν Πέτρον, περὶ τοῦ· „μὴ εἰδὼς[6]) ὃ λέγει“ μὴ προσιέμενος ἐκείνην τὴν διήγησιν,[7]) ὅτι παρὰ τῷ Παύλῳ τινὲς, θέλοντες[8]) εἶναι νομοδιδάσκαλοι, οὐκ οἴδασι περὶ ὧν λέγουσι, ἀλλ᾽ ὅτι μὴ τρανοῦντες τὴν φύσιν τῶν λεγομένων, μηδὲ νοοῦντες αὐτῶν τὸ βούλημα, διαβεβαιοῦνται περὶ ὧν οὐκ ἴσασι· τοιοῦτόν τι ἐπεπόνθει καὶ ὁ Πέτρος, μὴ καταλαβὼν γάρ τί τὸ καλὸν περὶ τῆς κατὰ Ἰησοῦν οἰκονομίας, καὶ τῶν ὀφθέντων ἐν τῷ ὄρει, Μωσέως καὶ Ἠλίου, λέγει τό· „καλόν ἐστιν[9]) ἡμᾶς ὧδε εἶναι,“ καὶ τὰ ἑξῆς,

---

1) Matth. XVII, 4. Marc. IX, 5. Luc. IX, 33.

2) I Cor. XIII, 5.

3) Ed. Huetiana minus recte: *πρὸ τούς κ. τ. λ.*

4) Ed. Huetii: *καὶ ἰδεῖν αὐτοῦ τὴν μεταμόρφωσιν.*

5) I Cor. XIII, 5. — IX, 19.

6) Luc. IX, 33.

7) Codd. Vatic. et Reg. (H. quoque teste) *δέησιν*, et paulo post *παιδοδιδάσκαλοι* pro *νομοδιδάσκαλοι.* R.

8) I Tim. I, 7.

9) Matth. XVII, 4. Marc. IX, 5. Luc. IX, 33.

μὴ „εἰδὼς[1]) ὃ λέγει·“ „οὐ γὰρ[2]) ᾔδει τί ἐλάλει·“ καὶ γὰρ εἴπερ σοφὸς „νοήσει[3]) τὰ ἀπὸ τοῦ ἰδίου στόματος, ἐπὶ δὲ χείλεσι φορεῖ τὴν ἐπιγνωμοσύνην,“ ὁ μὴ οὕτως ἔχων οὐ νοεῖ τὰ ἀπὸ τοῦ ἰδίου στόματος, οὐδὲ συνίησι τῆς φύσεως τῶν ὑπ᾽ αὐτοῦ λεγομένων.

42. Ἑξῆς τούτοις ἐστὶ τό· „ἔτι[4]) λαλοῦντος αὐτοῦ, καὶ ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτοὺς,“ καὶ τὰ ἑξῆς. Οἶμαι δ᾽ ὅτι τὸν Πέτρον ὁ θεὸς, ἀποτρέπων τοῦ ποιῆσαι τρεῖς σκηνὰς, ὑφ᾽ ἃς ἔμελλεν ὅσον ἐπὶ τῷ βουλήματι σκηνοῦν, δείκνυσι κρείττονα, ἵν᾽ οὕτως ὀνομάσω, καὶ πολλῷ διαφέρουσαν σκηνὴν, τὴν νεφέλην. Εἰ γὰρ ἔργον ἐστὶ σκηνῆς τὸ ἐπισκιάσαι τὸν ἐν αὐτῇ, καὶ σκεπάσαι, ἡ δὲ φωτεινὴ νεφέλη ἐπεσκίασεν αὐτοὺς, οἱονεὶ σκηνὴν θειοτέραν, ἅτε καὶ φωτεινὴν τυγχάνουσαν πεποίηκεν αὐτοῖς εἰς παράδειγμα μελλούσης ἀναστάσεως ὁ θεός· φωτεινὴ γὰρ νεφέλη ἐπισκιάζει τοὺς δικαίους, σκεπαζομένους ἅμα καὶ φωτιζομένους καὶ ἐλλαμπομένους[5]) ὑπ᾽ αὐτῆς. Τίς δ᾽ ἂν εἴη ἡ φωτεινὴ νεφέλη ἐπισκιάζουσα τοὺς δικαίους; ἢ τάχα μὲν πατρικὴ δύναμις, ἀφ᾽ ἧς ἔρχεται ἡ τοῦ πατρὸς φωνὴ, μαρτυροῦσα τῷ υἱῷ ὡς ἀγαπητῷ, καὶ εὐδοκήτῳ,[6]) καὶ προτρέπουσα τοὺς σκιαζομένους ὑπ᾽ αὐτῆς τούτου καὶ μὴ ἄλλου τινὸς ἀκούειν; Λέγει δ᾽ οὗτος ὡς πάλαι, οὕτως καὶ ἀεὶ δι᾽ ὧν βούλεται. Τάχα δὲ καὶ τὸ ἅγιον πνεῦμα ἡ φωτεινή

---

1) Luc. IX, 33.

2) Marc. IX, 6. H. et R. h. l., cfr. pag. 194. not. 6., ἐλάλει.

3) Prov. XVI, 23. LXX. interpretes: φορέσει.

4) Matth. XVII, 5. Edd. N. T. αὐτοῦ λαλοῦντος, ἰδού κ. τ. λ.

5) Cod. Vaticanus: λαμπομένους, et paulo post ἐπισκιάζουσα τοὺς δικαίους; ed. Huetii: ἐπισκιάζουσα τοῖς δικαίοις. R.

6) Edd. H. et R. εὐδοκητῷ.

ἐστι νεφέλη, ἐπισκιάζουσα τοὺς δικαίους, καὶ προφητεύουσα τὰ τοῦ θεοῦ, ἐνεργοῦντος ἐν αὐτῇ, καὶ λέγοντος· „οὗτός ἐστιν [1]) ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα.“ Τολμήσας δ' ἂν εἴποιμι καὶ τὸν Σωτῆρα ἡμῶν εἶναι φωτεινὴν νεφέλην. Πέτρος μὲν οὖν λέγων· „ποιήσωμεν [2]) ὧδε τρεῖς σκηνάς·“ * * ἀφ' ἑαυτοῦ [3]) μίαν, καὶ ἀπὸ τοῦ υἱοῦ μίαν, καὶ ἀπὸ τοῦ ἁγίου πνεύματος μίαν. Φωτεινὴ γὰρ πατρὸς, υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος νεφέλη ἐπισκιάζει τοὺς Ἰησοῦ γνησίους μαθητάς· ἢ τὸ εὐαγγέλιον, καὶ τὸν νόμον, καὶ τοὺς προφήτας νεφέλη ἐπισκιάζει, φωτεινὴ τῷ δυναμένῳ ἐνορᾷν τῷ φωτὶ αὐτῆς κατὰ τὸ εὐαγγέλιον, καὶ τὸν νόμον, καὶ τοὺς προφήτας. Ἡ δὲ ἐκ τῆς νεφέλης φωνὴ τάχα μὲν Μωσεῖ, καὶ Ἠλίᾳ λέγει· „οὗτός ἐστιν [4]) ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα· ἀκούετε αὐτοῦ·“ ἐπιθυμοῦσιν ἰδεῖν τὸν υἱὸν τοῦ ἀνθρώπου, καὶ ἀκοῦσαι αὐτοῦ, καὶ θεωρῆσαι αὐτὸν καθὼς ἦν [5]) ἐν δόξῃ. Τάχα δὲ τοὺς [6]) μαθητὰς διδάσκει, ὅτι ὁ κυρίως [7]) υἱὸς τοῦ θεοῦ, καὶ ἀγαπητὸς αὐτοῦ, ἐν ᾧ ηὐδόκησεν, οὗ μάλιστα ἀκούειν δεῖ, ὁ τότε θεωρούμενος ἦν, καὶ μεταμορφωθεὶς, καὶ λάμψας τῷ προσώπῳ ὡς ὁ ἥλιος, καὶ ἐνδεδυμένος τὰ ὡς φῶς λευκὰ ἱμάτια.

---

[1]) Matth. XVII, 5.

[2]) Ibid. XVII, 4. coll. pag. 194. not. 5.

[3]) H. in textu: *σκηνὰς * * ἀφ' ἑαυταῦ κ. τ. λ.*, in notis: „ita Cod. uterque, Holm. et Regius. Locus manifesto lacunosus, nec subsidio est vetus interpretatio, quae et ipsa ibi manca est.“ R. in textu: *σκηνὰς ἀφ' ἑαυτοῦ κ. τ. λ.*, in notis: „„sic habent omnes nostri Codd. Mss., in quibus nullum apparet hiatus vestigium, licet locus manifesto lacunosus sit, cui nec subsidio est etc.““

[4]) Matth. XVII, 5. Ed. Knapp. *αὐτοῦ ἀκούετε.*

[5]) Deest *ἦν* in ed. R.

[6]) H. et R. in textu *οὗτος*; R. in notis: „deest *οὗτος* in Cod. Vaticano. Quid? si legatur: *τοὺς μαθητάς.*“

[7]) Codex Vaticanus habet *κύριος*. R.

43. Μετὰ δὲ ταῦτα γέγραπται, ὅτι ἀκούσαντες τῆς φωνῆς τῆς νεφέλης,[1]) μαρτυρούσης τῷ υἱῷ, οἱ τρεῖς ἀπόστολοι, μὴ φέροντες τὴν τῆς φωνῆς δόξαν, καὶ τὴν ἐπ' αὐτῆς δύναμιν, ἱκέτευσαν πεσόντες[2]) ἐπὶ πρόσωπον τὸν θεόν· σφόδρα γὰρ ἐφοβήθησαν τὸ παράδοξον τοῦ θεάματος, καὶ τῶν ἀπὸ τοῦ θεάματος λελεγμένων. Πρόσχες δὲ, εἰ δύνασαι καὶ ταῦτα εἰπεῖν περὶ τῶν κατὰ τὸν τόπον, ὅτι νοησάντες οἱ μαθηταὶ τὸν υἱὸν τοῦ θεοῦ κεχρηματικέναι Μωσεῖ, καὶ αὐτὸν εἶναι τὸν εἰρηκότα· „οὐ γὰρ ὄψεται[3]) ἄνθρωπος τὸ πρόσωπόν μου, καὶ ζήσεται·“ καὶ τὴν περὶ αὐτοῦ μαρτυρίαν τοῦ θεοῦ προσλαβόντες, ὡς μὴ φέροντες τὰς τοῦ Λόγου αὐγὰς ἐταπεινώθησαν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ. Ἀλλὰ μετὰ τὴν ἀφὴν τοῦ Λόγου τοὺς ὀφθαλμοὺς ἐπάραντες εἶδον Ἰησοῦν μόνον,[4]) καὶ οὐδένα ἄλλον. Ἓν μόνον γέγονε Μωσῆς ὁ νόμος, καὶ Ἠλίας ἡ προφητεία,[5]) Ἰησοῦ τῷ εὐαγγελίῳ· καὶ οὐχ ὥσπερ ἦσαν πρότερον τρεῖς, οὕτω μεμενήκασιν, ἀλλὰ γεγόνασιν οἱ τρεῖς εἰς τὸ ἕν. Ταῦτα δέ μοι νόει ὡς πρὸς τὰ μυστικὰ πράγματα· πρὸς γὰρ τὸ ψιλὸν τοῦ γράμματος βούλημα, Μωσῆς καὶ Ἠλίας, ὀφθέντες ἐν δόξῃ καὶ συλλαλήσαντες[6]) τῷ Ἰησοῦ, ἀπεληλύθασιν ὅθεν ἐληλύθεισαν,[7]) τάχα τῶν λόγων

---

[1]) Deest *νεφέλης* in Cod. Vaticano. R.

[2]) Matth. XVII, 6.

[3]) Exod. XXXIII, 20. LXX. interpretes: *οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος κ. τ. λ.*

[4]) Matth. XVII, 8.

[5]) Codd. Anglicanus, Vaticanus et Tarinianus (recte): *ἡ προφητεία.* Editio Huetii: *οἱ προφηταί* (non *προφῆται*). R.

[6]) H. in textu *συλλαλήσαντες*, ad oram: „Cod. Reg. *συλλαλοῦντες.*“ R. in textu: *συλλαλοῦντες*, in notis: „„Codd. Anglicanus, Vaticanus et Tarinianus: *συλλαλοῦντες.* Ed. Huetii etc.““

[7]) Huetius: *ἐληλύθησαν.*

μεταδώσοντες,[1]) ὧν ἐλάλησε μετ' αὐτῶν ὁ Ἰησοῦς, τοῖς ὅσον οὐδέπω εὐεργετηθησομένοις[2]) ὑπ' αὐτοῦ κατὰ τὸν καιρὸν τοῦ πάθους, ὅτε ἔμελλε πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων, ἀνοιχθέντων αὐτῶν[3]) τῶν μνημείων, ἀπιέναι εἰς τὴν ἀληθῶς ἁγίαν πόλιν, τὴν μὴ κλαιομένην[4]) ὑπὸ τοῦ Ἰησοῦ[5]) Ἱερουσαλὴμ, καὶ ἐκεῖ ἐμφανίζεσθαι πολλοῖς. Μετὰ δὲ τὴν ἐν τῷ ὄρει οἰκονομίαν, καταβαινόντων ἐκ τοῦ ὄρους τῶν μαθητῶν, ἵνα ἐλθόντες πρὸς τὸν ὄχλον ὑπηρετήσωσι τῷ υἱῷ τοῦ θεοῦ περὶ τῆς ἐκείνων σωτηρίας, ἐνετείλατο[6]) ὁ Ἰησοῦς τοῖς μαθηταῖς „λέγων· μηδενὶ εἴπητε τὸ ὅραμα, ἕως οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ.“ Τὸ δὲ· „μηδενὶ εἴπητε τὸ ὅραμα“ παραπλήσιον τῷ ἐν τοῖς ἀνωτέρω ἐξετασθέντι, ὅτε „διεστείλατο[7]) τοῖς μαθηταῖς, ἵνα μηδενὶ εἴπωσιν, ὅτι αὐτός ἐστιν ὁ Χριστός.“ Διὸ τὰ εἰς ἐκεῖνον εἰρημένα τὸν τόπον, δύναται ἡμῖν εἶναι χρήσιμα καὶ πρὸς τὸ προκείμενον,[8]) ἐπεὶ καὶ κατὰ[9]) ταῦτα βούλεται ὁ Ἰησοῦς μὴ λεχθῆναι τὰ τῆς δόξης αὐτοῦ πρὸ τῆς μετὰ τὸ πάθος δόξης αὐτοῦ· ἐβλάβησαν[10]) γὰρ ἂν

---

[1]) Ed. Ruaei: δώσοντες.

[2]) Ed. Huetii: εὐεργεθησομένοις. — Matth. XXVII, 52. 53.

[3]) Codex Vaticanus: αὐτοῖς. R.

[4]) Editio Huetiana: κλαομένην.

[5]) Cod. Tarini: ὑπὸ τοῦ υἱοῦ, Cod. Vaticanus: ὑπὸ τῶν υἱῶν. R.

[6]) Matth. XVII, 9. Ed. Lachm. ἐγερθῇ pro ἀναστῇ.

[7]) Matth. XVI, 20. coll. pag. 164. not. 1.

[8]) Omnes Mss. προκείμενον, ed. Huetii: προσκείμενον. R.

[9]) Cod. Tarini habet: κατὰ πάντα. R.

[10]) H. in textu: ἐβλάβησαν γὰρ οἱ ἀκούοντες, in notis: „Cod. Regius: ἐβλάβησαν γὰρ ἄνω ἀκούοντες. Lege: ἂν οἱ ἀκούοντες.“ R. in textu: ἐβλάβησαν ἂν οἱ ἀκούοντες, in notis: „„„Codd. Anglic. et Vatic.: ἐβλάβησαν

οἱ ἀκούοντες, καὶ μάλιστα ὄχλοι, τὸν οὕτω δεδοξασμένον ὁρῶντες [1]) σταυρούμενον. Διόπερ ἐπεὶ συγγενὲς ἦν τῇ μεταμορφώσει αὐτοῦ, καὶ τῷ ὀφθέντι αὐτοῦ προσώπῳ ὡς ὁ ἥλιος, τὸ δοξασθῆναι αὐτὸν ἐν τῇ [2]) ἀναστάσει, διὰ τοῦτο βούλεται τότε ταῦτα ὑπὸ τῶν ἀποστόλων λαληθῆναι, ἡνίκα ἐκ νεκρῶν ἀναστῇ.

ἂν οἱ ἀκούοντες. Cod. Tarini in textu: ἐβλάβησαν γὰρ ἄνθρωποι ἀκούοντες, in marg. autem: ἐβλάβησαν ἂν οἱ ἀκούσαντες. Cod. Reg. etc.""

[1]) Ed. H. in textu: θεωροῦντες, ad oram: ,,Cod. Reg. ὁρῶντες." R. in textu: ὁρῶντες, in notis: ,,,,omnes Mss. ὁρῶντες.""

[2]) H. et R. in textu: τῇ; H. ad marginem: ,,scribas: ἐν τῇ."

ΩΡΙΓΕΝΟΥΣ

ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ

ΜΑΤΘΑΙΟΝ

ΕΥΑΓΓΕΛΙΟΝ [1])

ΕΞΗΓΗΤΙΚΩΝ

Τόμος ιγ'.

1. „Ἐπηρώτησαν [2]) αὐτὸν οἱ μαθηταὶ, λέγοντες· τί οὖν οἱ γραμματεῖς λέγουσιν, ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον;“ Οἱ μὲν συναναβάντες τῷ Ἰησοῦ μαθηταὶ τῶν ὑπὸ τῶν γραμματέων περὶ Ἠλίου παραδιδομένων ἐμέμνηντο, ὅτι πρὸ τῆς Χριστοῦ παρουσίας ἐλθὼν Ἠλίας εὐτρεπίσει αὐτῷ τὰς ψυχὰς τῶν παραδεξομένων αὐτόν. Ἡ δὲ ἐν τῷ ὄρει ὀπτασία, καθ' ἣν ὁ Ἠλίας ἐφάνη, ἐδόκει μὴ συνᾴδειν τοῖς εἰρημένοις, ἐπεὶ οὐ πρὸ τοῦ Ἰησοῦ ἔδοξεν αὐτοῖς ἐληλυθέναι ὁ Ἠλίας, ἀλλὰ μετ' αὐτόν. Διὸ ταῦτά φασιν, οἰόμενοι ψεύδεσθαι [3]) τοὺς

---

[1]) Desideratur hoc voc. in edd. H. et R.

[2]) Matth. XVII, 10. Ed. Knapp. *οἱ μαθηταὶ αὐτοῦ κ. τ. λ.*

[3]) *ψεύδεσθαι τοὺς γραμματεῖς. Πρὸς δὲ τοῦτο κ. τ. λ.* Sic habent omnes Mss. (H. in notis: „ita Codd. Holm. et Reg.“) absque ullo lacunae vestigio. At nonnulla supplet vetus interpres: *ideo falsam existimantes traditionem Scribarum propter hujusmodi visionem de Elia, dixerunt: „quid ergo dicunt Scribae, quo-*

γραμματεῖς. Πρὸς δὲ τοῦτο ὁ Σωτὴρ ἀποκρίνεται, οὐκ ἀθετῶν τὰ περὶ τοῦ Ἠλίου παραδιδόμενα, ἀλλὰ ἄλλην τοῦ Ἠλίου, πρὸ τῆς Χριστοῦ, ἐπιδημίαν, ἀγνοηθεῖσαν ὑπὸ τῶν γραμματέων, εἶναι φάσκων, καθ' ἣν ἀγνοήσαντες αὐτὸν, ὡς συναίτιοι γενόμενοι τῷ αὐτὸν εἰς φυλακὴν βληθῆναι ὑπὸ Ἡρώδου, καὶ τῷ αὐτὸν ἀναιρεθῆναι ὑπ' αὐτοῦ, πεποιήκασιν „ἐν αὐτῷ[1]) ὅσα ἠθέλησαν" εἶτα ἀνάλογον οἷς πεποιήκασιν εἰς τὸν Ἠλίαν φησὶν ὑπὸ τῶν αὐτῶν πείσεσθαι. Καὶ ταῦτα μὲν ὡς περὶ Ἠλίου οἵ τε μαθηταὶ ἐπηρώτων, καὶ ὁ Σωτὴρ ἀπεκρίνατο· οἱ δὲ ἀκούσαντες συνῆκαν[2]) τό· „Ἠλίας ἤδη ἦλθε" καὶ τὸ ἑξῆς αὐτῷ εἰρημένον ὑπὸ τοῦ Σωτῆρος, τὴν ἀναφορὰν ἐσχηκέναι ἐπὶ τὸν Βαπτιστὴν Ἰωάννην. Καὶ ταῦτα μὲν εἰρήσθω σαφηνείας ἕνεκεν τοῦ ἐκκειμένου ῥητοῦ. Ἤδη δὲ κατὰ δύναμιν καὶ[3]) τῶν ἐναποκειμένων αὐτῷ πραγμάτων τὴν ἐξέτασιν ποιησώμεθα. Ἐν τούτοις[4]) Ἠλίας οὐχ ἡ ψυχὴ δοκεῖ μοι λέγεσθαι, ἵνα μὴ ἐμπίπτω εἰς τὸ ἀλλότριον τῆς ἐκκλησίας τοῦ Θεοῦ περὶ τῆς μετενσωματώσεως δόγμα, οὔτε παραδιδόμενον ὑπὸ τῶν ἀποστόλων, οὔτε ἐμφαινόμενόν που τῶν γραφῶν· καὶ γὰρ ἐναντίον ἐστὶ τῷ[5]) τὰ βλεπόμενα[6]) πρόσκαιρα εἶναι, καὶ συντέλειαν πείσεσθαι τὸν

---

niam oportet Eliam venire primum?" Tu enim nobis manifestatus es ante Eliam, et priusquam ille ad hanc vitam humanam venisti. Ad hanc respondit etc. R.

[1]) Codd. Reg. (H. ad oram) et Vaticanus: εἰς αὐτόν. R. Cfr. Matth. XVII, 12.

[2]) Codd. Reg. (H. ad marg.) et Vaticanus: συνῆκαν ὅτι Ἠλίας ἤδη κ. τ. λ. R. — Equidem legerim: συνῆκαν, ὅτι τό· Ἠλίας κ. τ. λ. Cfr. Matth. XVII, 12.

[3]) Codd. Reg. (H. ad marg.) et Vaticanus: καὶ τῶν ἀποκειμένων ἐν αὐτῷ πραγμάτων. R.

[4]) Codex Tarinianus: ἐν τούτῳ. R.

[5]) Desideratur τῷ in ed. R.

[6]) II Cor. IV, 18. — Matth. XIII, 39.

αἰῶνα τοῦτον· ἀλλὰ καὶ τῷ πληρωθῆναι τό·[1]) „ὁ οὐρανὸς[2]) καὶ ἡ γῆ παρελεύσονται·“ καὶ τό·[3]) „παράγει γὰρ τὸ[4]) σχῆμα τοῦ κόσμου τούτου·“ καὶ τό·[5]) „οἱ οὐρανοὶ[6]) ἀπολοῦνται,“ μετὰ τῶν ἑξῆς αὐτῷ. Εἰ γὰρ, καθ᾽ ὑπόθεσιν, δὶς δύναται γενέσθαι ἐν τῇ ἀπ᾽ ἀρχῆς μέχρι συντελείας τοῦ κόσμου καταστάσει ἡ αὐτὴ ψυχὴ ἐν τῷ σώματι, δι᾽ αἰτίαν ἣν ἂν γένοιτο ἐν αὐτῷ; ἢ[7]) δι᾽ ἁμαρτίαν γενομένη δὶς ἐν σώματι, διὰ τί οὐχὶ καὶ τρὶς, καὶ πλεονάκις ἔσται ἐν αὐτῷ, τῶν διὰ τὸν βίον τοῦτον, καὶ τὰ ἡμαρτημένα ἐν αὐτῷ, κολάσεων τούτῳ ἀποδοθησομένων μόνῳ τῷ τρόπῳ κατὰ τὴν μετενσωμάτωσιν; Ὅπερ ἐὰν ἐξ ἀκολουθίας δοθῇ, οὐκ ἔσται τάχα ὅτε ψυχὴ οὐ μετενσωματωθήσεται· ἀεὶ γὰρ διὰ τὰ πρότερα ἁμαρτήματα ἐπιδημήσει τῷ σώματι, καὶ οὕτως οὐχ ἕξει χώραν ἡ τοῦ κόσμου φορὰ,[8]) καθ᾽ ἣν „ὁ οὐρανὸς[9]) καὶ ἡ γῆ παρελεύσονται.“ Ἵνα δὲ, κατὰ τὴν

---

[1]) Deest τό in ed. Huetiana.

[2]) Matth. XXIV, 35. Edd. N. T. παρελεύσεται.

[3]) H. minus recte (cfr. pag. huj. not. 1.) ad marginem: „scrib. τῷ.“ — I Cor. VII, 31.

[4]) Cod. Vaticanus: τὸ σχῆμα τοῦτο, καὶ τό. R.

[5]) H. minus recte (cfr. pag. huj. not. 3. coll. not. 1.) ad oram: „scrib. τῷ.“

[6]) Psalm. CII, 26. (CI, 27.) coll. LXX. interpretum versione.

[7]) H. et R. in textu: ἢ δι᾽ ἁμαρτίαν, H. ad oram: „scrib. εἰ,“ in notis: „Mss. Holm. et Reg. ἢ δι᾽ ἁμαρτίαν. Vetus interpres legit: εἰ δι᾽ ἁμαρτίαν, quemadmodum et Pamphilus.“

[8]) H. et R. in textu φορά; R. in notis: „sic habent omnes Mss., (Huet. in notis: ita Cod. uterque) sed legendum fortasse, ut monet Huetius (ad marg. aeque ac in notis) φθορά. Sic infra (cfr. pag. seq. lin. 6.) ἐν τῷ χρόνῳ τῆς τοῦ κόσμου φθορᾶς.“

[9]) Codd. Vatic. et Tarinianus habent: ὁ οὐρανὸς καὶ

ὑπόθεσιν ταύτην, δίδωται, τὸν πάντη ἀναμάρτητον μηκέτι ἥξειν εἰς τὸ διὰ γενέσεως σῶμα, διὰ πόσων χρόνων[1]) οἴει μίαν εὑρήσεσθαι πάντη καθαρεύσασαν ψυχὴν, καὶ μὴ δεομένην μετενσωματώσεως; Ὅμως δὲ καὶ οὕτως μιᾶς τινος ἀεὶ ἐκ τοῦ ὡρισμένου τῶν ψυχῶν ἀριθμοῦ μεθισταμένης, καὶ μηκέτι εἰς σῶμα ἐρχομένης, ἐπιλείψει ποτὲ ὡς διά τινων ὡσπερεὶ ἀπείρων χρόνων ἡ γένεσις, καταντήσαντος τοῦ κόσμου ἐπί τινα ἕνα, ἢ δεύτερον, ἢ ὀλίγῳ πλείους, μεθ' οὓς καὶ αὐτοὺς τελειωθέντας ὁ κόσμος φθαρήσεται, ἐπιλειπόντων τῶν εἰς σῶμα ἐρχομένων. Ὅπερ οὐκ ἀρέσκει[2]) τῇ γραφῇ· πλῆθος γὰρ οἶδεν ἁμαρτωλῶν ἐν τῷ χρόνῳ τῆς τοῦ κόσμου φθορᾶς.[3]) Ὅπερ ἐστὶ δῆλον συνεξεταζομένου τοῦ· „πλὴν[4]) ἐλθὼν ὁ υἱὸς τοῦ ἀνθρώπου ἆρα[5]) εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς;“ ὡς εὕρομεν παρὰ τῷ Ματθαίῳ οὕτως εἰρημένον· „ὥσπερ[6]) δὲ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται ἡ παρουσία τοῦ υἱοῦ τοῦ[7]) ἀνθρώπου· ὡς[8]) γὰρ ἦσαν ἐν ταῖς ἡμέραις τοῦ κατακλυσμοῦ,“ καὶ τὰ ἑξῆς. Ἔσται

ἡ γῆ παρελεύσεται. R. — Cfr. Matth. XXIV, 35. coll. pag. 207. not. 2.

[1]) H. et R. in textu: *διὰ χρόνων*; R. in not.: „Codd. Reg. (H. ad marg.), Tarinianus et Vaticanus: *διὰ πόσων χρόνων*, quae genuina videtur esse lectio.“

[2]) Cod. Tarinianus: *ἀρέσκεται*. R.

[3]) Cfr. pag. 207. not. 8.

[4]) Luc. XVIII, 8. Edd. N. T. *πλὴν ὁ υἱὸς τ. ἀνθρώπου ἐλθὼν ἆρα κ. τ. λ.*

[5]) Desideratur *ἆρα* in edd. H. et R.

[6]) Matth. XXIV, 37—39. Ed. Lachm. vers. 37. *ὥσπερ γὰρ αἱ ἡμέραι κ. τ. λ.*, ed. Knapp. *οὕτως ἔσται καὶ ἡ παρουσία κ. τ. λ.*

[7]) Deest *τοῦ* in ed. R.

[8]) Ed. Knapp. vers. 38. l. l. *ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ κ. τ. λ.*, ed. Lachm. *ὡς γὰρ ἦσαν ἐν τ. ἡμέρ. ἐκείναις ταῖς πρὸ τοῦ κ. τ. λ.*

δὲ τοῖς τότε ἡ τῶν ἁμαρτημάτων εἴσπραξις, οὐκ ἐν μετενσωματώσει· εἰ γὰρ ἔτι ἁμαρτάνοντες παραλαμβάνονται, ἤτοι ἄλλῳ τρόπῳ κολάσεως μετὰ τοῦτο κολασθήσονται· καὶ κατὰ τοῦτο ἤτοι [1]) δύο τρόποι κολάσεων ἔσονται γενικοί· ὁ μὲν ἐν μετενσωματώσει, ὁ δὲ ἔξω τοῦ τοιούτου σώματος, καὶ λεγέτωσαν τὰς τούτων αἰτίας, καὶ διαφοράς· ἢ οὐ κολασθήσονται, ὡς ἀθρόως ἀποβαλόντες τὰ ἁμαρτήματα οἱ ἐπὶ συντελείᾳ καταλειφθέντες, [2]) ἢ, ὅπερ βέλτιον, εἷς ἐστι τρόπος κολάσεως τοῖς ἡμαρτηκόσιν ἐν σώματι, τὸ ἔξω [3]) αὐτοῦ, τῆς καταστάσεως τοῦ βίου τούτου, τὸ κατάξιαν τῶν ἡμαρτημένων παθεῖν. Ἕκαστον δὲ τούτων τῷ ἐνορᾷν δυναμένῳ τοῖς πράγμασιν ἀνατρεπτικόν ἐστι τῆς μετενσωματώσεως. Εἰ δὲ ἀναγκαίως οἱ τὴν μετενσωμάτωσιν εἰσάγοντες Ἕλληνες, ὡς ἀκόλουθα αὐτοῖς τιθέντες, οὐδὲ φθείρεσθαι βούλονται τὸν κόσμον, ὥρα [4]) καὶ τούτους ἀντιβλέψαντας ταῖς ἐκφαινούσαις γραφαῖς, φθαρήσεσθαι τὸν κόσμον, ἢ ἀπιστῆσαι αὐταῖς, ἢ εὑρεσιλογεῖν περὶ διηγήσεως τῶν κατὰ τὴν συντέλειαν· ὅπερ κἂν βούλωνται ποιῆσαι οὐ δυνήσονται. Ἔτι δὲ καὶ τοῦτο τοῖς τολμήσασιν ἂν λέγειν, μὴ φθαρήσεσθαι τὸν κόσμον, φήσομεν, ὅτι εἰ μὴ φθείρεται ὁ κόσμος, ἀλλ' ἐπ' ἄπειρον ἔσται, οὐκ ἔσται ὁ Θεὸς εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν. Ἀλλ' εἰ ἄρα ἀνὰ μέρος, ἤτοι ἕκαστον εἴσεται πρὶν γενέσεως αὐτοῦ, ἤ τινα, καὶ μετὰ ταῦτα πάλιν ἕτερα· ἄπειρα γὰρ τῇ φύσει οὐχ οἷόντε περιλαμβάνεσθαι

---

[1]) Delendum videtur hoc (?) loco: ἤτοι. R.

[2]) Legendum fortasse (?) καταληφθέντες. R.

[3]) H. et R. in textu: τὸ ἔξω αὐτοῦ τῆς — τούτου τό κ. τ. λ.; R. in notis: „Cod. Vaticanus habet: τὸ ἐξ αὐτοῦ. Huet. videtur legisse: τὸ ἔξω αὐτοῦ καὶ τῆς κ. τ. λ. Ego autem malim: τὸ ἔξω αὐτοὺς τῆς κ. τ. λ.“

[4]) H. et R. in textu recte: ὥρα; in versione: superest etc.

τῇ περατοῦν πεφυκυίᾳ τὰ γινωσκόμενα γνώσει. Τούτῳ δὲ ἀκολουθεῖ, μηδὲ προφητείας δύνασθαι γενέσθαι περὶ πάντων ὡντινωνοῦν, ἅτε ἀπείρων ὄντων τῶν πάντων.

2. Ἀναγκαίως δ' οἶμαι ἐνδιατετριφέναι τῇ ἐξετάσει τοῦ περὶ μετενσωματώσεως λόγου, διὰ τήν τινων ὑπόνοιαν, οἠθέντων ψυχὴν εἶναι, περὶ ἧς ὁ λόγος, τὴν αὐτὴν Ἠλίου καὶ Ἰωάννου, πρότερον μὲν κληθεῖσαν Ἠλίαν, δεύτερον δὲ Ἰωάννην· καὶ οὐκ ἀθεεί γε κεκλῆσθαι Ἰωάννην αὐτὸν, ὡς δῆλον ἐκ τοῦ τὸν ὀφθέντα ἄγγελον τῷ Ζαχαρίᾳ εἰρηκέναι αὐτῷ· „μὴ[1]) φοβοῦ, Ζαχαρία· διότι εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην·" καὶ ἐκ τοῦ ἀπειληφέναι τὸν Ζαχαρίαν τὴν φωνὴν, μετὰ τὴν ἐν τῇ πινακίδι γραφὴν περὶ τοῦ Ἰωάννην καλεῖσθαι τὸν γεγεννημένον.[2]) Εἴπερ δὲ ἡ ψυχὴ Ἠλίας ἦν, ἐχρῆν καὶ δεύτερον αὐτὸν γεννώμενον κληθῆναι Ἠλίαν, ἢ αἰτίαν τινὰ φανῆναι τῆς μετωνυμίας, ὡς ἐπὶ τοῦ Ἀβρὰμ[3]) καὶ Ἀβραὰμ, καὶ τῆς Σάρας καὶ τῆς Σάῤῥας, καὶ τοῦ Ἰακὼβ καὶ Ἰσραὴλ, καὶ τοῦ Σίμωνος καὶ Πέτρου. Καί τοί γε[4]) οὐδ' οὕτως ὁ λόγος ἐν αὐτοῖς ἐσώζετο· ἐν μιᾷ γὰρ καὶ τῇ αὐτῇ ζωῇ τοῖς προειρημένοις γεγόνασιν αἱ μετωνυμίαι. Ζητήσαι δ' ἄν τις, εἰ μὴ ἡ ψυχὴ Ἠλίας ἐστὶ πρότερον ἐν τῷ Θεσβίτῃ, καὶ δεύτερον ἐν τῷ Ἰωάννῃ, τί ἂν εἴη τὸ κληθὲν ὑπὸ τοῦ Σωτῆρος ἐν ἀμφοτέροις Ἠλίας; Καί φημι τὸν Γαβριὴλ ἐν τοῖς πρὸς Ζαχαρίαν λόγοις ὑποβεβληκέναι, τίς ἡ αὐτὴ οὐσία ἐν Ἠλίᾳ καὶ Ἰωάννῃ· φησὶ γάρ· „τῶν[5]) υἱῶν Ἰσραὴλ πολλοὺς ἐπιστρέψει ἐπὶ κύριον

[1]) Luc. I, 13. — 63.

[2]) H. et R. γεγενημένον.

[3]) Ed. Huetii: Ἄβραμ et Ἀβραάμ.

[4]) H. et R. Καίτοιγε.

[5]) Luc. I, 16. 17. Edd. N. T. vers. 16. καὶ πολλ. τ. υἱῶν Ἰσρ. ἐπιστρέψει κ. τ. λ.

τὸν Θεὸν αὐτῶν. Καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου." Πρόσχες γὰρ, οὐκ εἶπεν· „ἐν ψυχῇ Ἠλίου·" ἵν' ἔχοι τόπον ἡ μετενσωμάτωσις, ἀλλ' „ἐν πνεύματι καὶ δυνάμει Ἠλίου." Σαφῶς δὲ οἶδεν ἡ γραφὴ διαφορὰν πνεύματος πρὸς ψυχὴν, ὡς τό· „ὁ δὲ[1]) Θεὸς ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα τηρηθείη ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·" καὶ τό· „εὐλογεῖτε[2]) πνεύματα καὶ δικαίων ψυχαί·" ἐν τῷ κατὰ τοὺς ἑβδομήκοντα Δανιὴλ φερόμενον, παρίστησι τὴν διαφορὰν πνεύματος καὶ ψυχῆς. Ἠλίας οὖν ὁ Ἰωάννης οὐ διὰ τὴν ψυχὴν λέλεκται, ἀλλὰ διὰ τὸ πνεῦμα καὶ τὴν δύναμιν, ἅτινα οὐδὲν λυπεῖ τὸν ἐκκλησιαστικὸν λόγον, εἰ πρότερον μὲν ἦν ἐν Ἠλίᾳ, ὕστερον δὲ γέγονεν ἐν Ἰωάννῃ· καὶ „πνεύματα[3]) δὲ προφητῶν προφήταις ὑποτάσσεται," οὐχὶ δὲ ψυχαὶ προφητῶν προφήταις ὑποτάσσεται, καί· „τὸ[4]) πνεῦμα[5]) Ἠλίου ἀναπέπαυται ἐπὶ Ἐλισσαιέ." Ζητητέον δὲ, πότερον ταὐτόν ἐστι[6]) τὸ πνεῦμα τοῦ Ἠλίου τῷ ἐν Ἠλίᾳ πνεύματι Θεοῦ, ἢ ἕτερα ταῦτ' ἔστιν ἀλλήλων, καὶ εἰ παράδοξόν τι τὸ πνεῦμα ἦν Ἠλίου τὸ ἐν αὐτῷ παρὰ τὸ πνεῦμα τοῦ ἀνθρώπου ἑκάστου τὸ ἐν αὐτῷ· καὶ γὰρ σαφῶς ὁ Ἀπόστολος παρέστησεν, ἕτερον εἶναι τὸ τοῦ Θεοῦ πνεῦμα, κἂν ἐν ἡμῖν ᾖ, παρὰ τὸ πνεῦμα ἑκάστου ἀνθρώπου τὸ ἐν αὐτῷ, ὅπου μὲν λέγων· „αὐτὸ[7]) τὸ

---

1) I Thess. V, 23. Edd. N. T. αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι — σῶμα ἀμέμπτως ἐν τ. παρουσίᾳ τ. κυρ. ἡμ. Ἰησ. Χρ. τηρηθείη.

2) Dan. III. 86. Theodotion.: δικαίων τὸν Κύριον.

3) I Cor. XIV, 32. Deest consulto δέ in edd. N. T.

4) H. et R. καὶ τό· πνεῦμα κ. τ. λ.

5) II Regg. II, 15. (IV Regg.) LXX. interpretes: ἐπαναπέπαυται τὸ πν. Ἠλιοὺ ἐπὶ Ἑλισαιέ.

6) H. et R. ταῦτόν ἐστι κ. τ. λ.

7) Rom. VIII, 16.

πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ·“ ὅπου δέ· „οὐδεὶς[1]) οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ· οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ.“ Μὴ θαύμαζε δὲ τὸ περὶ τοῦ Ἠλίου, εἰ, ὥσπερ ξένον τι ἀπήντησεν αὐτῷ παρὰ τοὺς ἀναγεγραμμένους πάντας ἁγίους, διὰ τὸ ἀναληφθῆναι ἐν συσσεισμῷ[2]) εἰς τὸν οὐρανὸν, οὕτως ἐξαίρετόν τι εἶχε τὸ πνεῦμα αὐτοῦ, ὡς οὐ μόνον ἐπαναπαύσασθαι[3]) τῷ Ἐλισσαίῳ, ἀλλὰ καὶ τῷ Ἰωάννῃ συγκαταβῆναι εἰς τὴν γένεσιν, καὶ τὸν Ἰωάννην ἰδίᾳ μὲν „πνεύματος ἁγίου“ πεπληρῶσθαι[4]) ἔτι ἐκ κοιλίας μητρὸς[5]) αὐτοῦ, ἰδίᾳ δὲ προεληλυθέναι ἐνώπιον τοῦ Χριστοῦ „ἐν πνεύματι καὶ δυνάμει Ἠλίου.“ Καὶ γὰρ δυνατὸν, πλείονα[6]) πνεύματα εἶναι ἐν τῷ αὐτῷ, οὐ μόνον χείρονα, ἀλλὰ καὶ κρείττονα· αἰτεῖ γοῦν ὁ Δαβὶδ στηριχθῆναι[7]) μὲν πνεύματι ἡγεμονικῷ,[8]) ἐγκαινισθῆναι[9]) δὲ ἐν τοῖς ἐγκάτοις αὐτοῦ πνεῦμα εὐθές. Εἰ δὲ, ἵνα μεταδῷ ἡμῖν ὁ Σωτὴρ πνεύματος[10]) σοφίας καὶ συνέσεως, πνεύματος βουλῆς καὶ ἰσχύος, πνεύματος γνώσεως καὶ εὐσεβείας, καὶ ἐνεπλήσθη πνεύματος φόβου Θεοῦ· δυνατὸν καὶ

---

1) I Cor. II, 11. Ed. Knapp. τίς γὰρ οἶδεν — τὸ ἐν αὐτῷ; Οὕτω — οἶδεν, κ. τ. λ., ed. Lachm. τίς γὰρ οἶδεν — τὸ ἐν αὐτῷ; οὕτως — οὐδεὶς ἔγνωκεν, εἰ μὴ κ. τ. λ.

2) II Regg. II, 11. (IV Regg.)

3) II Regg. II, 15. (IV Regg.)

4) Luc. I, 15. 17.

5) H. et R. μῆτρος αὐτοῦ.

6) πλείονα. Deest in ed. Huetii; sed restituitur e Cod. Vaticano. R.

7) Psalm. LI, 12. (L.)

8) ἡγεμονικῷ. Deest pariter in ed. Huetii; sed suppletur e Cod. Anglicano. R.

9) Psalm. LI, 10. (L.)

10) Jes. XI, 2. 3.

ταῦτα νοεῖσθαι πλείονα ἐν τῷ αὐτῷ εἶναι κρείττονα πνεύματα. Καὶ τοῦτο δὲ [1]) παρεθέμεθα, διὰ τὸ „ἐν [2]) πνεύματι καὶ δυνάμει Ἠλίου“ προεληλυθέναι ἐνώπιον Χριστοῦ τὸν Ἰωάννην, ἵνα τό· „Ἠλίας [3]) ἤδη ἦλθεν·“ ἐπὶ τὸ ἐν τῷ Ἰωάννῃ ἀναφέρηται πνεῦμα τοῦ Ἠλίου, ὡς καὶ συνῆκαν [4]) οἱ συναναβάντες τρεῖς μαθηταὶ, ὅτι περὶ Ἰωάννου τοῦ Βαπτιστοῦ εἶπεν αὐτοῖς. Ἐπὶ μὲν οὖν τὸν Ἐλισσαῖον [5]) μόνον ἀναπέπαυται τὸ Ἠλίου πνεῦμα· ὁ δὲ Ἰωάννης προελήλυθεν, οὐκ ἐν μόνῳ τῷ πνεύματι, ἀλλὰ καὶ ἐν δυνάμει Ἠλίου. Διὸ καὶ Ἐλισσαῖος μὲν οὐκ ἂν Ἠλίας εἴρητο, Ἰωάννης δὲ αὐτὸς ἦν Ἠλίας. Εἰ δὲ δεῖ παραθέσθαι τὴν γραφὴν, ὅθεν ἔλεγον οἱ γραμματεῖς, ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον, ἄκουε τοῦ Μαλαχίου λέγοντος· „καὶ [6]) ἰδοὺ, ἐγὼ ἀποστελῶ ὑμῖν Ἠλίαν τὸν Θεσβίτην,“ καὶ τὰ ἑξῆς, ἕως τοῦ· „μὴ ἔλθω, καὶ πατάξω τὴν γῆν ἄρδην.“ Καὶ ἔοικέ γε διὰ τούτων δηλοῦσθαι, ὅτι προευτρεπίσει ὁ Ἠλίας τῇ ἐνδόξῳ Χριστοῦ ἐπιδημίᾳ, διά τινων ἱερῶν λόγων καὶ καταστάσεων ἐν ταῖς ψυχαῖς, τοὺς εἰς τοῦτο ἐπιτηδείους γεγενημένους, ἣν οὐκ ἂν ἤνεγκαν οἱ ἐπὶ γῆς, διὰ τὸ ὑπερβάλλον τῆς δόξης, εἰ μὴ ὑπὸ τοῦ Ἠλίου ἦσαν προευτρεπισθέντες. Ἠλίαν δὲ καὶ ἐν τούτοις, οὐ τὴν ψυχὴν λαμβάνω τοῦ προφήτου ἐκείνου, ἀλλὰ τὸ πνεῦμα καὶ τὴν δύναμιν αὐτοῦ· ταῦτα γάρ ἐστιν οἷς τὰ πάντα ἀποκαταστήσεται, ἵνα [7]) ἀποκαταστῶσι, καὶ ἐκ τῆς ἀποκαταστάσεως γενομένοις χωρητικοῖς τῆς δόξης τοῦ Χριστοῦ, ἐπιδημήσῃ

---

[1]) Ed. Huetii: καὶ τοῦτο καὶ παρεθέμεθα.

[2]) Luc. I, 17.

[3]) Matth. XVII, 12.

[4]) Ibidem XVII, 13.

[5]) Ed. R. h. l. Ἐλισσαῖον. Cfr. II Regg. II, 15 (IV Regg.)

[6]) Malach. IV, 5. 6.

[7]) ἵνα ἀποκαταστῶσι. Ita Mss. Holm. et Regius, id est, etc. Huet.

ὁ ἐν δόξῃ ὀφθησόμενος υἱὸς τοῦ Θεοῦ. Εἰ δὲ καὶ λόγος τίς ἐστιν ὁ Ἠλίας ὑποδεέστερος λόγου τοῦ ἐν ἀρχῇ[1]) πρὸς τὸν Θεὸν Θεοῦ Λόγου, καὶ οὗτος ἂν δύναιτο ὡσπερεὶ προγύμνασμα ἐπιδημεῖν τῷ ἑτοιμαζομένῳ λαῷ ὑπ' αὐτοῦ, ἵνα γένηται κατεσκευασμένος πρὸς ὑποδοχὴν τοῦ τελείου Λόγου. Ἀπορήσει[2]) δ' ἄν τις, εἰ τὸ πνεῦμα καὶ ἡ δύναμις Ἠλίου τὰ ἐν Ἰωάννῃ πέπονθε, κατὰ[3]) τό· „ἀλλ' ἐποίησαν[4]) ἐν αὐτῷ ὅσα ἠθέλησαν.“ Καὶ πρὸς τοῦτο λελέξεται[5]) ἁπλούστερον μὲν, ὅτι οὐδὲν ἄτοπον διὰ τὴν ἀγάπην συμπάσχειν τὰ βοηθοῦντα τοῖς βοηθουμένοις· καὶ Ἰησοῦς[6]) γοῦν φησι· „διὰ τοὺς ἀσθενοῦντας ἠσθένουν, καὶ διὰ τοὺς πεινῶντας ἐπείνων, καὶ διὰ τοὺς διψῶντας ἐδίψων·“ βαθύτερον δὲ, ὅτι οὐκ εἴρηται· „ἀλλά[7]) ἐποίησαν αὐτῷ ὅσα ἠθέλησαν ἐν αὐτῷ·“ ἣν γὰρ ἐπερη[illegible]σμένα τῷ πνεύματι καὶ τῇ δυνάμει Ἠλίου τὰ πε[illegible]α, ἡ ψυχὴ Ἰωάννου οὐδαμῶς οὖσα Ἠλίας, τά[illegible] καὶ τὸ σῶμα. Κατ' ἄλλον γὰρ τρόπον ἐν σώματ[illegible]χὴ, καὶ πνεῦμα, καὶ δύναμις· κατ' ἄλλον δὲ τὸ [illegible]ῶμα τοῦ δικαίου ἐν τοῖς κρείττοσιν, ὥσπερ ἐρηρεισμένον αὐτοῖς, καὶ αὐτῶν ἠρτημένον· οἱ δὲ[8]) ἐν

---

[1]) Ev. Joann. I, 1.

[2]) Cod. Vaticanus: ἀποχωρήσειε δ' ἄν τις. R.

[3]) Ed. R. minus recte: καὶ τό.

[4]) Matth. XVII, 12. H. et R. h. l., cfr. p. huj. not. 7. coll. pag. 215. not. 1., ἀλλ' omisso, ἐθέλησαν.

[5]) Edd. H. et R. λελέξεται, ἁπλούστερον μὲν ὅτι κ. τ. λ., atque paulo infra: βαθύτερον δὲ ὅτι κ. τ. λ.

[6]) Cum haec in N. T. libris non habeantur, ex apocrypho aliquo evangelio depromta esse judicamus, qualia multa circumferebantur olim, vel e N. T. exemplaribus excidisse (?), quod alias etiam contigisse infra observabimus. Huetius. — Cfr. Matth. XXV, 35. 36.

[7]) H. et R. h. l., cfr. p. huj. not. 4. coll. pag. 215. not. 1., ἀλλὰ ἐποίησαν αὐτῷ ὅσα ἐθέλησαν κ. τ. λ.

[8]) Rom. VIII, 8. 9.

σαρκὶ ὄντες Θεῷ ἀρέσαι οὐ δύνανται. Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν·" ἡ γὰρ ψυχὴ τοῦ μὲν ἁμαρτωλοῦ ἐν σαρκί ἐστι, τοῦ δὲ δικαίου ἐν πνεύματι. Ἔτι δὲ καὶ τοῦτ' ἂν ζητηθείη, τό· „ἀλλ' ἐποίησαν [1]) ἐν αὐτῷ ὅσα ἠθέλησαν·" ἐπὶ τίνα ἀναφέρεται; ἆρα γὰρ ἐπὶ τοὺς γραμματεῖς, περὶ ὧν πυνθανόμενοι οἱ μαθηταὶ ἔλεγον· „τί οὖν [2]) οἱ γραμματεῖς λέγουσιν, ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον;" Ἀλλ' οὐ πάνυ τι φαίνεται ὑπὸ τῶν γραμματέων πεπονθέναι [3]) τι ὁ Ἰωάννης, εἰ μὴ ἄρα ὅτι οὐκ ἐπίστευσαν αὐτῷ, ἢ ὅτι, ὡς καὶ ἀνωτέρω εἴπομεν, συναίτιοι γεγόνασι τοῖς τετολμημένοις κατ' αὐτοῦ ὑπὸ Ἡρώδου. Ἄλλος δ' ἂν εἴποι, ὅτι τό· „ἀλλ' ἐποίησαν [4]) ἐν αὐτῷ ὅσα ἠθέλησαν·" οὐκ ἐπὶ τοὺς γραμματεῖς, ἀλλ' ἐπὶ τὴν Ἡρωδιάδα, καὶ τὴν θυγατέρα αὐτῆς, καὶ τὸν Ἡρώδην ἀναφέρεται, ποιήσαντας „ἐν αὐτῷ ὅσα ἠθέλησαν." Καὶ τὸ ἑξῆς δὲ διὰ τό· „οὕτως [5]) ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσχειν ὑπ' αὐτῶν·" ἀναφέροιτ' ἄν, εἰ μὲν [6]) τὸ πρότερον, ἐπὶ τοὺς γραμματεῖς· εἰ δὲ τὸ

---

[1]) Matth. XVII, 12. H. et R. h. l., cfr. p. 214. not. 4. et 7., *ἀλλ' ἐποίησαν — ἠθέλησαν.*

[2]) Matth. XVII, 10.

[3]) H. et R. *ἀλλ' οὐ πάνυ τι — πεπονθέναι τι Ἰωάννης.*

[4]) Matth. XVII, 12.

[5]) Ibid. XVII, 12. Edd. N. T. *οὕτω καί κ. τ. λ.*

[6]) H. et R. in textu: *εἰ μὲν τὸ πρότερον διὰ τοὺς γραμματεῖς· εἰ δὲ τὸ δεύτερον, ἐπὶ τόν κ. τ. λ.*; H. in notis: „sic Cod. Regius, at (Cod.) Holm. *εἰ μὲν τὸ πρότερον διὰ τοὺς γραμματεῖς· εἰ δὲ τὸ δεύτερον ἐπὶ τόν κ. τ. λ.*, (R. addit: nec aliter Codd. Vatic. et Tarinianus). Locus mendosus, e quo nihil idoneum queas extundere; aliquid hic nobis in veteri interpretatione praesidii fuit, licet et ipsa saepe fallacissima sit. Sic illa se habet: *propter hoc autem quod sequitur:* „sic et filius hominis patietur ab iis" *consequenter dicitur: si pri-*

πρότερον ἐπὶ τὸν Ἡρώδην, καὶ τὴν Ἡρωδιάδα, καὶ τὴν θυγατέρα αὐτῆς, καὶ τὸ δεύτερον· καὶ γὰρ ἔοικε σύμψηφος γεγονέναι ὁ Ἡρώδης τῷ τὸν Ἰησοῦν ἀποθανεῖν, τάχα κοινωνούσης αὐτῷ τῆς κατ᾽ αὐτοῦ ἐπιβουλῆς καὶ τῆς γυναικός.

Περὶ τοῦ σεληνιαζομένου.

3. „*Καὶ ἐλθόντων*[1]) *αὐτῶν πρὸς τὸν ὄχλον, προσῆλθεν αὐτῷ ἄνθρωπος, γονυπετῶν αὐτῷ, καὶ λέγων· Κύριε, ἐλέησόν μου τὸν υἱόν.*“ *Οἱ*[2]) *πάσχοντες, ἢ οἱ τῶν πασχόντων οἰκεῖοι, μετὰ τῶν ὄχλων εἰσί· διόπερ, ἐπὰν τὰ ὑπὲρ*[3]) *τοὺς ὄχλους ὁ Ἰησοῦς οἰκονομήσηται, καταβαίνει πρὸς αὐτοὺς, ἵν᾽ οἱ μὴ δυνάμενοι ἀναβαίνειν διὰ τὰς κατεχούσας τὴν ψυχὴν νόσους ὠφεληθῶσι, καταβάντος*[4]) *πρὸς αὐτοὺς ἀπὸ τῶν ὑψηλοτέρων τοῦ Λόγου. Ἐξεταστέον δὲ, ἐπὶ τίνων μὲν νοσημάτων οἱ πάσχοντες πιστεύουσι, καὶ ἀξιοῦσι περὶ τῆς ἰδίας θεραπείας· ἐπὶ τίνων δὲ περὶ αὐτῶν ἕτεροι τοῦτο ποιοῦσιν, οἷον ὁ ἑκατόνταρχος περὶ παιδὸς, καὶ ὁ βασιλικὸς περὶ υἱοῦ, καὶ ὁ ἀρχισυνάγωγος περὶ θυγατρὸς, καὶ ἡ Χαναναία περὶ δαιμονῶντος τέκνου θηλέος, καὶ νῦν ὁ γονυπετῶν αὐτῷ*[5]) *ἄνθρωπος περὶ υἱοῦ σεληνιαζομένου. Τούτοις δὲ συνεξετάσεις, πότε ἀφ᾽ ἑαυτοῦ ὁ Σωτὴρ καὶ*

---

mum ad scribas pertinet, et hoc ad scribas. Si autem primum ad Herodem, et Herodiadem, et filiam ejus, et secundum ad ipsos. Itaque sic legendum conjicio: *εἰ μὲν καὶ τὸ πρότερον, ἐπὶ τοὺς γραμματεῖς· εἰ δὲ τὸ πρότερον κ. τ. λ.*“

[1]) Matth. XVII, 14. 15. Ed. Knapp. *καὶ ἐλθόντων αὐτῶν πρὸς — γονυπετῶν αὐτόν κ. τ. λ.*, ed. Lachm. *καὶ ἐλθόντων πρὸς — γονυπετῶν αὐτόν κ. τ. λ.*

[2]) Deest *οἱ* in ed. R.

[3]) Cod. Vaticanus: *περὶ τοὺς ὄχλους.* R.

[4]) Codex Tarini: *καὶ ἀφέντος.* R.

[5]) Ed. Huet. h. l., cfr. pag. huj. not. 1., *αὐτόν.*

ὑπὸ μηδενὸς ἀξιωθεὶς ἴᾶται, ὡς τὸν παραλυτικόν· αὗται γὰρ ἐπὶ τὸ αὐτὸ συγκριθεῖσαι ἀλλήλαις αἱ θεραπεῖαι, καὶ συνεξετασθεῖσαι, πολλὰ τῷ ἀκούειν δυναμένῳ τῆς ἐν μυστηρίῳ ἀποκεκρυμμένης σοφίας Θεοῦ παραστήσουσι δόγματα περί τε τῶν διαφόρων περὶ τὰς ψυχὰς συμπτωμάτων, καὶ περὶ τοῦ τρόπου τῆς θεραπείας αὐτῶν.

4. Ἐπεὶ δὲ νῦν οὐ περὶ πάντων, ἀλλὰ τοῦ ἐκκειμένου ῥητοῦ πρόκειται ἐξετάζειν, ἴδωμεν τροπολογοῦντες τίνα δυνάμεθα εἰπεῖν τὸν σεληνιαζόμενον εἶναι, καὶ τὸν ἀξιοῦντα περὶ αὐτοῦ πατέρα αὐτοῦ, καὶ τί τὸ πίπτειν τὸν πάσχοντα, οὐκ ἀεὶ, ἀλλὰ πολλάκις,[1]) ὁτὲ μὲν εἰς πῦρ, ἐνίοτε δὲ εἰς ὕδωρ, καὶ τί τὸ μὴ δεδυνῆσθαι αὐτὸν ὑπὸ τῶν μαθητῶν θεραπευθῆναι, ἀλλ᾽ ὑπ᾽ αὐτοῦ τοῦ Ἰησοῦ. Καὶ γὰρ εὔλογον, εἴπερ πᾶσα νόσος, καὶ πᾶσα μαλακία, ἃς ἐθεράπευσεν ὁ Σωτὴρ ἡμῶν τότε ἐν τῷ λαῷ, ἀναφέρεται ἐπὶ τὰ ἐν ψυχαῖς διάφορα συμπτώματα, ὡς τοὺς μὲν παρέτους τὴν ψυχὴν, κειμένην[2]) αὐτὴν ἔχοντας ἐπὶ τοῦ σώματος παραλελυμένην, δηλοῦσθαι διὰ τῶν παραλυτικῶν· τοὺς δὲ τυφλώττοντας περὶ τὰ τῇ ψυχῇ μόνῃ θεατὰ, δηλοῦσθαι διὰ τῶν τυφλῶν, καὶ εἶναι τυφλούς· τοὺς δὲ κεκωφωμένους πρὸς παραδοχὴν σωτηρίου λόγου σημαίνεσθαι διὰ τῶν κωφῶν. Ἀνάλογον ἐκείνοις ἐξετασθῆναι δεήσει τὰ περὶ τοῦ σεληνιαζομένου. Ἔστι δὲ τὸ πάθος τοῦτο ἐκ διαλειμμάτων ἀξιολόγων ἐπιτιθέμενον τοῖς πάσχουσιν, ἐν οἷς οὐδὲν διαφέρειν δοκεῖ ὑγιαίνοντος ὁ πεπονθὼς αὐτὸ παρὰ τὸν καιρὸν τοῦ μὴ ἐνεργεῖν αὐτὸν τὴν ἐπίληψιν. Τοιαῦτα δέ τινα εὕροις ἂν περί τινας ψυχὰς συμπτώματα, πολλάκις νομιζομένας ὑγιαίνειν ἐν σωφροσύνῃ καὶ ταῖς ἄλλαις ἀρεταῖς, εἶτ᾽ ἔσθ᾽ ὅτε ὡσπερεὶ ἐπιλη-

---

[1]) Unus (?) Codex habet: πλεονάκις. R.

[2]) Ed. Huetii: καὶ κειμένην — σώματος, παραλελυμένην δηλοῦσθαι κ. τ. λ.

ψίᾳ τινὶ τῇ ἀπὸ τῶν παθῶν λαμβανομένας, καὶ καταπιπτούσας ἀπὸ τοῦ ἑστηκέναι [1]) *δοκεῖν, καὶ σπωμένας περὶ τὴν ἀπάτην τοῦ αἰῶνος τούτου, καὶ τὰς λοιπὰς ἐπιθυμίας. Τάχα οὖν οὐκ ἂν ἁμάρτοις λέγων τοὺς τοιούτους„ ἵν' οὕτως εἴπω, πνευματικῶς σεληνιάζεσθαι, καταβαλλομένους ὑπὸ τῶν ἐν τοῖς ἐπουρανίοις* [2]) *πνευματικῶν τῆς πονηρίας, καὶ κακῶς ἔχειν πολλάκις παρὰ τὸν καιρὸν τῶν ἐπιλαμβανομένων τῆς ψυχῆς αὐτῶν παθῶν· ποτὲ μὲν πίπτοντας εἰς τὸ πῦρ τῶν πυρώσεων, ὅτε γίνονται,* [3]) *κατὰ τὰ λεγόμενα ἐν τῷ Ὠσηὲ, οἱ „μοιχεύοντες* [4]) *ὡς κλίβανος καιόμενος εἰς πέψιν κατακαύματος ἀπὸ τῆς φλογός·" ποτὲ δὲ εἰς ὕδωρ, ὅτε ὁ βασιλεὺς πάντων τῶν ἐν τοῖς ὕδασι δρακόντων καταβάλλει αὐτοὺς ἀπὸ τοῦ ἐλεύθερον δοκεῖν ἀναπνεῖν, ἐπὶ τὸ εἰς βάθη τῶν κυμάτων τῆς θαλάσσης ἥκειν τοῦ τῶν ἀνθρώπων βίου. Συμβαλεῖται δὲ ἡμῖν τῇ τοιαύτῃ περὶ τοῦ σεληνιαζομένου διηγήσει ὁ λέγων ἐν Σοφίᾳ, περὶ μὲν τῆς τοῦ δικαίου ὁμαλότητος· „διήγησις* [5]) *εὐσεβοῦς διὰ παντὸς σοφία·" περὶ δὲ τῶν ἀποδεδομένων· „ὁ δὲ ἄφρων ὡς σελήνη ἀλλοιοῦται." Καὶ ἔστι καὶ ἐν τοῖς τοιούτοις ἰδεῖν ὁρμὰς, συναρπάσαι δυναμένας πρὸς ἔπαινον τοὺς μὴ ἐπιστάντας αὐτῶν τῷ ἀνερματίστῳ* [6]) *ὥστε εἰπεῖν ἂν οἱονεὶ πανσέληνον εἶναι ἐν αὐτοῖς, ἢ παρ' ὀλίγον πανσέληνον. Ἴδοις δ' ἂν πάλιν μειούμενον* [7]) *τὸ δόξαν εἶναι ἐν αὐτοῖς φῶς, οὐχὶ φῶς ἤ-*

---

[1]) Edd. Huetianae: *ἐστηκέναι.*

[2]) Ephes. VI, 12.

[3]) Ed. H. *γίγνονται*, ed. R. *γίνονται.*

[4]) Hos. VII, 4.

[5]) Sap. Sirac. (Ecclesiastic.) XXVII, 11. — H. et R. *διὰ παντὸς*, LXX. viri: *διαπαντός.*

[6]) Ed. Ruaei: *ἀνερματιστῷ.*

[7]) H. et R. in textu: *μιμούμενον;* H. tamen ad oram: „scrib. *μειούμενον.*" Idem in notis: „Cod. Holm. *μιμούμενον;* at Cod. Reg. *μιμουμένων.* Vetus interpres:

μερινὸν τυγχάνον, ἀλλὰ καὶ φῶς νυκτερινὸν, ἐπὶ[1]) *τοσοῦτον λῆγον, ἕως μηδὲ δοκοῦν φῶς εἶναι ἐπιβλεπόμενον ἐν αὐτοῖς γένηται. Εἰ δὲ οἱ πρῶτοι θέμενοι τὰ ὀνόματα τοῖς πράγμασι διὰ τοιοῦτόν τι ὠνόμασαν τὸ τῆς ἐπιληψίας πάθος σεληνιασμὸν, ἢ μὴ, καὶ αὐτὸς ἐπιστήσεις.*

5. *Πατὴρ δὲ τοῦ σεληνιαζομένου τάχα ὁ λαχὼν αὐτὸν ἄγγελος, — εἴτε πᾶσαν λεκτέον ἀνθρωπίνην ψυχὴν ὑπό τινι τετάχθαι ἀγγέλῳ —, ἀξιῶν ὡς περὶ υἱοῦ τὸν ἰατρὸν τῶν ψυχῶν, ἵνα αὐτὸν ῥύσηται, μὴ δυνηθέντα ἀπὸ τοῦ ὑποδεεστέρου*[2]) *λόγου, τοῦ ἐν τοῖς μαθηταῖς, θεραπευθῆναι ἀπὸ τοῦ πάθους. Πνεῦμα δὲ ἄλαλον καὶ κωφὸν, τροπολογητέον τὰς ἀλόγους καὶ πρὸς τὸ δοκοῦν καλὸν ὁρμὰς, ὑπὸ τοῦ Λόγου ἐκβαλλόμενον, ἵνα ἃ τέως τις ἐποίει ἀλόγῳ φορᾷ, νομιζόμενα ὑπὸ τῶν βλεπόντων καλὰ, μηκέτι μὲν πράττῃ ἀλόγως, κατὰ δὲ τὸν λόγον τῆς τοῦ Ἰησοῦ διδασκαλίας. Ἐκ τούτου καὶ ὁ Παῦλος ὡρμημένος εἶπεν· „ἐὰν*[3]) *ἔχω*[4]) *πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν·“ οὐ γὰρ ἓν μόνον ὄρος, ἀλλὰ καὶ τὰ ἀνάλογον αὐτῷ*[5]) *πλείονα μεθίστησιν ὁ ἔχων πᾶσαν*[6]) *τὴν πίστιν, ἥτις ἐστὶν ὡς κόκκος σινάπεως· ἐπεὶ ἐξουθενεῖται μὲν ἡ πίστις ὑπὸ*

---

vides autem eos minui iterum, etc., lege *μειούμενον.*“ R. in notis: „ „Codd. Anglican., Vatican. et Tarinianus: *μιμούμενον.* At Cod. Reg. etc.“ “

[1]) H. ad marg., R. in notis: „Cod. Reg.: *καὶ ἐπί κτλ.*

[2]) Ed. Coloniensis: *ἀποδεεστέρου.*

[3]) I Cor. XIII, 2. Ed. Knapp. *καὶ ἐὰν ἔχω — μεθιστάνειν*, ed. Lachm. *κἂν ἔχω — μεθιστάναι.* Cfr. ed. nostrae Tom. II. p. 424. not. 4.

[4]) H. et R. *ἔαν ἔχω πίστιν πᾶσαν, ὥστε κ. τ. λ.*

[5]) Ed. Coloniensis *αὐτοῦ.*

[6]) H. et R. h. l., cfr. pag. huj. not. 3. et 4., *πᾶσαν τὴν πίστιν.* — Matth. XVII, 20. coll. XIII, 31.

τῶν ἀνθρώπων, καὶ βραχύτατόν[1]) *τι καὶ εὐτελὲς εἶναι φαίνεται· τυχοῦσα δὲ γῆς ἀγαθῆς, τουτέστι ψυχῆς, τὸ τοιοῦτον σπέρμα παραδέξασθαι καλῶς δυναμένης, γίνεται δένδρον μέγα, ὥστε οὐδὲν μὲν τῶν ἀπτέρων, τὰ δὲ ἐπτερωμένα πνευματικῶς πετεινὰ τοῦ οὐρανοῦ κατασκηνοῦν δύνασθαι ἐν τοῖς κλάδοις τῆς*[2]) *τοιαύτης πίστεως.*

6. *Ἤδη οὖν παραστῶμεν καὶ τῇ λέξει, καὶ ζητήσωμεν πρότερον, πῶς σεληνιάζεσθαι λέγεται ὁ ὑπό τινος πνεύματος ἀκαθάρτου, καὶ κωφοῦ, καὶ ἀλάλου σκοτούμενος, καὶ καταβαλλόμενος, καὶ διὰ τί παρώνυμόν ἐστι τὸ σεληνιάζεσθαι ἀπὸ τοῦ μεγάλου ἐν οὐρανῷ καὶ δευτέρου μετὰ τὸν ἥλιον φωστῆρος, ὃν ἔταξεν ὁ Θεὸς „εἰς ἀρχὰς*[3]) *τῆς νυκτός.“ Ἰατροὶ μὲν οὖν φυσιολογείτωσαν, ἅτε μηδὲ ἀκάθαρτον πνεῦμα εἶναι νομίζοντες κατὰ τὸν τόπον, ἀλλὰ σωματικὸν σύμπτωμα, καὶ φυσιολογοῦντες τὰ ὑγρὰ λεγέτωσαν κινεῖσθαι τὰ ἐν τῇ κεφαλῇ, κατά τινα συμπάθειαν τὴν πρὸς τὸ σεληνιακὸν φῶς, ὑγρὰν ἔχον φύσιν· ἡμεῖς δὲ οἱ καὶ τῷ εὐαγγελίῳ πιστεύοντες, ὅτι τὸ νόσημα τοῦτο ἀπὸ πνεύματος ἀκαθάρτου, ἀλάλου, καὶ κωφοῦ ἐν τοῖς πάσχουσιν αὐτὸ θεωρεῖται ἐνεργούμενον, ὁρῶντες δὲ, ὅτι καὶ οἱ εἰθισμένοι παραπλησίως τοῖς ἐπαοιδοῖς τῶν Αἰγυπτίων ἐπαγγέλλεσθαι τὴν κατὰ τοὺς τοιούτους θεραπείαν, δοκοῦσί ποτε ἐπιτυγχάνειν ἐν αὐτοῖς, φήσομεν, ὅτι μήποτε, — ὑπὲρ τοῦ διαβάλλειν τὰ κτίσματα τοῦ Θεοῦ, ἵνα καὶ ἀδικία*[4]) *εἰς τὸ ὕψος λαληθῇ, καὶ θῶνται εἰς*

---

[1]) H. et R. in textu: *βραχύτατόν τε καί κ. τ. λ.*, H. tamen ad marg., R. in notis: „forte legendum: *βραχύτατόν τι καί κ. τ. λ.*“

[2]) *τῆς τοιαύτης.* Sic recte habet Cod. Tarinianus (item H. ad oram), alii vero (itemq. H. in textu) *τοῖς τοιαύτης.* R.

[3]) Genes. I, 16.

[4]) Psalm. LXXIII, 8. 9. (LXXII.)

οὐρανὸν τὸ στόμα αὐτῶν —, τὸ ἀκάθαρτον τοῦτο πνεῦμα ἐπιτηρεῖ τινας σχηματισμοὺς τῆς σηλήνης, καὶ οὕτως ἐνεργεῖ, ἵν' ἐκ τῆς τηρήσεως τοῦ κατὰ τὸν τοιόνδε τῆς σελήνης σχηματισμὸν πάσχειν τοὺς ἀνθρώπους, τὴν αἰτίαν δόξῃ τοῦ τηλικούτου κακοῦ μὴ τὸ ἄλαλον καὶ κωφὸν λαμβάνειν δαιμόνιον, ἀλλὰ ὁ[1]) μέγας ἐν οὐρανῷ φωστὴρ, ὁ τεταγμένος „εἰς ἀρχὰς[2]) τῆς νυκτὸς,“ καὶ μηδεμίαν ἔχων ἀρχὴν τῆς τοιαύτης ἐν ἀνθρώποις νόσου. Καὶ ἀδικίαν[3]) γε εἰς τὸ ὕψος λαλοῦσι πάντες ὅσοι παρὰ τὴν τῶν ἄστρων σχέσιν φασὶν εἶναι τὴν αἰτίαν πάντων τῶν ἐπὶ γῆς, εἴτε καθολικῶν, εἴτε καὶ τῶν καθ' ἕκαστον συμπτωμάτων· καὶ οἱ τοιοῦτοί γε ἀληθῶς „ἔθεντο[4]) εἰς οὐρανὸν τὸ στόμα αὐτῶν,“ κακοποιούς τινας λέγοντες εἶναι τῶν ἀστέρων, καὶ ἄλλους ἀγαθοποιοὺς, οὐδενὸς ἄστρου γενομένου ὑπὸ τοῦ Θεοῦ τῶν ὅλων ἵνα κακοποιῇ, κατά γε τὸν Ἱερεμίαν, ὡς ἐν Θρήνοις γέγραπται· „ἐκ στόματος[5]) κυρίου ἐξελεύσεται τὰ καλὰ καὶ τὸ ἀγαθόν.“ Εἰκὸς δὲ, ὅτι ὥσπερ τοῦτο τὸ ἐνεργοῦν τὸν καλούμενον σεληνιασμὸν πνεῦμα ἀκάθαρτον ἐπιτηρεῖ τοὺς τῆς σελήνης σχηματισμοὺς, ἵνα ἐνεργήσῃ εἰς τὸν διά τινας αἰτίας παραδιδόμενον αὐτῷ, καὶ μὴ ποιήσαντα ἑαυτὸν ἄξιον φρουρᾶς ἀγγελικῆς, οὕτως καὶ ἄλλα πνεύματα καὶ δαιμόνια πρός τινας σχηματισμοὺς τῶν ἄλλων ἀστέρων, ἵνα μὴ μόνον σελήνη, ἀλλὰ καὶ οἱ λοιποὶ λοιδορηθῶσιν ἀστέρες ὑπὸ τῶν ἀδικίαν[6]) εἰς τὸ ὕψος λαλούντων. Ἔστι γοῦν ἀκοῦσαι τῶν γενεθλιαλόγων, τὴν αἰτίαν πάσης μανίας καὶ παντὸς δαι-

---

[1]) Desideratur ὁ in ed. Ruaei.

[2]) Genes. I, 16.

[3]) Psalm. LXXIII, 8. (LXXII.)

[4]) Psalm. LXXIII, 9. (LXXII.)

[5]) Thren. III, 38. LXX. interpretes: ἐκ στόματος ὑψίστου οὐκ ἐξελεύσεται τὰ κακὰ καὶ τὸ ἀγαθόν.

[6]) Psalm. LXXIII, 8. (LXXII.)

μονιασμοῦ ἀναφερόντων ἐπὶ τοὺς τῆς σελήνης σχηματισμούς. Ὅτι μὲν οὖν οἱ τὸν καλούμενον σεληνιασμὸν πάσχοντες ἐνίοτε εἰς τὸ ὕδωρ πίπτουσι, δῆλόν ἐστιν· ὅτι δὲ καὶ εἰς τὸ πῦρ, σπανιώτερον μὲν, πλὴν καὶ αὐτὸ συμβαῖνόν ἐστι, καὶ ὅτι δυσίατόν ἐστι τὸ νόσημα τοῦτο, ὡς καὶ τοὺς ἔχοντας χάριν θεραπεύειν δαιμονῶντας ὁτὲ[1]) μὲν[2]) ἀπαυδᾶν πρὸς τοῦτο, ὁτὲ δὲ μετὰ νηστειῶν καὶ προσευχῶν καὶ πλειόνων καμάτων ἐπιτυγχάνειν. Ζητήσεις δὲ, εἰ ὥσπερ ἐν τοῖς ἀνθρώποις, οὕτω καὶ ἐν τοῖς πνεύμασι τοιαῦτα συμπτώματα· ὥς τινα μὲν αὐτῶν λαλεῖν, τινὰ δὲ ἄλαλα εἶναι, καί τινα μὲν ἀκούειν, ἕτερα δὲ κεκωφῶσθαι· εὑρεθήσεται γὰρ ὥσπερ ἐν αὐτοῖς ἡ αἰτία τοῦ εἶναι ἀκάθαρτα, οὕτως καὶ διὰ τὸ αὐτεξούσιον αὐτῶν καταδεδικάσθαι αὐτὰ τὸ εἶναι ἄλαλα καὶ κωφά· καὶ γὰρ ἀνθρώπων τινὲς μὲν τοιαύτην καταδίκην πείσονται, εἴγε ἡ τοῦ προφήτου εὐχὴ ὡς πνεύματι ἁγίῳ εἰρημένη ἐπακουσθήσεται, ἐν ᾗ λέλεκται ἐπί τινων ἁμαρτωλῶν· „ἄλαλα[3]) γενηθήτω τὰ χείλη τὰ δόλια.“ Οὕτω δὲ τάχα καὶ οἱ κακῶς χρησάμενοι ταῖς ἀκοαῖς, καὶ παραδεξάμενοι ἀκοὴν ματαίαν,[4]) κωφωθήσονται ὑπὸ τοῦ εἰπόντος· „τίς[5]) ἐποίησε δύσκωφον καὶ κωφόν;“ ἵνα μὴ πλεῖον παραδέχωνται ἀκοὴν ματαίαν.

7. Ἐπεὶ δὲ εἶπεν ὁ Σωτήρ· „ὦ γενεὰ[6]) ἄπιστε, καὶ διεστραμμένη·“ ἐμφαίνει, ὅτι ἐκ διαστροφῆς ἡ κακία παρεισελήλυθε, παρὰ φύσιν γενομένη, καὶ διαστρόφους ἡμᾶς πεποιηκυῖα. Ὅλον δὲ, οἶμαι, τὸ τῶν ἐπὶ

---

[1]) Sic habent omnes Mss., male autem ed. Huetii: ἅτε μέν. R.

[2]) H. ἅτε μέν et ὅτε δέ, R. ὅτε μέν atque ὅτε δέ.

[3]) Psalm. XXXI, 18. (XXX.)

[4]) H. et R. h. l. et paulo infra: μάταιαν.

[5]) Exod. IV, 11.

[6]) Matth. XVII, 17. Edd. N. T. ἄπιστος.

γῆς ἀνθρώπων γένος διὰ τὴν κακίαν βαρούμενος, καὶ τὴν μετ' αὐτῶν διατριβὴν, ὁ Σωτὴρ εἶπε τό· „ἕως[1]) *πότε μεθ' ὑμῶν ἔσομαι;“ Προείπομεν οὖν ἀπὸ μέρους εἰς τό· „ἐὰν ἔχητε*[2]) *πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ,“ καὶ τὰ ἑξῆς· οὐδὲν δ' ἧττον κατὰ τὸ φαινόμενον ἡμῖν τρανότερον καὶ ταῦτα εἰς τὸν τόπον λελέξεται. Ὄρη ἐν τούτοις οἶμαι λέγεσθαι τὰς ἐν κακίᾳ κεχυμένῃ καὶ μεγάλῃ γεγενημένας ἀντικειμένας δυνάμεις, αἵτινες ὡσπερεὶ ἐρηρεισμέναι εἰσὶν ἔν τισιν ἀνθρώπων ψυχαῖς. Ἐπὰν οὖν ἔχῃ τις τὴν πᾶσαν πίστιν, ὥστε μηκέτι περί τινων ἐν τοῖς ἱεροῖς γράμμασι κειμένων ἀπιστεῖν, καὶ τοιαύτην αὐτὴν ἔχῃ, ὁποία ἦν ἡ πίστις τοῦ Ἀβραὰμ, πιστεύοντος τῷ Θεῷ ἐπὶ τοσοῦτον, ὡς*[3]) *λογισθῆναι τὴν πίστιν αὐτοῦ εἰς δικαιοσύνην, ἔχει τὴν πᾶσαν πίστιν ὡς κόκκον σινάπεως· εἶθ' ὁ τοιοῦτος ἐρεῖ τῷ ὄρει τούτῳ· — δείκνυμι δὲ τὸ ἄλαλον καὶ κωφὸν ἐν τῷ λεγομένῳ σεληνιάζεσθαι πνεῦμα· — „μετάβα*[4]) *ἔνθεν·“ — δηλονότι ἀπὸ τοῦ πάσχοντος ἀνθρώπου ἐπὶ τάχα τὴν ἄβυσσον· — „καὶ μεταβήσεται.“ Ὁ δὲ Ἀπόστολος ἐντεῦθεν, οἶμαι, τὴν ἀφορμὴν λαβὼν μετὰ ἀποστολικῆς εἶπεν ἐξουσίας τό· „καὶ*[5]) *ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν·“ οὐ γὰρ ἓν μόνον ὄρος, ἀλλὰ καὶ*[6]) *τὰ ἀνάλογον αὐτῷ*[7]) *πλείονα μεθίστησιν ὁ*

---

[1]) Matth. XVII, 17. Edd. Knapp. *ἔσομαι μεθ' ὑμῶν.*

[2]) Ibid. XVII, 20.

[3]) H. ad marginem: „Cod. Regius,“ R. in notis: „„Codd. Reg. et Vaticanus: *ὥστε λογισθῆναι αὐτῷ εἰς δικαιοσύνην.*“ “ Cfr. Genes. XV, 6. coll. ep. ad Rom. IV, 3.

[4]) Matth. XVII, 20. Ed. Knapp. *μετάβηθι ἐντεῦθεν ἐκεῖ,* ed. Lachm. *μετάβα ἔνθεν ἐκεῖ.*

[5]) I Cor. XIII, 2. H. et R. h. l., cfr. p. 219. not. 3. coll. not. 4. et 6., ut nos in textu.

[6]) Cod. Vaticanus: *κατὰ ἀνάλογον.*

[7]) H. et R. h. l., cfr. pag. 219. not. 5., recte *αὐτῷ.*

ἔχων πᾶσαν τὴν πίστιν, ἥτις ἐστὶν ὡς κόκκος σινάπεως· καὶ οὐδέν γε τούτῳ τῷ ἐπὶ τοσοῦτον πιστεύοντι ἔσται ἀδύνατον. Προσχῶμεν δὲ καὶ τῷ· „τοῦτο[1]) *τὸ γένος οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ·" ἵν' εἴ ποτε δέοι περὶ θεραπείαν ἀσχολεῖσθαι ἡμᾶς τοιοῦτόν τι πεπονθότος τινὸς, μὴ ὁρκίζωμεν, μηδὲ ἐπερωτῶμεν, μηδὲ λαλῶμεν ὡς ἀκούοντι τῷ ἀκαθάρτῳ πνεύματι, ἀλλὰ σχολάζοντες προσευχῇ καὶ νηστείᾳ ἐπιτύχωμεν προσευχόμενοι περὶ τοῦ πεπονθότος, καὶ τῇ ἑαυτῶν νηστείᾳ ἀπώσωμεν ἀπ' αὐτοῦ τὸ ἀκάθαρτον πνεῦμα.*

8. *„Στρεφομένων*[2]) *δὲ αὐτῶν ἐν τῇ*[3]) *Γαλιλαίᾳ, εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων." Καὶ δόξει γε ἐκείνοις ταῦτα ἰσοδυναμεῖν, ὅτι „ἤρξατο*[4]) *δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ,*[5]) *ὅτι δεῖ αὐτὸν εἰς Ἱεροσόλυμα ἀπελθεῖν, καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων, καὶ ἀρχιερέων, καὶ*[6]) *γραμματέων." Τὸ δὲ οὐχ οὕτως ἔχει· οὐ γὰρ ταὐτόν ἐστι τὸ ὑποδείκνυσθαι „τοῖς μαθηταῖς, ὅτι δεῖ αὐτὸν εἰς Ἱεροσόλυμα ἀπελθεῖν, καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων, καὶ ἀρχιερέων, καὶ*[7]) *γραμματέων," καὶ μετὰ τὸ παθεῖν „ἀποκτανθῆναι," καὶ*

---

[1]) Matth. XVII, 21. Edd. N. T. *τοῦτο δὲ τὸ γένος κτλ.*

[2]) Ibid. XVII, 22. Ed. Knapp. *ἀναστρεφομένων δὲ αὐτῶν ἐν τῇ Γαλιλαίᾳ*, ed. Lachm. *συστρεφομένων δὲ αὐτῶν ἐν τῇ Γαλιλαίᾳ.*

[3]) Ed. Huetii: *εἰς τὴν Γαλ.*, ed. R. *εἰς Γαλιλαίαν.* Cfr. pag. huj. not. 2. coll. pag. 225. not. 1.

[4]) Matth. XVI, 21. coll. pag. 161. not. 4., pag. 162. not. 5., pag. 164. not. 2. et 3.

[5]) Deest h. l., cfr. pag. huj. not. 4., *αὐτοῦ* in edd. H. et R.

[6]) Desunt h. l., cfr. pag. huj. not. 7. coll. pag. 165. not. 4., verba: *καὶ γραμματέων*, in edd. H. et R.

[7]) Cfr. pag. huj. not. 6. coll. Matth. XVI, 21. et pag. huj. not. 4. et 5.

μετὰ τὸ ἀποκτανθῆναι „τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι," τῷ λελέχθαι αὐτοῖς οὖσιν[1]) ἐν τῇ Γαλιλαίᾳ, — ὅπερ ἀνωτέρω οὐ μεμαθήκαμεν —, ὡς ἄρα μέλλοι „ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι·" τὸ γὰρ παραδίδοσθαι ἀνωτέρω[2]) μὲν οὐκ εἴρηται, νῦν δὲ καὶ ὅτι „εἰς χεῖρας ἀνθρώπων." Ἐφ' ἃ ζητήσωμεν, ὑπὸ τίνος μέλλει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων, ἢ τίνων· Ἐκεῖ μὲν γὰρ ὑφ' ὧν πείσεται διδασκόμεθα, καὶ ἐν ᾧ τόπῳ πείσεται· ἐνταῦθα δὲ ἐπ' ἐκείνοις μανθάνομεν, ὅτι τὸ πολλὰ παθεῖν αὐτὸν ὑπὸ τῶν προειρημένων συμβαίνει, οὐκ ἐκείνων πρώτων αἰτίων γινομένων τοῦ πολλὰ αὐτὸν παθεῖν, ἀλλὰ τοῦ παραδιδόντος ἢ τῶν παραδιδόντων αὐτὸν εἰς χεῖρας ἀνθρώπων. Ὁ μὲν οὖν φήσει, ὅτι τοῦτο διηγούμενος ὁ Ἀπόστολός φησι περὶ τοῦ Θεοῦ· „ὅς γε[3]) τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν·" ἔδωκε δὲ καὶ ὁ υἱὸς ὑπὲρ ἡμῶν ἑαυτὸν εἰς θάνατον, ὥστε οὐ μόνον ὑπὸ τοῦ πατρὸς, ἀλλὰ καὶ ὑφ' ἑαυτοῦ παρεδόθη. Ἕτερος δὲ οὐ μόνον ἐκεῖνο, ἀλλὰ καὶ τὰ ἐκκείμενα ἐπὶ τὸ αὐτὸ συναγαγὼν φήσει, παραδεδόσθαι πρῶτον ὑπὸ τοῦ Θεοῦ τὸν υἱὸν, εἶτα πειραθησόμενον, εἶτα ἀγωνιούμενον, εἶτα ὑπὲρ ἀνθρώπων πεισόμενον, ἢ καὶ ὅλου τοῦ κόσμου, ἵνα αὐτοῦ ἄρῃ[4]) τὴν ἁμαρτίαν, τῷ ἄρχοντι τοῦ αἰῶνος τούτου, καὶ τοῖς ἄλλοις ἄρχουσιν αὐτοῦ, εἶτα ὑπὸ τούτων εἰς χεῖρας ἀνθρώπων αὐτὸν παραδίδοσθαι τῶν ἀποκτενούντων αὐτόν. Παράδειγμα δὲ παραληφθήσεται τὰ τοῦ Ἰώβ· „ἰδοὺ, πάντα[5]) ὅσα ἐστὶν αὐτῷ δίδωμι ἐν τῇ

[1]) Cfr. pag. 224. not. 2. et 3. coll. Matth. XVII, 22.

[2]) ἀνωτέρω μὲν οὐκ εἴρηται. Ita Cod. Reg., at Cod. Holm. οὐκ praetermittit; sed perperam, supra enim traditionis illius mentio nulla facta est. Huet. — Cfr. Matth. XVII, 22.

[3]) Rom. VIII, 32.

[4]) Ev. Joann. I, 29.

[5]) Job. I, 12. LXX. interpretes: ἀλλ' αὐτοῦ κ.τ.λ.

χειρί σου, ἀλλὰ αὐτοῦ μὴ ἅψῃ·“ εἶτα ὡσπερεὶ παραδοθέντος ὑπὸ τοῦ διαβόλου τοῖς ἄρχουσιν αὐτοῦ, τοῖς[1]) *αἰχμαλωτεύουσι, τοῖς ἱππεῦσι, τῷ καταβαίνοντι ὡς ἐξ οὐρανοῦ πυρὶ, τῷ ἐκ τῆς ἐρημίας ἐλθόντι μεγάλῳ πνεύματι, καὶ τὴν οἰκίαν χαλάσαντι. Ἐπιστήσεις δὲ, εἰ ὥσπερ τοῖς αἰχμαλωτεύουσι παραδέδωκε τὰ τοῦ Ἰὼβ, καὶ τοῖς ἱππεῦσιν, οὕτως καί τινι ἐνεργείᾳ ὑπὸ „τὸν ἄρχοντα*[2]) *τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ ἐνεργοῦντος νῦν ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας,“ ἵνα τὸ ἐκεῖθεν καταβαῖνον πῦρ ἐπὶ τὰ πρόβατα τοῦ Ἰὼβ, ἐξ οὐρανοῦ ὀφθῇ καταβαῖνον τῷ ἀπαγγέλλοντι τῷ Ἰὼβ, ὅτι „πῦρ*[3]) *ἔπεσεν ἐκ τοῦ οὐρανοῦ, καὶ κατέκαυσε τὰ πρόβατα αὐτοῦ, καὶ τοὺς ποιμένας κατέφαγεν ὁμοίως.“ Παραπλησίως δὲ τούτοις ζητήσεις, εἰ καὶ τὸ ἐξαίφνης*[4]) *μέγα πνεῦμα ἀπὸ τῆς ἐρήμου ἐλθὸν, καὶ ἁψάμενον τῶν τεσσάρων γωνιῶν*[5]) *τῆς οἰκίας, ἕν τι τῶν ὑπὸ τῶν διαβόλων ἦν, ᾧ παρέδωκεν ὁ διάβολος τὸ τῶν υἱῶν καὶ τῶν θυγατέρων τοῦ Ἰὼβ*[6]) *συμπόσιον, ἵνα συμπέσῃ ἡ οἰκία ἐπὶ τὰ παιδία τοῦ δικαίου, καὶ τελευτήσωσιν. Ἔστω οὖν, ὡς ἐπὶ τοῦ Ἰὼβ, πρῶτον παραδιδοὺς ὁ πατὴρ τὸν υἱὸν ταῖς ἀντικειμέναις ἐνεργείαις, εἶτ᾽ αὐταὶ*[7]) *παραδιδότωσαν αὐτὸν εἰς χεῖρας ἀνθρώπων, ἐν οἷς ἀνθρώποις καὶ Ἰούδας ἦν, εἰς ὃν μετὰ τὸ ψωμίον*[8]) *εἰσῆλθεν ὁ σατανᾶς, ἀρχικώτερον τοῦ Ἰούδα παραδιδοὺς αὐτόν. Ἀλλ᾽ ὅρα, μήποτε τὸ παραδίδοσθαι ταῖς ἀντι-*

---

1) Job. I, 15—19.

2) Ephes. II, 2. Edd. N. T. *τοῦ νῦν ἐνεργοῦντος ἐν κ. τ. λ.*

3) Job. I, 16.

4) Job. I, 19.

5) H. et R. *γονιῶν.*

6) *τοῦ Ἰώβ.* Cod. Regius: *αὐτοῦ.* R.

7) Cod. Anglicanus: *εἶθ᾽ αὗται.* R.

8) Ev. Joann. XIII, 27.

κειμένας ἐνεργείας ὑπὸ τοῦ πατρὸς τὸν υἱὸν συνεξετάζων τῷ παραδίδοσθαι ὑπ' ἐκείνων εἰς χεῖρας ἀνθρώπων τὸν Σωτῆρα, νομίσῃς ἴσον εἶναι τὸ ἐπ' ἀμφοτέρων λεγόμενον παραδίδοσθαι. Κατανόει γὰρ, ὅτι ὁ μὲν πατὴρ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν ἀπὸ φιλανθρωπίας· αἱ δὲ ἀντικείμεναι δυνάμεις, παραδοῦσαι τὸν Σωτῆρα εἰς χεῖρας ἀνθρώπων, οὐκ ἐσκόπουν τὸ ὑπέρ τινων σωτηρίας παραδιδόναι αὐτὸν, ἀλλὰ τὸ ὅσον ἐπ' αὐταῖς, ἐπεὶ οὐδεὶς αὐτῶν ἐγίνωσκε τὴν τοῦ Θεοῦ σοφίαν[1]) τὴν ἐν μυστηρίῳ ἀποκεκρυμμένην, παρεδίδουν αὐτὸν ἀποθανούμενον, ἵνα ὁ ἐχθρὸς[2]) αὐτοῦ θάνατος ὑποχείριον αὐτὸν λάβῃ, ὁμοίως τοῖς ἐν τῷ Ἀδὰμ ἀποθνήσκουσι· καὶ ἀποκτείναντες δὲ αὐτὸν ἄνθρωποι, θελήματι τυπούμενοι τῶν βουλομένων τὸν Ἰησοῦν ὑποχείριον γενέσθαι θανάτῳ τοῦτο ἐποιοῦν. Οἶμαι δὲ ἀναγκαίως ἐξητᾶσθαι καὶ ταῦτα, διὰ τὸ τὸν παραδιδόμενον εἰς χεῖρας ἀνθρώπων Ἰησοῦν, μὴ ὑπὸ ἀνθρώπων εἰς χεῖρας ἀνθρώπων παραδίδοσθαι, ἀλλὰ ὑπὸ δυνάμεων, αἷς ὑπὲρ ἡμῶν πάντων παρέδωκεν ὁ πατὴρ τὸν υἱὸν, ἐν αὐτῷ τῷ παραδεδόσθαι, καὶ γίνεσθαι ὑπὸ τοὺς οἷς παρεδόθη, καταλύοντα τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου· „διὰ[3]) γὰρ τοῦ θανάτου κατήργησε τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστιν τὸν διάβολον, καὶ ἀπήλλαξε τούτους ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας."

9. Κράτος δὲ θανάτου νομιστέον ἔχειν τὸν διάβολον, οὐ[4]) τοῦ μέσου καὶ ἀδιαφόρου, καθ' ὃν ἀποθνήσκουσιν οἱ σύνθετοι ἐκ ψυχῆς καὶ σώματος, χωριζομένης αὐτῶν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, ἀλλὰ τοῦ ἐναν-

---

[1]) I Cor. II, 7. 8.

[2]) I Cor. XV, 26. — 22.

[3]) Hebr. II, 14. 15. coll. edd. N. T.

[4]) H. et R. in textu: οὐ τοῦ μέσου καὶ διαφόρου; H. in notis: „ita Codd. Holm. et Reg. Lege ἀδιαφόρου."

τίου καὶ ἐχθροῦ τοῦ εἰπόντος· „ἐγώ εἰμι[1]) ἡ ζωή·“ καθ᾽ ὃν „ψυχὴ[2]) ἡ ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται.“ Ἐμφαίνει δὲ, ὅτι οὐχ ὁ Θεὸς εἰς χεῖρας ἀνθρώπων παρέδωκεν αὐτὸν, ὁ Σωτὴρ λέγων· „εἰ[3]) ἦν ἐκ τοῦ κόσμου τούτου ἡ βασιλεία ἡ ἐμὴ, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο, ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις.“ Παραδιδόμενος γὰρ Ἰουδαίοις, εἰς χεῖρας ἀνθρώπων παρεδόθη, οὐχ ὑπὸ τῶν ἰδίων ὑπηρετῶν, ἀλλ᾽ ὑπὸ τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου, εἰπόντος περὶ τῶν ἐν ἀοράτοις δυνάμεων, κατὰ ἀνθρώπων ἱσταμένων βασιλειῶν· „ταῦτά[4]) σοι πάντα δώσω, ἐὰν πεσὼν προσκυνήσεις μοι.“ Διὸ καὶ περὶ ἐκείνων λελέχθαι νομιστέον τό· „παρέστησαν[5]) οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου, καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ.“ Κἀκεῖνοι μὲν οἱ βασιλεῖς, καὶ οἱ ἄρχοντες, παρέστησαν καὶ συνήχθησαν κατὰ τοῦ κυρίου, καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ· ἡμεῖς δὲ, ἐκ τοῦ παραδεδόσθαι αὐτὸν ὑπ᾽ ἐκείνων εἰς χεῖρας ἀνθρώπων καὶ ἀπεκτάνθαι ὠφεληθέντες, φαμὲν τό· „διαῤῥήξωμεν[6]) τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ᾽ ἡμῶν τὸν ζυγὸν αὐτῶν.“ Ὅτε γὰρ σύμμορφοι γινόμεθα τῷ θανάτῳ τοῦ Χριστοῦ, οὐκέτι ἐσμὲν ὑπὸ τοὺς δεσμοὺς τῶν, ὡς ἀποδεδώκαμεν, βασιλέων τῆς γῆς, οὐδ᾽ ὑπὸ τὸν ζυγὸν[7]) τῶν κατὰ τοῦ κυρίου συναχθέντων ἀρχόντων τοῦ

---

1) Ev. Joann. XI, 25. et XV, 6.

2) Ezech. XVIII, 4.

3) Ev. Joann. XVIII, 36. Edd. N. T. εἰ ἐκ τ. κόσμ. τούτ. ἦν ἡ βασιλεία κ. τ. λ.

4) Matth. IV, 9. Edd. N. T. ταῦτα πάντα σοι δώσω, et προσκυνήσῃς μοι.

5) Psalm. II, 2. LXX. interpretes: ἐπιτοαυτό.

6) Psalm. II, 3.

7) H. et R. h. l., cfr. pag. huj. not. 6., min. recte: τὸν ζύγον.

αἰῶνος τούτου. Καὶ διὰ τοῦτο ὁ πατὴρ „τοῦ ἰδίου[1]) υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν,“ ἵν' οἱ παραλαβόντες αὐτὸν, καὶ παραδόντες αὐτὸν εἰς χεῖρας ἀνθρώπων, ὑπὸ τοῦ κατοικήσαντος ἐν τοῖς οὐρανοῖς ἐγγελασθῶσι, καὶ ὑπὸ τοῦ κυρίου ἐκμυκτηρισθῶσιν, εἰς κατάλυσιν τῆς ἰδίας βασιλείας καὶ ἀρχῆς παρὰ προσδοκίαν παραλαβόντες ἀπὸ τοῦ πατρὸς τὸν υἱὸν, ὅστις τῇ τρίτῃ ἡμέρᾳ ἠγέρθη, τῷ τὸν ἐχθρὸν αὐτοῦ θάνατον κατηργηκέναι, καὶ ἡμᾶς πεποιηκέναι συμμόρφους, οὐ μόνον τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως, δι' ὃν ἐν καινότητι[2]) ζωῆς περιπατοῦμεν, οὐκέτι καθεζόμενοι ἐν χώρᾳ[3]) καὶ σκιᾷ θανάτου, διὰ τὸ ἀνατεῖλαν ἐφ' ἡμᾶς φῶς τοῦ Θεοῦ. Εἰπόντος δὲ τοῦ Σωτῆρος τό· „μέλλει[4]) ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτὸν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται·“ σφόδρα ἐλυπήθησαν, τῷ μὲν παραδίδοσθαι μέλλειν αὐτὸν εἰς χεῖρας ἀνθρώπων, καὶ τῷ ἀποκτίννυσθαι αὐτὸν, ὡς σκυθρωποῖς καὶ ἀξίοις λύπης ἐπιστήσαντες· μὴ προσχόντες δὲ τῷ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεσθαι αὐτὸν, δεηθέντα οὐδὲ χρόνου πλείονος, ἵνα „διὰ[5]) τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου.“

Περὶ τῶν αἰτούντων τὰ[6]) δίδραχμα.

10. *„Ἐλθόντων[7]) δὲ εἰς Καπερναοὺμ, προσῆλθον*

---

[1]) Rom. VIII, 32.

[2]) Rom. VI, 4.

[3]) Matth. IV, 16.

[4]) Ibid. XVII, 22. 23. Ed. Knapp. *ἐγερθήσεται* pro *ἀναστήσεται.*

[5]) Hebr. II, 14.

[6]) In Codd. Anglicano et Tariniano scriptum est: *τὰ δίδραγμα.*

[7]) Matth. XVII, 24. Ed. Knapp. *ἐλθόντ. δὲ αὐτῶν*

οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ.“ Εἰσί τινες βασιλεῖς τῆς γῆς, καὶ τούτων υἱοὶ, μὴ διδόντες τέλη ἢ κῆνσους, καὶ ἕτεροι παρὰ τοὺς υἱοὺς αὐτῶν, ἀλλότριοι τῶν βασιλέων τῆς γῆς, ἀφ' ὧν λαμβάνουσιν οἱ βασιλεῖς τῆς γῆς τέλη ἢ κῆνσον. Καί εἰσιν οἱ μὲν υἱοὶ αὐτῶν ἐλεύθεροι παρὰ τοῖς βασιλεῦσι τῆς γῆς ὡς παρὰ πατράσιν· οἱ δὲ ἀλλότριοι αὐτῶν, ὡς μὲν πρὸς τὰ ἔξω γῆς ἐλεύθεροι, ὡς δὲ κατὰ τοὺς δυναστεύοντας αὐτῶν, καὶ καταδουλουμένους, — ὡς κατεδυνάστευον [1]) οἱ Αἰγύπτιοι τοὺς υἱοὺς Ἰσραὴλ, καὶ κατωδύνων αὐτῶν τὴν ζωὴν, καὶ κατεδουλοῦντο αὐτοὺς μετὰ βίας —, δοῦλοι· δι' οὓς δουλεύοντας ἀνάλογον τῇ δουλείᾳ τῶν Ἑβραίων μόνον μορφὴν [2]) τοῦ δούλου ἀνείληφεν ὁ υἱὸς τοῦ Θεοῦ, οὐδὲν ἔργον ποιῶν πήλινον καὶ δοῦλον. Ὡς οὖν ἔχων τὴν τοῦ δούλου ἐκείνου μορφὴν, τέλος καὶ [3]) κῆνσον δίδωσιν, οὐχ ἕτερον παρὰ τὸν διδόμενον ὑπὸ τοῦ μαθητοῦ αὐτοῦ· ὁ γὰρ αὐτὸς ἤρκει στατὴρ, καὶ τὸ ἓν νόμισμα διδόμενον ὑπὲρ τοῦ Ἰησοῦ καὶ τοῦ μαθητοῦ αὐτοῦ. Τοῦτο δὲ τὸ νόμισμα ἐν μὲν τῇ οἰκίᾳ Ἰησοῦ οὐκ ἦν, ἐν δὲ τῇ θαλάσσῃ ἐτύγχανε, καὶ ἦν ἐν τῷ στόματι τοῦ θαλασσίου ἰχθύος, ὃν [4]) καὶ αὐτὸν οἶμαι εὐεργετούμενον ἀναβεβηκέναι ἐν τῷ Πέτρου ἀγκίστρῳ συνειλημμένον, γενομένου ἁλιέως ἀνθρώπων, ἐν ᾧ [5]) ἦν ὁ τροπικῶς λεγόμενος ἰχθὺς, ἵνα καὶ ἀπαρθῇ ἀπ' αὐτοῦ ἔχον τὴν

εἰς Καπερναούμ, κ. τ. λ., ed. Lachm. ἐλθόντ. δὲ αὐτῶν εἰς Καφαρναούμ, κ. τ. λ.

[1]) Exod. I, 13. 14.

[2]) Philipp. II, 7.

[3]) Desideratur καί in ed. R.

[4]) Vetus interpres: *quem ipsum piscem arbitror adjuratum*, pro εὐεργετούμενον legerat ἐξορκιζόμενον. H.

[5]) H. et R. in textu: ἐν ᾧ κ. τ. λ.; H. ad marg.: „scrib. ἐν οἷς,“ in notis: „vetus interpres: *in quibus erat*, etc. Codd. Holm. et Regius: ἐν ᾧ. Si legis ἐν ᾧ, referetur ad piscem; si ἐν οἷς, referetur ad homines.“

εἰκόνα Καίσαρος νόμισμα, καὶ γένηται ἐν οἷς οἱ ἁλιευόμενοι ὑπὸ τῶν μεμαθηκότων ἀνθρώπους ἁλιεύειν. Ὁ μὲν οὖν ἔχων τὰ Καίσαρος, ἀποδιδότω[1]) *αὐτὰ τῷ Καίσαρι, ἵνα μετὰ τοῦτο ἀποδιδόναι δυνηθῇ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. Ἐπεὶ δὲ Ἰησοῦς, εἰκὼν ὢν τοῦ Θεοῦ τοῦ ἀοράτου, οὐκ εἶχε τὴν εἰκόνα τοῦ Καίσαρος· — ὁ γὰρ ἄρχων τοῦ αἰῶνος τούτου οὐδὲν εἶχεν ἐν αὐτῷ· — διὰ τοῦτο ἀπὸ οἰκείου τόπου τῆς θαλάσσης τὴν εἰκόνα Καίσαρος λαμβάνει, ἵνα δῷ τοῖς τῆς γῆς βασιλεῦσιν ἀντὶ αὐτοῦ καὶ τοῦ μαθητοῦ αὐτοῦ, ἵνα μηδὲ ὑπολαμβάνωσιν οἱ τὰ δίδραχμα λαμβάνοντες, ὀφειλέτην αὐτῶν εἶναι, καὶ τῶν βασιλέων τῆς γῆς τὸν Ἰησοῦν· ἀπέδωκε γὰρ τὴν ὀφειλὴν, οὐκ ἀναλαβὼν αὐτὴν, οὐδὲ κεκτημένος, οὐδὲ πορίσας, οὐδὲ ἴδιόν ποτε ποιήσας αὐτὴν κτῆμα, ἵνα μηδέποτε ἡ Καίσαρος εἰκὼν ᾖ παρὰ τῇ εἰκόνι τοῦ Θεοῦ τοῦ ἀοράτου.*

11. *Καὶ κατ᾽ ἄλλον δὲ τρόπον λεχθείη· εἰσί τινες τῶν βασιλέων τῆς γῆς υἱοὶ, καὶ οὐχ υἱοὶ αὐτῶν· πλὴν υἱοὶ, καὶ ἀπολελυμένως υἱοί· ἕτεροι δὲ, διὰ τὸ εἶναι ἀλλότριοι τῶν υἱῶν τῶν βασιλέων τῆς γῆς, οὐδενὸς μὲν τῶν ἐπὶ γῆς υἱοὶ, αὐτὸ δὲ τοῦτο υἱοὶ, ἤτοι δὲ τοῦ Θεοῦ, ἢ τοῦ υἱοῦ αὐτοῦ, ἤ τινος τῶν τοῦ Θεοῦ. Ἐὰν οὖν ὁ Σωτὴρ πυνθάνηται τοῦ Πέτρου, λέγων· ,,οἱ βασιλεῖς*[2]) *τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι τέλη ἢ κῆνσον; ἀπὸ τῶν ἰδίων υἱῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων αὐτῶν;" εἰπόντος δὲ τοῦ Πέτρου, ὅτι οὐκ ἀπὸ τῶν ἰδίων, ἀλλ᾽ ,,ἀπὸ τῶν ἀλλοτρίων" αὐτῶν, φησὶν ὁ Ἰησοῦς περὶ τούτων, οἵτινες ἀλλότριοί εἰσιν τῶν βασιλέων τῆς γῆς, καὶ, διὰ τὸ εἶναι ἐλεύθεροι, υἱοὶ τυγχάνουσι, τό· ,,ἄρα*[3]) *γε ἐλεύ-*

---

[1]) Marc. XII, 16. 17. Luc. XX, 24. 25.

[2]) Matth. XVII, 25. 26. Edd. N. T. vers. 25. *ἀπὸ τῶν υἱῶν αὐτῶν* (ed. Knapp. *αὑτῶν*), *ἢ ἀπὸ τῶν ἀλλοτρίων;*

[3]) Matth. XVII, 26.

θεροί εἰσιν οἱ υἱοί·“ οὐκ ἐλεύθεροι γὰρ οἱ υἱοὶ τῶν βασιλέων τῆς γῆς, ἐπεὶ „πᾶς[1]) *ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλος τῆς ἁμαρτίας ἐστίν·“ ἐλεύθεροι δὲ οἱ μείναντες*[2]) *τῇ ἀληθείᾳ τοῦ λόγου τοῦ Θεοῦ, καὶ διὰ τοῦτο γνόντες τὴν ἀλήθειαν, ἵνα καὶ ἐλευθερωθῶσιν ἀπ' αὐτῆς. Εἴ τις οὖν ἐστιν ὁ υἱὸς ἁπλῶς, καὶ μὴ τοῦτο ὅλον υἱὸς τῶν βασιλέων τῆς γῆς, ἐκεῖνός ἐστιν ἐλεύθερος. Καὶ ὅμως ὢν ἐλεύθερος, πεφρόντικε τοῦ μὴ σκανδαλίζειν καὶ τοὺς βασιλεῖς τῆς γῆς, καὶ τοὺς υἱοὺς αὐτῶν, καὶ τοὺς τὰ δίδραχμα λαμβάνοντας· διό φησι· „μὴ*[3]) *σκανδαλίσωμεν αὐτοὺς, ἀλλὰ πορευθεὶς βάλε τὸ ἄγκιστρόν σου, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον,“ καὶ τὰ ἑξῆς. Πυθοίμην δ' ἂν τῶν χαιρόντων τῇ περὶ φύσεων μυθοποιΐᾳ, ποίας φύσεως ἦσαν, εἴτε οἱ τῆς γῆς βασιλεῖς, εἴτε οἱ υἱοὶ αὐτῶν, εἴτε οἱ τὰ δίδραχμα λαμβάνοντες, οὓς μὴ βούλεται σκανδαλίζειν ὁ Σωτήρ· φαίνεται δὴ, ὡς κατὰ τὴν ὑπόθεσιν, ὅτι οὐκ ἐπαινετῆς εἰσι φύσεως, καὶ ὅμως πεφρόντικε τοῦ μὴ σκανδαλισθῆναι αὐτοὺς, καὶ ὅμως κωλύει σκάνδαλόν τι αὐτοῖς γενέσθαι, ἵν' ἤτοι μὴ χεῖρον ἁμαρτάνοιεν, καὶ πρὸς τὸ, εἰ βούλονται, σωθῆναι καὶ ἐκ τοῦ ἀποδέξασθαι τὸν φεισάμενον αὐτῶν ἵνα μὴ σκανδαλισθῶσιν. Καὶ ὡς ἐν χωρίῳ γε παρακλήσεως, — οὕτω γὰρ ἑρμηνεύεται ἡ Καφαρναοὺμ*[4]) *—, παρακαλῶν τὸν μαθητὴν καὶ ἐλεύθερον αὐτὸν εἶναι καὶ υἱὸν, δίδωσιν αὐτῷ δύναμιν τοῦ ἁλιεῦσαι ἰχθὺν πρῶτον, ἵνα ἀναβάντος αὐτοῦ παρακληθῇ ὁ Πέτρος ἐπὶ τῷ ἀναβάντι καὶ*

---

[1]) Ev. Joann. VIII, 34. coll. ed. nostrae Tom. II. pag. 418. lin. 1.

[2]) Ibid. VIII, 31. 32.

[3]) Matth. XVII, 27. Edd. N. T. *ἵνα δὲ μὴ σκανδαλίσ. αὐτοὺς, πορευθεὶς εἰς θάλασσαν βάλε ἄγκιστρον, καὶ τόν κ. τ. λ.*

[4]) H. et R. h. l. cfr. pag. 229. not. 7., *Καφαρναούμ.*

ἁλιευθέντι, καὶ ἀπὸ τοῦ στόματος εἰλῆφθαι τὸν στατῆρα, ἀποδοθησόμενον τοῖς οἰκείοις τοῦ στατῆρος, καὶ ἀπαιτοῦσιν ὡς ἴδιον τὸ τοιοῦτον νόμισμα.

12. *Χαριέντως δ' ἂν ποτε χρήσαιο τῷ ῥητῷ ἐπὶ*[1]) *φιλαργύρῳ, μηδὲν ἀνὰ στόμα ἔχοντι, ἢ τὰ περὶ τοῦ ἀργυρίου, ἐπὰν ἴδῃς αὐτὸν ὑπό τινος Πέτρου τεθεραπευμένον, ἀφελόντος αὐτοῦ οὐ μόνον ἐκ τοῦ στόματος καὶ τῶν λόγων, ἀλλὰ καὶ ἀπὸ ὅλης διαθέσεως τον στατῆρα, σύμβολον ὄντα πάσης αὐτοῦ φιλαργυρίας. Ἐρεῖς γὰρ τὸν τοιοῦτον ἐν θαλάσσῃ μὲν γεγονέναι, καὶ τοῖς ἁλμυροῖς τοῦ βίου πράγμασι, καὶ τοῖς κύμασι τῶν τῆς φιλαργυρίας φροντίδων καὶ μεριμνῶν, ἔχοντα ἐν τῷ στόματι τὸν στατῆρα, ὅτε ἄπιστος ἦν καὶ φιλάργυρος· ἀναβεβηκέναι δὲ ἀπὸ τῆς θαλάσσης ἐν τῷ λογικῷ ἀγκίστρῳ συνειλημμένον, καὶ εὐεργετούμενον ὑπό τινος αὐτὸν διδάξαντος Πέτρου τὴν ἀλήθειαν, μηκέτι ἔχειν ἐν τῷ στόματι τὸν στατῆρα, ἀλλὰ ἀντ' ἐκείνου τὰ ἔχοντα τὴν εἰκόνα τὰ λόγια τοῦ Θεοῦ.*

13. *Ἔτι εἰς τό· „προσῆλθον*[2]) *οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ·“ παραθήσῃ ἀπὸ τῶν Ἀριθμῶν, ὅτι ὑπὲρ μὲν τῶν ἁγίων κατὰ τὸν τοῦ Θεοῦ νόμον, οὐχ ἁπλῶς δίδραχμον δίδοται, ἀλλὰ δίδραχμον ἅγιον. Γέγραπται γάρ· „καὶ*[3]) *λήψῃ πέντε σίκλους κατὰ κεφα-*

---

[1]) H. et R. in textu rectissime: *ἐπὶ φιλαργύρῳ, μηδὲν ἀνὰ στόμα ἔχοντι,* H. tamen, ac si non solum legerit, sed in textum quoque receperit, in notis: „*ἐπὶ φιλαργύρῳ, μηδὲν ἀνὰ στόμα ἔχοντος.* Legendum fortasse: *ἐπὶ φιλαργύρου κ. τ. λ.*, vel *ἐπὶ φιλαργύρῳ μηδὲν ἀνὰ στόμα ἔχοντι.* Quanquam, ne quid dissimulem, Origenem rebus intentum, verborum negligentiorem, et Grammaticae legi minus audientem fuisse arbitror.“ — R. in notis: „„*ἔχοντι.* Sic recte habet Cod. Regius. Alii (?) *ἔχοντος.*“ “

[2]) Matth. XVII, 24.

[3]) Num. III, 47.

λὴν, κατὰ τὸ δίδραχμον τὸ ἅγιον." Ἀλλὰ καὶ ὑπὲρ πάντων τῶν υἱῶν Ἰσραὴλ κατὰ κεφαλὴν δίδοται δίδραχμον ἅγιον. Ἐπεὶ οὖν οὐχ οἷόντε μετὰ τῶν ἁγίων διδράχμων ἔχειν καὶ δίδραχμα, ἵν' οὕτως ὀνομάσω, βέβηλα τὸν ἅγιον τοῦ Θεοῦ, διὰ τοῦτο τοῖς λαμβάνουσι τὰ οὐχ ἅγια δίδραχμα, καὶ ἐρωτήσασι τὸν Πέτρον, καὶ εἰπούσιν· „ὁ διδάσκαλος[1]) ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα;" προστάσσει δοθῆναι στατῆρα, ἐν ᾧ ἦν δίδραχμα, ὁ Σωτὴρ, εὑρισκόμενον ἐν τῷ στόματι τοῦ πρώτου ἀναβάντος ἰχθύος, ἵνα δοθῇ ἀντὶ τοῦ διδασκάλου καὶ τοῦ μαθητοῦ.

Περὶ τῶν λεγόντων· τίς μείζων; καὶ περὶ τοῦ προσκληθέντος παιδίου ὑπὸ τοῦ Ἰησοῦ.

14. „Ἐν[2]) ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες· τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν;" Δυνάμενος ὁ Ματθαῖος ὑπὲρ τοῦ διδαχθῆναι ἡμᾶς, τί τε προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ ἠξίουν παρ' αὐτοῦ μαθεῖν, πῶς τε ἀπεκρίνατο πρὸς τὸ πύσμα αὐτῶν, αὐτὸ τοῦτο μόνον διηγήσασθαι, ὁ δὲ προσέθηκε, κατὰ μέν τινα τῶν ἀντιγράφων· „ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ·" κατὰ δὲ ἄλλα· „ἐν ἐκείνῃ τῇ ἡμέρᾳ·" καὶ ἀναγκαῖον, μὴ ἀνεξέταστον ἐᾶσαι τὸ βούλημα τοῦ εὐαγγελιστοῦ. Διόπερ ἐπιστήσαντες τοῖς πρὸ τοῦ· „ἐν ἐκείνῃ τῇ ἡμέρᾳ" ἢ „ὥρᾳ" σκοπήσωμεν εἰ οἷόντέ ἐστιν ἀπ' ἐκείνων ὁδὸν λαβεῖν πρὸς τὸ θεωρῆσαι, ὡς ἀναγκαίαν, τὴν „ἐν ἐκείνῃ τῇ ἡμέρᾳ," ἢ „ὥρᾳ," προσθήκην. Ἐληλύθεισαν τοίνυν εἰς τὴν Καφαρναοὺμ ὁ Ἰησοῦς ἅμα τοῖς μαθηταῖς αὐτοῦ, ἔνθα „οἱ τὰ δίδραχμα[3]) λαμβάνοντες τῷ Πέτρῳ προσῆλθον," καὶ ἐρωτῶντες εἶπον τό· „ὁ διδά-

---

1) Matth. XVII, 24.
2) Ibid. XVIII, 1.
3) Ibid. XVII, 24. coll. pag. 229. not. 7.

σκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα; Εἶτα ἀποκριναμένου πρὸς αὐτοὺς τοῦ Πέτρου, καὶ εἰπόντος·[1]) „ναί·“ ὁ Ἰησοῦς προσαπολογησόμενος[2]) περὶ τῆς δόσεως τῶν διδράχμων, πέμπει τὸν Πέτρον τῷ ἀγκίστρῳ ἀνασπάσοντα ἰχθὺν, οὗ ἐν τῷ στόματι ἔφασκεν[3]) εὑρεθήσεσθαι στατῆρα τὸν δοθησόμενον ὑπὲρ ἑαυτοῦ καὶ Πέτρου. Δοκεῖ οὖν μοι, ὅτι μεγίστην νομίσαντες ταύτην εἶναι ὑπὸ τοῦ Ἰησοῦ πρὸς τὸν Πέτρον τιμὴν, κρίναντος αὐτὸν μείζονα τῶν λοιπῶν γνωρίμων, ἐβούλοντο ὅπερ ὑπενόουν ἀκριβῶσαι, διὰ τοῦ πυθόμενοι τοῦ Ἰησοῦ ἀκοῦσαι παρ᾽ αὐτοῦ, εἰ, ὡς ὑπελάμβανον, μείζονα κέκρικε τὸν Πέτρον αὐτῶν· ἅμα δὲ ἤλπιζον καὶ τὴν αἰτίαν εἴσεσθαι τοῦ προκεκρίσθαι τὸν Πέτρον τῶν λοιπῶν μαθητῶν. Ταῦτ᾽ οὖν, οἶμαι, δηλῶσαι ὁ Ματθαῖος βουλόμενος, ἐπήγαγε τῷ· „ἐκεῖνον[4]) λαβὼν,“ — δηλονότι τὸν στατῆρα, — „δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ·“ τό· „ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες· τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν;“ Τάχα δὲ καὶ ἀμφέβαλλον διὰ[5]) τὸ τρεῖς προκεκρίσθαι κατὰ τὴν μεταμόρφωσιν· ἀμφέβαλλον δὲ περὶ τοῦ· τίς τῶν τριῶν μείζων εἶναι κέκριται παρὰ τῷ κυρίῳ. Ὁ μὲν γὰρ Ἰωάννης ἀνέπεσεν ἐπὶ τὸ στῆθος αὐτοῦ δι᾽ ἀγάπην, καὶ ἀκόλουθον, πρὸ τοῦ δείπνου τιμῆς ἐξαιρέτου σίμβολα πολλὰ αὐτοὺς ἑωρακέναι πρὸς τὸν Ἰωάννην ἀπὸ τοῦ Ἰησοῦ· ὁ δὲ Πέτρος ἐν τῇ ὁμολογίᾳ ἤκουσε μακάριος διὰ τό· „σὺ[6]) εἶ ὁ Χριστὸς, ὁ υἱὸς

---

[1]) Matth. XVII, 25.

[2]) προσαπολογησόμενος. Sic habet Tarini Codex, et paulo post Cod. Anglicanus: ἀνασπάσοντα. Editio Huetii: προσαπολογησάμενος, et ἀνασπάσαντα. R.

[3]) Ed. Ruaei: ἔφρασκεν.

[4]) Matth. XVIII, 27. — XVIII, 1.

[5]) Cod. Tarini: περὶ τοῦ τρεῖς κ. τ. λ. R.

[6]) Matth. XVI, 16.

τοῦ Θεοῦ τοῦ ζῶντος·" πάλιν δὲ διὰ τό· „ὕπαγε[1]) ὀπίσω μου, σατανᾶ· σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων·" περιεσπῶντο μήποτε οὐχ οὗτος εἴη ὁ μείζων, ἕτερος δὲ τῶν Ζεβεδαίου υἱῶν. Τοσαῦτα μὲν διὰ τό· „ἐν ἐκείνῃ[2]) τῇ ἡμέρᾳ·" ἤ· „ὥρᾳ·" ἐν ᾗ ἐγεγόνει τὰ περὶ τὸν στατῆρα.

15. *Ἑξῆς δὲ κατανοητέον τό· προσῆλθον[3]) αὐτῷ οἱ μαθηταὶ, ὡς μαθηταὶ διδασκάλῳ[4]) προβλήματα προτείνοντες, καὶ ἐξετάζοντες· „τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν." Καὶ μιμητέον γε ἐν τούτοις τοὺς τοῦ Ἰησοῦ μαθητὰς, εἴ ποτε ζητούμενόν τι ἐν ἡμῖν μὴ εὑρίσκοιτο, μετὰ πάσης ὁμονοίας περὶ τοῦ ζητουμένου προσέλθωμεν τῷ Ἰησοῦ, παρόντι ὅπου δύο[5]) καὶ τρεῖς συνηγμένοι ἐν τῷ ὀνόματι αὐτοῦ, καὶ ἑτοίμῳ ἐν τῇ κατὰ δύναμιν παρουσίᾳ φωτίζειν τὰς καρδίας τῶν γνησίως αὐτῷ μαθητεύεσθαι θελόντων πρὸς κατάληψιν τῶν ζητουμένων. Οὐκ ἄτοπον δὲ καί τινι τῶν ὑπὸ τοῦ Θεοῦ τεταγμένων ἐν τῇ ἐκκλησίᾳ διδασκάλων προσελθόντας ἡμᾶς προτείνειν ἀνάλογόν τι πρόβλημα τῷ· „τίς[6]) ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν;" Τί μὲν οὖν ἤδη ἔγνωστο τοῖς μαθηταῖς τῶν κατὰ τὸ πύσμα τοῦτο; τί δὲ ἐζητεῖτο; Ὅτι μὲν γὰρ οὐκ ἔστιν ἰσότης τῶν ἀξιουμένων τῆς βασιλείας τῶν οὐρανῶν, κατειλήφεισαν, καὶ ὅτι, μὴ οὔσης ἰσότητος, ἐστί τις ὁ μείζων, καὶ οὕτω καθεξῆς μέχρι τοῦ ἐλαχίστου· ὁποδαπὸς[7])*

---

[1]) Matth. XVI, 23. coll. pag. 169. not. 3.

[2]) Ibid. XVIII, 1.

[3]) Ibid. XVIII, 1.

[4]) H. ad marg., R. in notis: „Cod. Reg. (pro *διδασκάλῳ*) habet: *τοῦ Σωτῆρος.*"

[5]) Matth. XVIII, 20. — H. et R. *δύο καὶ τρεῖς κτλ.*

[6]) Matth. XVIII, 1.

[7]) H. et R. in textu recte: *ὁποδαπός;* H. in notis: „ita Codd. Holm. et Regius; at legitur pag. 238. (cfr.

δὲ ὁ μείζων, καὶ ὅπως βιώσας ὁ ἐλάχιστος, καὶ τίνες οἱ μεταξὺ, ἔτι ἐζήτουν· εἰ μὴ ἄρα ἀκριβέστερόν ἐστιν εἰπεῖν, ὅτι, τίς μὲν ὁ ἐλάχιστος, ᾔδεσαν[1]) ἐκ τοῦ· „ὃς ἐὰν[2]) λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν·“ τίς[3]) δὲ ὁ πάντων μείζων οὐκ ἐγίνωσκον, εἰ καὶ κατελάμβανον τό· „ὃς[4]) δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν·“ μεγάλων γὰρ ὄντων πλειόνων, τίς ὁ τῶν μεγάλων μείζων, ὡς[5]) ἐν ἀνθρώποις, οὐκ ἦν αὐτοῖς σαφές. Καὶ ὅτι μεγάλοι μὲν πλείους, οὐκ ἐπίσης δὲ μεγάλοι οἱ μεγάλοι, δηλώσει τὸ „μέγας“ ὄνομα κείμενον ἐπὶ τοῦ Ἰσαὰκ, ὃς „προβαίνων[6]) μείζων ἐγίνετο σφόδρα[7]) σφόδρα,“ εἰρημένον δὲ καὶ ἐπὶ τοῦ Μωσέως, καὶ ἐπὶ τοῦ Βαπτιστοῦ Ἰωάννου, καὶ ἐπὶ τοῦ Σωτῆρος. Καὶ πᾶς γε ὁμολογήσει, ὅτι καὶ πάντες[8]) οὗτοι μεγάλοι ἦσαν κατὰ τὴν γραφὴν, ἀλλὰ μείζων αὐτῶν ἦν ὁ Σωτήρ. Εἰ δὲ καὶ Ἰωάννης τοῦ Ἰσαὰκ καὶ τοῦ Μωσέως μείζων ἦν, οὗ μείζων οὐδεὶς ἐν γεννητοῖς[9])

---

pag. 238. not. 5.): δεικνὺς ὁποταπὸς τῇ ποιότητι μείζων κ. τ. λ.: ergo ὁποδαπός et ὁποταπός confundit (?) etc.“ Idem ad marginem: „fortasse: ὁποταπός.“

1) H. et R. constanter: ᾔδεισαν.

2) Matth. V, 19. Edd. N. T. ὃς ἐὰν οὖν λύσῃ κτλ.

3) τίς δὲ — οὐκ ἐγίνωσκον. Ita Codd. Holm. et Regius, et ita postulat sententia. Vitiose vero interpretatio vetus: *et quis major esset sciebant.* Huetius.

4) Matth. V, 19.

5) H. ad marg., R. in notis: „Cod. Reg. ὁ ἐν κτλ.“

6) Gen. XXVI, 13. LXX. interpretes: καὶ προβαίνων μείζων ἐγένετο, ἕως οὗ μέγας ἐγένετο σφόδρα. Cfr. pag. 238. not. 1.

7) Cfr. pag. 238. not. 3.

8) H. ad marg., R. in notis: „Cod. Reg. οἱ ἄνδρες.“

9) Matth. XI, 11.

γυναικῶν ἦν, ἢ οὐ μείζων μὲν, ἴσος δὲ ἀμφοτέροις, ἤ τινι αὐτῶν, οὐκ ἀκίνδυνον ἀποφήνασθαι. Καὶ ἐκ τοῦ Ἰσαὰκ δὲ „προβαίνων[1]) μείζων ἐγίνετο, ἕως[2]) οὗ μέγας ἐγένετο,“ οὐχ ἁπλῶς, ἀλλὰ μετὰ προσθήκης τῆς „σφόδρα“ δὶς[3]) κατειλεγμένης, ἔστι μαθεῖν, ὅτι διαφορά ἐστι μεγάλων, τινὸς μὲν ὄντος μεγάλου, ἑτέρου δὲ σφόδρα μεγάλου, καὶ ἄλλου σφόδρα σφόδρα μεγάλου. Ἐζήτουν τοίνυν οἱ μαθηταὶ προσελθόντες τῷ Ἰησοῦ μαθεῖν, τίς ἄρα[4]) μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Καὶ τάχα ἐκεῖνοι μὲν ἐβούλοντο μαθεῖν, ἀκούσαντες ἀπ᾽ αὐτοῦ τὸ τοιοῦτον· ὁ δεῖνα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὁ δὲ ἐπὶ τὸ καθολικώτερον ἀνάγει τὸν λόγον, δεικνὺς ὁποταπὸς[5]) τῇ[6]) ποιότητι μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὅντινα κατὰ δύναμιν ἐκ τῶν γεγραμμένων κατανοήσωμεν. „Προσκαλεσάμενος[7]) γὰρ ὁ Ἰησοῦς παιδίον,“ καὶ τὰ ἑξῆς.

16. Ἔστι δὲ πρότερον ἁπλῶς διηγήσασθαι. Εἴποι δ᾽ ἂν ὁ κατὰ τὸ ἁπλοῦν διηγούμενος τὸν τοῦ Σωτῆρος ἐν τούτοις λόγον, ὅτι, ἐὰν ἀνήρ τις ὢν ἐπὶ τοσοῦτον νεκρώσῃ τὰς ἀνδρικὰς ἐπιθυμίας, πνεύματι τὰς πράξεις τοῦ σώματος θανατῶν, καὶ πάντοτε τὴν νέκρωσιν[8]) τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέρων, ὥστε παιδίου ἀγεύστου ἀφροδισίων, καὶ ἀνεννοήτου ἀνδρικῶν κινη-

---

[1]) Genes. XXVI, 13. Cfr. pag. 237. not. 6. — Ed. Coloniensis: καὶ προβαίνων, ed. Ruaei: δὲ προβαίνων.

[2]) Cod. Tarini: ἕως οὗ μέγας. Ed. Huet. (in textu): ἕως οὗ ὁ μέγας. R. — Huet. ad oram: „ὁ forsitan παρέλκει.“ Cfr. pag. huj. not. 1. coll. pag. 237. not. 6.

[3]) Cfr. pag. 237. not. 6. et 7.

[4]) Matth. XVIII, 1.

[5]) H. et R. h. l., cfr. p. 236. not. 7., ὁποταπός.

[6]) H. ad marg., R. in not.: „Cod. Reg. τῆς ποιότητος.“

[7]) Matth. XVIII, 2. coll. edd. N. T.

[8]) II Cor. IV, 10.

μάτων, ἔχειν κατάστασιν, ὁ τοιοῦτος ἐστράφη, καὶ γέγονεν ὡς τὰ παιδία. Καὶ ὅσον [1]) *γε προσέθηκε τῇ τῶν παιδίων περὶ τῶν τοιούτων κινημάτων καταστάσει, τοσούτῳ μᾶλλον τῶν ἀσκούντων, καὶ ἐπὶ τοσοῦτον οὐκ* [2]) *ἐληλακότων σωφροσύνης, μείζων* [3]) *ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Ὅπερ δὲ ἐπὶ τῶν κατὰ τὰ ἀφροδίσια λέλεκται περὶ τῶν παιδίων, τοῦτ' ἂν λεχθείη καὶ περὶ τῶν λοιπῶν παθῶν, καὶ ἀῤῥωστημάτων, καὶ νοσημάτων τῆς ψυχῆς, εἰς ἃ μὴ πέφυκε παιδία ἐμπίπτειν, ὅσα τὸν λόγον μηδέπω συμπεπλήρωκεν, οἷον ἵνα καὶ στραφῇ τις, καὶ ὁποῖόν ἐστι τὸ παιδίον* [4]) *πρὸς ὀργὴν, τοιοῦτος γένηται ὢν ἀνήρ· καὶ ὁποῖόν ἐστι τὸ παιδίον πρὸς λύπην, ἔσθ' ὅτε παρὰ τὸν καιρὸν τοῦ τεθνηκότος πατρὸς, ἢ μητρὸς,* [5]) *ἤ τινος ἀδελφοῦ, ὡς γελᾷν καὶ παίζειν κατ' ἐκεῖνον τὸν χρόνον, τοιοῦτος ἂν γένοιτο ὁ στραφεὶς ὡς παιδία,* [6]) *καὶ ἕξιν ἀναλαβὼν ἐκ λόγου τῆς λύπης ἀπαράδεκτον, ὥστε, ὁποῖόν ἐστι πρὸς λύπην τὸ βραχὺ* [7])

---

[1]) H. et R. in textu: *καὶ ὁ σωτὴρ γε προσέθηκε κ. τ. λ.*; H. tamen ad oram: „scrib. *ὅσον*,“ in notis: „vocem illam *σωτήρ* contraxerat librarius Cod. Holm. in *σῆρ*, quemadmodum et ille Reg. Codicis, qui tamen Cod. pro *ὁ σῆρ* habebat ad oram: *ὅσον*, quod verissimum est. Sic ergo (cf. textum nostrum) totum illud comma emendandum est, etc. His consentit vetus interpres, qui sic habet, etc.“

[2]) H. et R. in textu: *τοσοῦτον ἐληλακότων κ. τ. λ.*, H. tamen ad oram: „scrib. *τοσοῦτον οὐκ ἐληλακότων κτλ.*“

[3]) H. et R. in textu: *σωφροσύνης, τὸ, μείζων κτλ.*, H. tamen ad marginem: „*τό* fortasse *παρέλκει*.“

[4]) H. ad marg., R. in notis: „Cod. Regius: *τὸ βραχὺ παιδίον*.“ Cfr. pag. huj. not. 7.

[5]) H. et R. *μῆτρος*.

[6]) H. ad marg.: „Cod. Regius: *παιδίον*,“ R. in notis: „„Cod. Regius (?): *παιδία*.““

[7]) H. et R. h. l. cfr. pag. huj. not. 4., *τὸ βραχὺ παιδίον*.

παιδίον, αὐτὸν γενέσθαι. Τὸ δ᾽ ὅμοιον φήσεις περὶ τῆς καλουμένης ἡδονῆς, καθ᾽ ἣν ἀλόγως ἐπαίρονται οἱ φαῦλοι, ἣν οὐ πάσχει τὰ παιδία, οὐδ᾽ οἱ στραφέντες καὶ γενόμενοι ὡς τὰ παιδία. Ὡς μὲν οὖν πρὸς τὸ ἀκριβὲς ἀποδέδεικται καὶ ἄλλοις, ὅτι οὐδὲν τῶν παθῶν πίπτει εἰς τὰ μηδέπω συμπεπληρωκότα τὸν λόγον παιδία· εἰ δ᾽ οὐδὲν, δηλονότι καὶ ὁ φόβος· ἀλλ᾽ εἰ ἄρα ἀνάλογόν τι τοῖς πάθεσι, καὶ ταῦτα ἀμυδρὰ καὶ τάχιστα ἀνασκευόμενα, καὶ θεραπευόμενα γίνεται ἐν τοῖς παιδίοις, ὡς ἀγαπητὸν εἶναι, ἐπὶ τοῦτο φθάσαι τὸν στραφέντα ὡς τὰ παιδία ὅσον ἔχει τῆς οἱονεὶ ὑποβολῆς τῶν παθῶν ὡς τὰ παιδία. Καὶ περὶ φόβου τοίνυν τὰ ὅμοια τοῖς ἀποδεδομένοις νοηθεῖεν,[1]) ὅτι τὰ παιδία τὸν μὲν φόβον τῶν φαύλων οὐ πάσχει, ἄλλο δέ τι, ὃ[2]) οἱ διακριβοῦντες τὰ τῶν παθῶν, καὶ τῶν ὀνομάτων ἐκείνων, λέγουσιν εἶναι φόβον· οἷον δὲ καὶ τὸ τῶν παιδίων ἀμνησίκακον παρ᾽ αὐτοὺς τοὺς τῶν δακρύων καιροὺς, ἐν ἀκαρεῖ μεταβαλλομένων, καὶ γελώντων, καὶ συμπαιζόντων τοῖς νομιζομένοις λελυπηκέναι καὶ πεφοβηκέναι, ἀλλ᾽ οὐ κατὰ τὴν ἀλήθειαν ταῦτα ἐνεργηκόσιν. Οὕτω δὲ καὶ ταπεινώσει ἑαυτόν τις ὡς ὃ προσεκαλέσατο[3]) ὁ Ἰησοῦς παιδίον· οὐ γὰρ πίπτει ὑψηλοφροσύνη, καὶ οἴησις εὐγενείας, ἢ πλούτου, ἤ τινος τῶν νομιζομένων μὲν, οὐκ ὄντων δὲ ἀγαθῶν, εἰς παιδίον. Διόπερ ἔστιν ἰδεῖν τὰ μὴ κομιδῆ[4]) νήπια μέχρι τριῶν καὶ τετάρτων ἐτῶν, ὅμοια τοῖς ἀγενέσι, κἂν εὐγενῆ εἶναι δοκῇ, καὶ μὴ

---

[1]) H. et R. in textu: νοήσειεν; H. tamen ad oram: „Cod. Reg." (scrib.?) „νοηθεῖεν," in not.: „Codd. Holm. et Regius: νοήσειεν, leg. fort. νοηθεῖεν." — R. in notis: „„Cod. Tarinianus: ἀποδεδειγμένοις νοήσειεν. Regius etiam habet νοήσειεν. Sed legendum: νοηθεῖεν.""

[2]) Desideratur ὃ in ed. Ruaei.

[3]) Ed. Huetii: προεκαλέσατο. — Cfr. Matth. XVIII, 4

[4]) H. et R. κομιδή.

μᾶλλον πάντως φιλεῖν δοκοῦντα τὰ πλούσια παιδία παρὰ τὰ πενιχρά. Ἐὰν οὖν, ὅπερ παρὰ τὴν ἡλικίαν πάσχει τὰ παιδία πρὸς τὰ τοὺς ἀνοήτους ἐπαίροντα τοιαῦτα πάθη, ἀπὸ λόγου ὁ τοῦ Ἰησοῦ μαθητὴς ἐταπείνωσεν ἑαυτὸν, ὡς ὃ ἔδειξεν ὁ Ἰησοῦς παιδίον, οὐκ ἐπαιρόμενος ἐπὶ δοξαρίῳ, οὐδὲ φυσιούμενος[1]) ἐπὶ πλούτῳ, οὐδ' ἐπὶ περιβολῇ, οὐδὲ ὀγκούμενος ἐπὶ εὐγενείᾳ, μάλιστα δὲ[2]) τοὺς, ὡς ὁ Λόγος ἀπέδειξε, στραφέντας, ὡς ὃ προσελάβετο ὁ Ἰησοῦς παιδίον, ἀποδεκτέον καὶ μιμητέον ἐπὶ τῷ Ἰησοῦ ὀνόματι, ἐπεὶ μάλιστα ἐν τούτοις ἐστὶν ὁ Χριστὸς, καὶ διὰ τοῦτο λέγει τό· „καὶ ὃς[3]) ἂν δέξηται ἓν παιδίον τοιοῦτο ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται."

17. Τὸ δὲ ἑξῆς ἐργῶδες κατὰ ἀκολουθίαν τῶν προαποδεδομένων διηγήσασθαι· εἴποι γὰρ ἄν τις· πῶς ὁ στραφεὶς καὶ γενόμενος ὡς τὰ παιδία, μικρός ἐστι τῶν πιστευόντων εἰς τὸν Ἰησοῦν, καὶ ἐπιδεκτικὸς τοῦ σκανδαλισθῆναι; Πειρασώμεθα δὲ καὶ τοῦτο ἀκολούθως σαφηνίσαι. Πᾶς[4]) ὁ τῷ Ἰησοῦ ὡς υἱῷ συγκαταθέμενος Θεοῦ κατὰ τὴν ἀληθῆ περὶ αὐτοῦ ἱστορίαν, καὶ ὁδεύων διὰ τῶν κατὰ τὸ εὐαγγέλιον πράξεων εἰς τὸ βιῶσαι κατ' ἀρετὴν, ἐστράφη καὶ ὁδεύει πρὸς[5]) τὸ γενέσθαι ὡς τὰ παιδία, τοῦτον ἀμήχανον μὴ εἰσελθεῖν εἰς τὴν βασι-

---

[1]) R. minus accurate φυσιούμενον.

[2]) H. et R. non δή, sed recte: δέ.

[3]) Matth. XVIII, 5. Ed. Knapp. καὶ ὃς ἐὰν δέξ. παιδίον τοιοῦτον ἓν ἐπὶ τῷ κ. τ. λ., ed. Lachm. καὶ ὃς ἂν δέξ. ἓν παιδίον τοιοῦτον ἐπί κ. τ. λ.

[4]) H. et R. in textu: πῶς ὁ τῷ κ. τ. λ., H. tamen ad oram: „scrib. πᾶς κ. τ. λ.," in notis: „Codd. Holm. et Regius: πῶς ὁ τῷ Ἰησοῦ ὡς κ. τ. λ. Vetus interpres: *omnis qui Jesu quasi filio Dei credit* etc., legebat πᾶς κ. τ. λ."

[5]) H. ad marg., R. in notis: „Cod. Regius: εἰς τὸ βιῶσαι κατὰ παιδία."

λείαν τῶν οὐρανῶν. Πολλοὶ οὖν οἱ τοιοῦτοι, ἀλλ᾽ οὐ πάντες οἱ στραφέντες πρὸς τὸ γενέσθαι ὡς τὰ παιδία, ἐφθάκασιν ὡς ἐπὶ τὸ ἐξομοιωθῆναι τοῖς παιδίοις· ἀλλ᾽ ἕκαστος τοσοῦτον ἀπολείπεται τῆς πρὸς τὰ παιδία ὁμοιώσεως, ὅσον ἀπολείπεται τῆς ἀποδεδομένης τῶν παιδίων πρὸς τὰ πάθη ἕξεως. Ἐν παντὶ οὖν τῷ πλήθει τῶν πιστευόντων εἰσὶ καὶ οἱ ὡσπερεὶ ἄρτι[1]) *στραφέντες περὶ τὸ γενέσθαι ὡς τὰ παιδία, οἵτινες κατ᾽ αὐτὸ τὸ ἐστράφθαι ἵνα γένωνται ὡς τὰ παιδία, μικροὶ χρηματίζουσι, καὶ τούτων οἱ στραφέντες μὲν ἵνα γένωνται ὡς τὰ παιδία, πολὺ δὲ ἀπολειπόμενοι τοῦ γενέσθαι ἀκριβῶς ὡς τὰ παιδία, ἐπιδέχονται τοῦ σκανδαλισθῆναι· ὧν ἕκαστος τοσοῦτον ἀπολείπεται τῆς πρὸς αὐτὰ ὁμοιώσεως, ὅσον ἀπολείπεται τῆς ἀποδεδομένης τῶν παιδίων πρὸς τὰ πάθη ἕξεως· οἷς οὐ δέον ἀφορμὰς παρέχειν τοῦ σκανδαλισθῆναι· εἰ δὲ μή γε, ὁ σκανδαλίσας δεήσεται, ὡς συμφέροντος αὐτῷ ἐπὶ θεραπείᾳ, τοῦ κρεμασθῆναι*[2]) *μύλον*[3]) *ὀνικὸν περὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῆναι ἐν τῷ πελάγει τῆς θαλάσσης· οὕτω γὰρ τίσας τὴν αὐτάρκη*[4]) *δίκην ἐν τῇ θαλάσσῃ, ὅπου ὁ δράκων ὃν ἔπλασεν*[5]) *ὁ Θεὸς ἐμπαίζειν αὐτῷ, καὶ πρὸς τὸ συμφέρον πρὸς τὸ τέλος ὁ κολασθεὶς καὶ παθών. ἐν τοῖς ἑξῆς ἔσται τῶν κατὰ τὸ πέλαγος τῆς θαλάσσης πόνων, οὓς ὑπέμεινε καθελκόμενος ὑπὸ τοῦ ὀνικοῦ μύλου. Εἰσὶ γὰρ καὶ μύλων διαφοραὶ, ὡς εἶναι τὸν μέν τινα αὐτῶν, ἵν᾽ οὕτως ὀνομάσω, ἀνθρωπικὸν, ἄλλον δὲ ὀνικόν· καὶ ἀνθρωπικὸς μέν ἐστιν ἐκεῖνος, περὶ οὗ γέγρα-*

---

1) H. et R. *ἀρτὶ στραφέντες κ. τ. λ.*

2) Matth. XVIII. 6.

3) H. et R. *μῦλον.*

4) H. ad oram: „Cod. Regius: *αὐτοῦ κατὰ δίκην,*“ R. in notis: „„Cod. Regius. *τίσας τὴν αὐτοῦ καταδίκην.*““

5) Psalm. CIII, 26. (CII.)

πται· „δύο[1]) ἔσονται ἀλήθουσαι ἐν ἐνὶ μύλῳ· μία παραλαμβάνεται, καὶ μία ἀφίεται·“ ὀνικὸς δὲ ὁ περιτεθησόμενος τῷ σκανδαλίσαντι. Εἴποι δ' ἄν τις, οὐκ οἶδα πότερον ὑγιῶς ἢ ἐσφαλμένως λέγων, ὀνικὸν εἶναι τὸ βαρὺ τοῦ φαύλου σῶμα, καὶ κατωφερὲς, ὅπερ ἀναλήψεται ἐν τῇ ἀναστάσει, ἵνα καταποντισθῇ ἐν τῇ ἀβύσσῳ λεγομένῃ πελάγει θαλασσίῳ, ὅπου ὁ δράκων ὃν ἔπλασεν[2]) ὁ Θεὸς ἐμπαίζειν αὐτῷ. Ἄλλος δὲ τὸ σκανδαλίζειν ἕνα τῶν μικρῶν ἀνοίσει ἐπὶ τὰς ἀοράτους ἀνθρώποις δυνάμεις· πολλὰ γὰρ καὶ ἀπὸ τούτων σκάνδαλα εἰς τοὺς δεικνυμένους ὑπὸ τοῦ Ἰησοῦ μικροὺς γίνεται. Ἐπὰν δὲ σκανδαλίσωσι τῶν δεικνυμένων ὑπὸ τοῦ Ἰησοῦ μικρῶν ἕνα, πιστευόντων εἰς αὐτὸν, ὀνικὸν μύλον τὸ φθαρτὸν σῶμα τὸ βαρύνον ψυχὴν ἀναλήψεται, κρεμάμενον ἐκ τοῦ καθελκομένου αὐτὸν ἐπὶ τὰ τῇδε πράγματα τραχήλου, ἵνα διὰ τούτων καθαιρεθῇ αὐτῶν τὸ οἴημα, καὶ τίσαντες δίκην, ἐν τῷ συμφέροντι αὐτοῖς διὰ τοῦ ὀνικοῦ μύλου γένωνται.

18. Καὶ ἄλλη δὲ διήγησις παρὰ τὴν ἁπλούστερον λεγομένην λελέχθω, εἴτε ὡς δόγμα, εἴτε ὡς γυμνασίου ἕνεκεν, καὶ ζητήσωμεν, ποῖον προσκαλεσάμενος παιδίον ὁ Ἰησοῦς ἔστησεν ἐν μέσῳ τῶν μαθητῶν. Ὅρα δὲ, εἰ δύνασαι τὸ ταπεινῶσαν ἑαυτὸ πνεῦμα ἅγιον, ὑπὸ τοῦ Σωτῆρος προσκληθὲν, καὶ σταθὲν ἐν μέσῳ τῷ ἡγεμονικῷ τῶν μαθητῶν Ἰησοῦ, εἰπεῖν εἶναι ὃ προσεκαλέσατο ὁ Ἰησοῦς παιδίον· εἴ τε βούλεται ἡμᾶς, πάντα τὰ ἄλλα ἀποστραφέντας, στραφῆναι πρὸς τὰ παραδείγματα ὑπὸ τοῦ ἁγίου ὑποβαλλόμενα πνεύματος, ὥστε ἡμᾶς οὕτω γενέσθαι ὡς τὰ παιδία, τὰ καὶ αὐτὰ στραφέντα, καὶ ὁμοιωθέντα τῷ ἁγίῳ πνεύματι· ἅτινα παιδία ἔδωκεν ὁ Θεὸς τῷ Σωτῆρι, κατὰ τὸ ἐν Ἡσαΐᾳ λελεγμένον· „Ἰδοὺ,

---

[1]) Matth. XXIV, 41. Ed. Knapp. δύο ἀλήθ. ἐν τῷ μύλωνι, ed. Lachm. δύο ἀλήθ. ἐν τῷ μύλῳ.

[2]) Psalm. CIII, 26. (CII.)

ἐγὼ [1]) καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός.“ Καὶ οὐκ ἔστι γε εἰσελθεῖν εἰς τὴν τῶν οὐρανῶν βασιλείαν μὴ στραφέντα ἀπὸ τῶν κοσμικῶν πραγμάτων, καὶ ἐξομοιωθέντα τοῖς τὸ πνεῦμα τὸ ἅγιον πεφορεκόσι παιδίοις· ὅπερ πνεῦμα [2]) ἅγιον προσκαλεσάμενος ὁ Ἰησοῦς, ἀπὸ τῆς ἰδίας τελειότητος καταβεβηκὸς πρὸς ἀνθρώπους, ὡς παιδίον, ἔστησεν αὐτὸ ἐν μέσῳ τῶν μαθητῶν. Δεῖ οὖν στραφέντα ἀπὸ τῶν κοσμικῶν ἐπιθυμιῶν ταπεινῶσαι ἑαυτὸν, οὐχ ἁπλῶς ὡς τὸ παιδίον, ἀλλὰ κατὰ τὸ γεγραμμένον· „ὡς [3]) τὸ παιδίον τοῦτο.“ Ἔστι δὲ τὸ ταπεινῶσαι ἑαυτὸν ὡς τὸ παιδίον ἐκεῖνο, τὸ μιμήσασθαι τὸ ὑπὲρ σωτηρίας ἀνθρώπων ταπεινῶσαν ἑαυτὸ πνεῦμα ἅγιον. Ὅτι δὲ ὁ Σωτὴρ, καὶ τὸ ἅγιον πνεῦμα, ἐξαπεστάλη ὑπὸ τοῦ πατρὸς ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων, δεδήλωται ἐν τῷ Ἡσαΐᾳ ἐκ προσώπου τοῦ Σωτῆρος, λέγοντος· „καὶ [4]) νῦν κύριος ἀπέστειλέ με, καὶ τὸ πνεῦμα αὐτοῦ.“ Ἰστέον μέντοι, ὅτι ἀμφίβολός ἐστιν ἡ λέξις· ἢ γὰρ ὁ Θεὸς ἀπέστειλεν, ἀπέστειλε δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον τὸν Σωτῆρα· ἢ, ὡς ἐξειλήφαμεν, [5]) ἀμφότερα ἀπέστειλε ὁ πατὴρ, τὸν Σωτῆρα καὶ τὸ ἅγιον πνεῦμα. Μείζων οὖν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ὁ ταπεινώσας ἑαυτὸν παρὰ πάντας τοὺς ταπεινοῦντας ἑαυτοὺς μιμητικῶς ἐκείνου τοῦ παιδίου. Πολλοὶ μὲν γὰρ οἱ θέλοντες ἑαυτοὺς ταπεινῶσαι ὡς τὸ παιδίον ἐκεῖνο· ὁ δὲ πάντῃ [6]) παραπλήσιος γενόμενος τῷ ταπεινώσαντι ἑαυτὸν παιδίῳ, ἐκεῖνος ἂν εὑρεθείη ὁ χρηματίζων πάντων μεί-

---

[1]) Jes. VIII, 18.

[2]) Ed. Coloniensis: πνεῦμα τὸ ἅγιον.

[3]) Matth. XVIII, 4.

[4]) Jes. XLVIII, 16. LXX. interpretes: καὶ νῦν κύριος κύριος ἀπέστειλέ με, κ. τ. λ.

[5]) H. ad marg., R. in notis: „Cod. Regius: παρειλήφαμεν.“

[6]) H. ad marg., R. in notis: „Cod. Regius: πάντα.“

ζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ, μάλιστα ἐν αὐτῷ ὄντως τῷ Ἰησοῦ. Ὥσπερ δὲ τὸν Ἰησοῦν δέχεται, ὃς ἐὰν δέξηται ἓν τῶν παιδίων τοιοῦτο ἐπὶ τῷ ὀνόματι αὐτοῦ, οὕτως τὸν Ἰησοῦν ἀποδοκιμάζει, καὶ ἐκβάλλει, ὁ μὴ βουλόμενος δέξασθαι ἓν παιδίον τοιοῦτο ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ. Εἰ δὲ καὶ τῶν τοῦ ἁγίου πνεύματος ἀξιουμένων ἐστὶ διαφορὰ, πλεῖον ἢ ἔλαττον λαμβανόντων τοῦ ἁγίου πνεύματος τῶν πιστευόντων, εἶεν ἄν τινες οἱ μικροὶ τῶν εἰς Θεὸν πιστευόντων σκανδαλίζεσθαι δυνάμενοι, οὓς ἐκδικῶν σκανδαλισθέντας ὁ Λόγος, φησὶ περὶ τῶν σκανδαλισάντων αὐτοὺς τό· „συμφέρει[1]) αὐτῷ, ἵνα κρεμασθῇ μύλος[2]) ὀνικὸς εἰς τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης.“ Ταῦτα λελέχθω κατὰ τὰ ἐκκείμενα τοῦ Ματθαίου ῥητά.

19. Ἴδωμεν δὲ καὶ τὰ παραπλήσια ἀπὸ τῶν λοιπῶν. Μάρκος[3]) τοίνυν φησὶν, ὅτι διελέχθησαν ἐν τῇ ὁδῷ οἱ δώδεκα, τίς αὐτῶν μείζων ἐστί· διὸ καὶ καθίσας ἐφώνησεν αὐτοὺς, καὶ διδάσκει τίς ὁ μείζων, λέγων πρωτείων ὡς μείζονα τεύξεσθαι τὸν γενόμενον πάντων διὰ τῆς μετριότητος καὶ τῆς ἐπιεικείας ἔσχατον, ὥστε τὸν μὲν τοῦ διακονουμένου μὴ αναδέξασθαι τόπον, τὸν δὲ τοῦ διακονοῦντος, καὶ τοῦτον οὐ πρός τινας μὲν, τινὰς δ' οὒ, ἀλλὰ πρὸς πάντας ἁπαξαπλῶς· πρόσχες γὰρ τῷ· „εἴ τις θέλει[4]) πρῶτος γενέσθαι, ἔσται[5]) πάντων ἔσχατος καὶ πάντων διάκονος.“ Καὶ ἑξῆς τούτοις φησὶν, ὅτι: „λαβὼν[6]) παιδίον,“ — δηλονότι ὁ Ἰησοῦς, — „ἔστη-

---

[1]) Matth. XVIII, 6. Ed. Lachm., cfr. p. 242. not. 2., περὶ τὸν τράχηλον αὐτοῦ.

[2]) H. et R. hoc quoq. loco, cfr. p. 242. not. 3., μῦλος.

[3]) Marc. IX, 33. 34.

[4]) Marc. IX, 34. Edd. N. T. εἶναι pro γενέσθαι.

[5]) H. ad marg., R. in notis: „Cod. Regius: ἔστω.“

[6]) Marc. IX, 35. Edd. N. T. ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν.

σεν ἐν μέσῳ τῶν μαθητῶν αὐτοῦ,[1]) *καὶ ἐναγκαλισάμενος αὐτὸ, εἶπεν αὐτοῖς· ὃς*[2]) *ἐὰν ἓν τῶν παιδίων δέξηται ἐπὶ τῷ ἐμῷ ὀνόματι, ἐμὲ δέχεται.“ Ποῖον δὲ ἔλαβε παιδίον καὶ ἐνηγκαλίσατο ὁ Ἰησοῦς κατὰ τὸν βαθύτερον ἐν τοῖς τόποις λόγον; ἢ τὸ ἅγιον πνεῦμα; Καὶ τούτῳ γε τῷ παιδίῳ ἐξωμοιώθησάν τινες, περὶ ὧν εἶπε τό· „ὃς*[3]) *ἐὰν ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται.“ Κατὰ μέντοι τὸν Λουκᾶν, διαλογισμὸς*[4]) *εἰς τοὺς μαθητὰς οὐκ ἀναβέβηκεν, ἀλλ᾽ εἰσῆλθε περὶ τοῦ· τίς αὐτῶν εἴη μείζων. Καὶ ἰδὼν*[5]) *ὁ Ἰησοῦς τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν, ἅτε ἔχων ὀφθαλμοὺς διαλογισμοὺς καρδιῶν βλέποντας, ἰδὼν τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν, οὐδὲ ἐρωτηθεὶς,*[6]) — *κατὰ τὸν Λουκᾶν,* — *ἔλαβε τὸ παιδίον, καὶ „ἔστησεν,“ οὐ μόνον ἐν μέσῳ αὐτῶν, ὡς ὁ Ματθαῖος καὶ ὁ Μάρκος εἰρήκασιν, ἀλλ᾽ ἤδη καὶ „παρ᾽ ἑαυτῷ,“ καὶ εἶπε τοῖς μαθηταῖς οὐ μόνον τό· „ὃς*[7]) *ἐὰν δέξηται ἓν παιδίον τοιοῦτο·“ ἤ· „ὃς*[8]) *ἐὰν ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται·“ ἀλλ᾽ ἤδη καὶ ἐπαναβεβηκότως τό· „ὃς*[9]) *ἐὰν δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται.“ Χρὴ οὖν, κατὰ τὸν Λουκᾶν, ἐκεῖνο τὸ παιδίον, οὗ λαβόμενος ὁ Ἰησοῦς ἔστησεν αὐτὸ παρ᾽ ἑαυτῷ, δέξασθαι ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ. Καὶ οὐκ οἶδα, εἰ δύναταί τις μὴ τροπολογῆσαι*

---

[1]) Ed. Huetii: *αὑτοῦ*, ed. Ruaei: *αὐτοῦ.*

[2]) Marc. IX, 36. Edd. N. T. *ὃς ἂν* (ed. Knapp. *ἐὰν*) *ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται.* — Cfr. pag. huj. not. 3.

[3]) Marc. IX, 36. coll. pag. huj. not. 2.

[4]) Luc. IX, 46.

[5]) Ibid. IX, 47.

[6]) H. et R. h. l. *ἐρωθηθείς.*

[7]) Matth. XVIII, 5. coll. pag. 241. not. 3.

[8]) Marc. IX, 36. coll. pag. huj. not. 2. et 3.

[9]) Luc. IX, 48. Ed. Lachm. *ὃς ἂν δέξηται κ. τ. λ.*

τό· „ὃς[1]) ἐὰν δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου.“ Χρὴ γὰρ ἐκεῖνο τὸ παιδίον, ὃ τότε ἔστησεν ὁ Ἰησοῦς παρ᾽ ἑαυτῷ λαβόμενος αὐτοῦ, δέξασθαι ἕκαστον ἡμῶν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ· ζῇ γὰρ ὡς ἀθάνατον, καὶ χρὴ αὐτὸ ἀπ᾽ αὐτοῦ τοῦ Ἰησοῦ δέξασθαι ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ· οὗ μὴ χωριζόμενος ὁ Ἰησοῦς γίνεται παρὰ τῷ δεχομένῳ τὸ παιδίον, ὡς κατὰ τοῦτο λελέχθαι τό· „ὃς ἐὰν[2]) δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται.“ Εἶτ᾽ ἐπεὶ ἀχώριστός ἐστι τοῦ υἱοῦ ὁ πατὴρ, γίνεται παρὰ τῷ δεξαμένῳ τὸν υἱόν. Διὸ λέλεκται· „καὶ[3]) ὃς ἐὰν ἐμὲ δέξηται, δέχεται τὸν ἀποστείλαντά με.“ Ὁ δὲ δεξάμενος τὸ παιδίον, καὶ τὸν Σωτῆρα, καὶ τὸν ἀποστείλαντα αὐτὸν, μικρότερός ἐστιν ἐν πᾶσι τοῖς Ἰησοῦ μαθηταῖς, ἑαυτὸν σμικρύνων. Ὅσον δὲ ἑαυτὸν σμικρύνει, τοσοῦτον γίνεται μέγας, αὐτοῦ τοῦ ἐπιπλεῖον σμικρύνειν αὐτὸν καὶ ποιοῦντος ἐπιδιδόναι εἰς μέγεθος· πρόσχες γὰρ τῷ· „ὁ μικρότερος[4]) ἐν πᾶσιν ὑμῖν ὑπάρχων, οὗτός ἐστι μέγας·“ ἀνέγνωμεν δὲ καὶ ἐν ἄλλοις·[5]) „οὗτος ἔσται μέγας.“ Κατὰ δὲ τὸν Λουκᾶν, ἐὰν μή τις δέξηται[6]) τὴν τοῦ Θεοῦ βασιλείαν ὡς τὸ παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. Καὶ ἔστιν ἀμφίβολος ἡ λέξις, ἢ γὰρ ἵνα ὁ δεχόμενος τὴν τοῦ Θεοῦ βασιλείαν γένηται ὡς παιδίον, ἢ ἵνα τὴν τοῦ Θεοῦ βασιλείαν παραδέξηται γενομένην αὐτῷ ὡς παιδίον. Καὶ τάχα ἐνταῦθα μὲν οἱ δεχόμενοι τὴν τοῦ Θεοῦ βασιλείαν δέχονται αὐτὴν οὖσαν ὡς παιδίον, ἐν δὲ τῷ μέλλοντι αἰῶνι οὐκέτι ὡς παιδίον, καὶ τὸ μέγεθος τῆς τελειότητος ἐν τῇ, ἵν᾽ οὕτως ὀνο-

---

[1]) Luc. IX, 48. coll. pag. 246. not. 9.
[2]) Luc. IX, 48. coll. pag. huj. not. 1.
[3]) Luc. IX, 48.
[4]) Luc. IX, 48. Ed. Knapp. οὗτος ἔσται μέγας.
[5]) H. et R. ἄλλοις, καί· ἔσται μέγας.
[6]) Luc. XVIII, 17. coll. edd. N. T.

μάσω, πνευματικῇ ἡλικίᾳ, ἐπιδεικνυμένης[1]) *πᾶσι τοῖς ἐπὶ τοῦ παρόντος παραδεξαμένοις αὐτὴν, οὖσαν ἐνταῦθα ὡς παιδίον.*

20. „*Οὐαὶ*[2]) *τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων.*“ *Κατ' αὐτὴν μὲν καὶ ἀπολελυμένως εἴρηται ἡ* „*κόσμος*“ *φωνὴ*[3]) *ἐν τῷ·* „*ἐν*[4]) *τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω·*“ *κατὰ δὲ τὴν πρός τι σχέσιν μετὰ τῆς πρὸς ἐκεῖνο ἐπιπλοκῆς, οὗ κόσμος ἐστὶν, ὠνόμασται*[5]) *ἐν τῷ·* „*μὴ ἀναβλέψας*[6]) *εἰς τὸν οὐρανὸν, καὶ ἰδὼν τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ, πλανηθεὶς προσκυνήσῃς αὐτοῖς, καὶ λατρεύσῃς αὐτοῖς.*“ *Τὸ δ' ὅμοιον φήσεις ἐν τῇ Ἐσθὴρ λελέχθαι περὶ αὐτῆς, ὅτε γέγραπται·* „*περιελομένη*[7]) *πάντα τὸν κόσμον αὐτῆς·*“ *οὐ γὰρ ταὐτόν ἐστιν ἁπλῶς ὁ κόσμος, καὶ ὁ κόσμος τοῦ οὐρανοῦ, ἢ ὁ κόσμος τῆς Ἐσθήρ· τὸ δὲ νῦν ἡμῖν ζητούμενον, ἄλλο. Νομίζω οὖν, ὅτι οὐ τὸ ἐξ οὐρανοῦ καὶ γῆς σύστημά ἐστι, κατὰ τὰ θεῖα γράμματα, ὁ κόσμος, ἀλλ' ὁ περίγειος μόνος τόπος, καὶ οὗτος οὐ καθ' ὅλην νοούμενος τὴν γῆν, ἀλλ' ὁ κατὰ τὴν ἡμετέραν οἰκουμένην· ἐν τῷ κόσμῳ γὰρ ἦν τὸ ἀληθινὸν φῶς, τῷ περιγείῳ τόπῳ τῷ κατὰ ἡμετέραν νοουμένῳ.* „*Καὶ*[8]) *ὁ κόσμος αὐτὸν οὐκ ἔγνω·*“ *οἱ ἐν τῷ περιγείῳ τόπῳ*

---

[1]) H. et R. in textu: *ἐπιδεικνυμένοις;* iidem tamen, H. ad marg., R. in notis: „lege *ἐπιδεικνυμένης.*“ — Huet. insuper in notis: „Cod. Regius: *ἐπιδεικνύμενος.* Lege etc.“

[2]) Matth. XVIII, 7.

[3]) H. et R. in textu quidem: *φωνὴ, ἐν τῷ κόσμῳ ἦν, κ. τ. λ.*, iidem tamen, ille ad marg., hic in notis: „legendum videtur *φωνὴ ἐν τῷ· ἐν τῷ κόσμῳ ἦν.*“

[4]) Ev. Joann. I, 10. coll. edd. N. T.

[5]) Ed. Ruaei: *ἐστὶ ὠνόμασται κ. τ. λ.*

[6]) Deut. IV, 19. coll. LXX. virorum versione.

[7]) Esth. XIV, 2.

[8]) Ev. Joann. I, 10.

ἄνθρωποι, τάχα δὲ καὶ αἱ οἰκεῖαι τῷ χωρίῳ τούτῳ δυνάμεις. Ἄτοπον γὰρ λέγειν τὸ ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν αὐτοῖς σύστημα· ὥστ᾽ εἰπεῖν ἂν, ὅτι ἥλιος, καὶ σελήνη, καὶ ὁ χορὸς τῶν ἀστέρων, καὶ οἱ ἐν ὅλῳ τῷ κόσμῳ τούτῳ ἄγγελοι οὐκ ἔγνωσαν τὸ ἀληθινὸν φῶς, καὶ ἀγνοοῦντες αὐτὸ ἐτήρησαν τὴν ἐπιτεταγμένην αὐτοῖς ἀπὸ Θεοῦ τάξιν. Ἀλλὰ καὶ ὅταν λέγηται ὑπὸ τοῦ Σωτῆρος ἐν τῇ πρὸς τὸν πατέρα εὐχῇ· „καὶ [1]) νῦν δόξασόν με, πάτερ, [2]) παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ [3]) εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί·“ χρὴ ἀκούειν, κόσμον λέγεσθαι τὴν καθ᾽ ἡμᾶς ἐπὶ γῆς οἰκουμένην· ἀπὸ γὰρ τούτου τοῦ κόσμου ἔδωκε τῷ υἱῷ ὁ πατὴρ ἀνθρώπους, περὶ ὧν ὁ Σωτὴρ ἐρωτᾷ τὸν πατέρα μόνων, [4]) καὶ οὐ περὶ τοῦ κόσμου ὅλου τῶν ἀνθρώπων. Ἀλλὰ καὶ ὁ Σωτὴρ λέγων· „κἀγὼ [5]) πρὸς σὲ ἔρχομαι, καὶ οὐκέτι εἰμὶ ἐν τῷ κόσμῳ·“ τὸν ἐπίγειον λέγει κόσμον· οὐ γὰρ νομιστέον, τὰ ἀντικείμενα αὐτὸν λέγειν φάσκοντα· „κἀγὼ πρὸς σὲ ἔρχομαι, καὶ οὐκέτι εἰμὶ ἐν τῷ κόσμῳ·“ καί· „ἐν τῷ κόσμῳ εἰμί.“ Ἀλλὰ καὶ ἐν τῷ· „καὶ [6]) ταῦτα λαλῶ ἐν τῷ κόσμῳ·“ τὸν περίγειον τόπον νομιστέον. Σαφῶς δὲ οὗτος σημαίνεται καὶ ἐκ τοῦ· „καὶ ὁ κόσμος ἐμίσησεν αὐτοὺς, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου.“ Ἐμίσησε γὰρ ἡμᾶς ἐξ οὗ μηκέτι σκοποῦμεν τὰ βλεπόμενα, [7]) ἀλλὰ τὰ μὴ βλεπόμενα, διὰ τὴν Ἰησοῦ διδασκαλίαν, οὐ κόσμος ἐξ οὐρανοῦ, καὶ γῆς, καὶ τῶν ἐν αὐτοῖς συνεστηκὼς πᾶς, ἀλλ᾽ οἱ ἐπὶ γῆς μεθ᾽ ἡμῶν ἄνθρωποι. Τὸ [8])

---

[1]) Ev. Joann. XVII, 5. Edd. N. T. σὺ πάτερ.
[2]) H. et R. πατέρ.
[3]) Ed. Huet. ᾗ, ed. R. ἣν.
[4]) Cod. Regius: μόνον. H. et R.
[5]) Ev. Joann. XVII, 11. coll. edd. N. T.
[6]) Ibid. XVII, 13. — 14.
[7]) II Cor. IV, 18.
[8]) H. et R. in textu quidem: Τό· οὐκ εἰσίν κ. τ. λ.,

δέ· „οὐκ εἰσὶν ἐκ τοῦ κόσμου·“ ἴσόν ἐστι τῷ, οὐκ εἰσὶν ἐκ τοῦ περιγείου τόπου. Οὕτω δὲ καὶ οἱ τοῦ Ἰησοῦ μαθηταὶ ἐκ τοῦ κόσμου οὐκ εἰσὶν, ὡς οὐδ᾽ αὐτὸς ἐκ τοῦ κόσμου ἦν. Ἔτι δὲ καὶ τό· „ἵνα[1]) ὁ κόσμος πιστεύσῃ, ὅτι σύ με ἀπέστειλας·“ δὶς εἰρημένον ἐν τῷ κατ᾽ Ἰωάννην, οὐκ ἀναφέρεται ἐπὶ τὰ κρείττονα τῶν ἀνθρώπων, ἀλλ᾽ ἐπὶ τοὺς χρήζοντας πιστεύειν ἀνθρώπους, ὅτι ὁ πατὴρ τὸν υἱὸν εἰς τὸν τῇδε κόσμον ἀπέστειλε. Καὶ παρὰ τῷ ἀποστόλῳ δέ· „ἡ πίστις[2]) ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ.“

21. Εἰ δὲ „οὐαὶ“ τοῖς πανταχοῦ τῆς γῆς ἀνθρώποις „ἀπὸ τῶν σκανδάλων,“ ὧν καὶ τὰ σκάνδαλα ἅπτεται, οὐκ εἰσὶ δὲ οἱ μαθηταὶ ἐκ τοῦ κόσμου, μὴ σκοποῦντες τὰ βλεπόμενα, καθὼς οὐδὲ ὁ διδάσκαλος ἐκ τοῦ κόσμου ἐστὶν, οὐδενὶ τῶν μαθητῶν τοῦ Ἰησοῦ ἐστιν „ἀπὸ τῶν σκανδάλων οὐαὶ,“ ἐπείπερ ἐστὶν „εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν[3]) νόμον τοῦ θεοῦ, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον.“ Εἰ δέ τις δοκεῖ μὲν χρηματίζειν μαθητὴς, ἔτι δέ ἐστιν ἐκ τοῦ κόσμου, διὰ τὸ ἀγαπᾷν τὸν κόσμον, καὶ τὰ ἐν αὐτῷ, λέγω δὲ τὴν ἐν τῷ περιγείῳ τόπῳ ζωὴν, καὶ τὰ ἐν αὐτῷ χρήματα, ἢ κτήματα, ἢ ὁποιανποτοῦν περιουσίαν, ὡς μὴ ἁρμόζειν αὐτῷ τό· „ἐκ[4]) τοῦ κόσμου οὐκ εἰσίν·“ ἀλλ᾽ ὡς ἐκ τοῦ κόσμου ὄντι τούτῳ τὸ τῷ κόσμῳ συμβαῖνον· „οὐαὶ[5]) ἀπὸ τῶν σκανδάλων“ συμβήσεται αὐτῷ. Ὁ δὲ θέλων ἐκκλῖναι

---

in vers. autem: *id autem: „non sunt“* etc. Cfr. ev. Joann. XVII, 14. — 16.

[1]) Ev. Joann. XVII, 21. coll. 23.

[2]) Rom. I, 8.

[3]) H. in textu: *τὸν νόμον κ. τ. λ.*, R. *νόμον κ. τ. λ.*, iidem in notis: „Cod. Regius: **τὸν Θεόν.**“ Cfr. Psalm CXIX, 165. (CXVIII.)

[4]) Ev. Joann. XVII, 16.

[5]) Matth. XVIII, 7.

τὸ οὐαὶ τοῦτο, μὴ ἔστω φιλόζωος, ἀλλὰ λεγέτω κατὰ Παῦλον· „ἐμοὶ[1]) κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ·“ οἱ γὰρ ὄντες ἐν τῷ σκήνει[2]) ἅγιοι στενάζουσι βαρούμενοι[3]) ἀπὸ τοῦ τῆς ταπεινώσεως σώματος, καὶ πάντα πράττουσιν, ἵνα ἄξιοι γένωνται εὑρεθῆναι ἐν τῷ τῆς ἀναστάσεως μυστηρίῳ, ὅτε[4]) μετασχηματίσει ὁ θεὸς, οὐ πάντων τὸ σῶμα τῆς ταπεινώσεως, ἀλλὰ τῶν Χριστῷ γνησίως μαθητευομένων, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον[5]) τῷ σώματι τῆς δόξης τοῦ Χριστοῦ. Ὥσπερ γὰρ οὐδὲν τῶν οὐαὶ συμβαίνει τινὶ τῶν Χριστοῦ μαθητῶν, οὕτως οὐδὲ τό· „οὐαὶ[6]) τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων“ ἵνα γὰρ καὶ μυρία σκάνδαλα γίνηται, ἀλλ' οὐχ ἅψεται τῶν οὐκέτι ἐκ τοῦ κόσμου. Εἰ δὲ ἐπιδέχεταί τις τὸ σκανδαλίζεσθαι παρὰ τὸ ἀνερμάτιστον τῆς πίστεως, καὶ ἀβέβαιον τῆς πρὸς τὸν λόγον τοῦ θεοῦ συγκαταβάσεως, ἴστω μηδέπω χρηματίζων παρὰ τῷ Ἰησοῦ μαθητὴς αὐτοῦ. Τοσαῦτα δὲ ἔρχεσθαι νομιστέον σκάνδαλα, ὥστε τὸ οὐαὶ μὴ ἐπί τινα μόρια[7]) τῆς γῆς φθάνειν, ἀλλ' ἐπὶ τὸν ὅλον ἐν αὐτῇ κόσμον.

22. „Καὶ ἀνάγκη[8]) ἐστὶν ἐλθεῖν τὰ σκάνδαλα,“ ἅπερ ἄλλα νομίζω εἶναι τῶν ἀνθρώπων δι' ὧν ἔρχεται.

---

[1]) Gal. VI, 14. Ed. Lachm. κἀγὼ κόσμῳ.

[2]) II Cor. V, 4.

[3]) Cod. Regius: βαρυνόμενοι. H. et R.

[4]) Cod. Holm. ὅτε μετασχηματίζει, Cod. Reg. ὅτι (R. scripsit: ὅτε) μετασχηματίσει. H. et R. — Cfr. Philipp. III, 21.

[5]) H. et R. in textu: σύμμορφον τῆς δόξης κ. τ. λ., H. in notis: „vetus interpres: *ut fiat conforme corpori gloriae Christi.* Phil. III, 21. σύμμορφον τῷ σώματι τῆς δόξης κ. τ. λ.“

[6]) Matth. XVIII, 7.

[7]) Cod. Tarini: μόρια. Ed. Huetii: μυρία. Mox idem Ms. ἐπὶ τὸν ὅλον ἐν αὐτῇ. In (textu) ed. Huet. deest τὸν ὅλον. R. — Huet. ad oram: „scrib. τόν.“

[8]) Matth. XVIII, 7. coll. edd. N. T. et pag. 253. not. 1.

Τὰ οὖν ἐρχόμενα σκάνδαλα στρατιά τίς ἐστι τοῦ διαβόλου, ἄγγελοι αὐτοῦ, καὶ μοχθηρὸς χορὸς πνευμάτων ἀκαθάρτων, ἅπερ ζητοῦντα ὄργανα, δι' ὧν ἐνεργήσει, εὑρίσκει πολλάκις μὲν τοὺς πάντη ξένους τῆς εὐσεβείας, ἔσθ' ὅτε δὲ καὶ τῶν νομιζομένων τινὰς πιστεύειν τῷ λόγῳ τοῦ θεοῦ, οἷς χεῖρόν ἐστι τὸ οὐαὶ παρὰ τὸ οὐαὶ τῷ σκανδαλιζομένῳ, ὥσπερ καὶ Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον[1]) *ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἤπερ τοῖς τόποις, ἔνθα ἐποίησε μὲν σημεῖα ὁ Ἰησοῦς καὶ τέρατα, οὐκ ἐπιστεύθη δέ. Δυνηθείη δ' ἄν τις ὥσπερ πραγματείαν ποιῆσαι ἀπὸ τῶν γραφῶν ἐκ τῆς μακαριζομένων, καὶ ἐφ' οἷς μακαρίζονται συναγωγῆς, οὕτω καὶ ἐκ τῶν γεγραμμένων „οὐαὶ,“ καὶ τῶν ἐφ' οἷς λέλεκται τὸ „οὐαί.“ Ἔτι δὲ καὶ εἰς τὸ χεῖρον εἶναι τὸ ἀπὸ τοῦ σκανδαλίζοντος „οὐαὶ“ παρὰ τὸ τοῦ σκανδαλιζομένου παραστήσεις τό· „ὃς*[2]) *δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμὲ, συμφέρει αὐτῷ,“ καὶ τὰ ἑξῆς· ἐκδικουμένου*[3]) *γὰρ τοῦ σκανδαλισθέντος μικροῦ ἀπὸ τοῦ σκανδαλίσαντος αὐτὸν, τοιοῦτον συμφέρει βαρὺ καὶ δυσυπομόνητον ὃ ἀναγέγραπται εἶναι περὶ τοῦ σκανδαλίζοντος. Ταῦτα δὲ εἰ ἐπιμελέστερον ἐννοοῦμεν, ἐφυλαξάμεθα ἂν ἁμαρτάνειν*[4]) *εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτειν αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, ἵνα μὴ εἰς Χριστὸν ἁμαρτάνωμεν, πολλάκις ἀπολλυμένων οὐ μόνον τῇ ἡμετέρᾳ γνώσει, ἀλλὰ καὶ ἄλλοις τισὶ τῶν περὶ ἡμᾶς ἀδελφῶν, δι' οὓς ὁ Χριστὸς ἀπέθανεν, ἐφ' οἷς εἰς Χριστὸν ἁμαρτάνοντες τίσομεν δίκας, ἐκδικουμένης*[5]) *τῆς τῶν δι' ἡμᾶς ἀπολλυμένων ψυχῆς ἐξ ἡμῶν.*

23. *Μετὰ ταῦτα βασανιστέον τὸ „τῆς ἀνάγκης“ ὑ-*

---

[1]) Matth. XI, 22.

[2]) Matth. XVIII, 6.

[3]) Ed. Coloniensis minus recte: *ἐνδικουμένου.*

[4]) I Cor. VIII, 11. 12.

[5]) Ed. R. h. l., cfr. pag. huj. not. 3., *ἐνδικουμένης.*

νομα ἐν τῷ· „ἀνάγκη[1]) γάρ ἐστιν ἐλθεῖν τὰ σκάνδαλα·“ καὶ τὸ ἰσοδυναμοῦν αὐτῷ παρὰ τῷ Λουκᾷ· „ἀνένδεκτόν[2]) ἐστι τοῦ μὴ ἐλθεῖν τὰ σκάνδαλα·“ ἀντὶ τοῦ „ἀδύνατον.“ Καὶ ὥσπερ ἀνάγκη τὸ θνητὸν ἀποθνήσκειν, καὶ ἀνένδεκτον αὐτὸ μὴ ἀποθανεῖν, καὶ ἀνάγκη τρέφεσθαι τὸν ἐν σώματι· — ἀνένδεκτον γὰρ τὸν μὴ τρεφόμενον ζῆν· — οὕτως ἀνάγκη καὶ ἀνένδεκτον μὴ ἐλθεῖν τὰ σκάνδαλα, ἐπεὶ ἀνάγκη καὶ προϋφεστάναι τὴν κακίαν τῆς ἀρετῆς ἐν ἀνθρώποις, ἀφ᾿ ἧς κακίας τὰ σκάνδαλα· ἀνένδεκτον γάρ ἐστιν ἄνθρωπον εὑρεθῆναι πάντη ἀναμάρτητον, καὶ χωρὶς ἁμαρτίας ἀνειληφότα τὴν ἀρετήν. Ἡ γὰρ ἐν ταῖς πονηραῖς δυνάμεσι κακία, ἀρχηγικὴ τυγχάνουσα τῆς ἐν ἀνθρώποις κακίας, πάντως[3]) ὁρμᾷ ἐπὶ τὸ διά τινων ὀργάνων ἐνεργῆσαι κατὰ τῶν τοῦ κόσμου ἀνθρώπων. Τάχα δὲ καὶ πλεῖον αἱ πονηραὶ δυνάμεις ἐξαγριοῦνται ἐκβαλλόμεναι τῷ λόγῳ τοῦ Ἰησοῦ, καὶ μειουμένης τῆς λατρείας αὐτῶν, τῶν ἐθίμων θυσιῶν αὐτοῖς οὐ προσφερομένων, καὶ ἀνάγκη ἐστὶ ταῦτα ἐλθεῖν, οὐκ ἀνάγκη δὲ διὰ τοῦδέ τινος·[4]) διόπερ ὡς τόπον δεδωκότι τῇ πονηρᾷ ἐνεργείᾳ σκανδαλίζειν προαιρουμένῃ, τῷ ἀνθρώπῳ, δι᾿ οὗ τὸ σκάνδαλον ἔρχεται, γίνεται τὸ „οὐαί.“ Μὴ νομίσῃς δὲ φύσει τινά,[5]) καὶ ἐκ κατασκευῆς τὰ σκάνδαλα εἶναι ἀνθρώπους ζητοῦντα δι᾿ ὧν ἔλθῃ· ὡς γὰρ ὁ θεὸς θάνατον οὐκ ἐ-

---

[1]) Matth. XVIII, 7. Ed. Lachm. ἀνάγκη γὰρ ἐλθεῖν τά κ. τ. λ. Cfr. pag. 251. not. 8.

[2]) Luc. XVII, 1.

[3]) H. et R. in textu πάντας. Iidem, H. ad oram: „scrib.,“ R. in notis: „„forte scribendum πάντως.““

[4]) H. et R. in textu: τουδετινός.

[5]) H. et R. in textu: τινάς; H. tamen ad oram: „scribas τινά.“ Idem in notis: „vetus interpres: *ne putes in natura aliqua, vel in substantia esse scandala, quae homines quaerunt, per quos operentur.* Legebat τινά, quod pertinet ad σκάνδαλα, et vera lectio est.“

ποίησεν, οὕτως οὐδὲ σκάνδαλα ἔκτισεν, ἀλλὰ τὸ αὐτεξούσιον ἐγέννησεν ἔν τισι τὸ σκάνδαλον, μὴ βουληθεῖσιν ἀνατλῆναι τοὺς ὑπὲρ ἀρετῆς πόνους.

24. Καὶ καλὸν μὲν οὖν, εἰ ἐπαινετὸς εἴη ὁ ὀφθαλμὸς καὶ ἡ χεὶρ, ἵνα μὴ δύνηται εὐλόγως[1]) εἰπεῖν ὁ ὀφθαλμὸς τῇ χειρί· „χρείαν σου οὐκ ἔχω.“ Εἰ δέ τις ἐν τῷ ὅλῳ σώματι τῶν συναγωγῶν τῆς ἐκκλησίας, χεὶρ χρηματίσας διὰ τὸ πρακτικὸν, μεταβαλὼν γένοιτο σκανδαλίζουσα χεὶρ, λεγέτω τῇ τοιαύτῃ χειρὶ ὁ ὀφθαλμός· „χρείαν σου οὐκ ἔχω·“ καὶ εἰπὼν ἐκκοψάτω[2]) αὐτὴν, καὶ βαλέτω ἀφ᾽ ἑαυτοῦ· οὕτω δὲ καλὸν μὲν, εἰ καὶ κεφαλή τις εἴη μακαρία, καὶ πόδες ἄξιοι τῆς μακαρίας κεφαλῆς, ἵνα μὴ δύνηται τὰ πρέποντα ἑαυτῇ τηροῦσα ἡ κεφαλὴ τοῖς ποσὶν εἰπεῖν· „χρείαν ὑμῶν οὐκ ἔχω.“ Εἰ μέντοι τις εὑρεθείη ποὺς σκάνδαλον τοῦ ὅλου γινόμενος σώματος, λέγετω ἡ κεφαλὴ τῷ τοιούτῳ ποδί· „χρείαν σου οὐκ ἔχω·“ καὶ ἐκκόψας αὐτὸν βαλέτω[3]) ἀφ᾽ ἑαυτοῦ· καὶ γὰρ πολλῷ βέλτιον ἐλθεῖν εἰς τὴν ζωὴν τὸ λοιπὸν σῶμα, λεῖπον τῷ σκανδαλίσαντι ποδὶ ἢ τῇ σκανδαλισάσῃ χειρὶ, ἤπερ διαδοθέντος τοῦ σκανδάλου ἐπὶ ὅλον τὸ σῶμα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρὸς μετὰ τῶν δύο ποδῶν, ἢ τῶν δύο χειρῶν. Οὕτω δὲ καλὸν μὲν, τὸν δυνηθέντα γενέσθαι ὀφθαλμὸν τοῦ ὅλου σώματος ἄξιον εἶναι Χριστοῦ, καὶ τοῦ ὅλου σώματος. Εἰ μέντοι μεταβάλοι ποτὲ ὁ τοιοῦτος ὀφθαλμὸς εἰς τὸ γενέσθαι αὐτὸν σκάνδαλον τοῦ ὅλου σώματος, καλὸν αὐτὸν ἐξελόντα ἔξω βαλεῖν τοῦ σώματος ὅλου, καὶ χωρὶς ἐκείνου τοῦ ὀφθαλμοῦ σωθῆναι τὸ λοιπὸν σῶμα, ἢ μετ᾽ αὐτοῦ, ὅ-

---

1) H. ad oram: „Cod. Regius: *ἀλλήλοις εὐλόγως κ. τ. λ.*,“ R. in notis: „Cod. Reg. *ἀλλήλοις εἰπεῖν.*“ — II Cor. XII, 21.

2) Matth. XVIII, 8.

3) H. et R. h. l., cfr. pag. huj. not. 2., *βαλέτω ἀπ᾽ αὐτοῦ.*

λου βεβλαμμένου τοῦ σώματος, βληθῆναι ὅλον[1]) τὸ σῶμα εἰς τὴν γέενναν τοῦ πυρός· δύναται γὰρ καὶ τὸ ἁμαρτητικῶς μὲν, ἵν' οὕτως[2]) ὀνομάσω, πορευτικὸν τῆς ψυχῆς, ἁμαρτητικῶς δὲ διορατικὸν ἡ σκανδαλίζουσα εἶναι χείρ, καὶ ὁ σκανδαλίζων ποὺς, καὶ ὁ σκανδαλίζων ὀφθαλμὸς, ἅτινα κρεῖττον ἀποβαλεῖν, καὶ ἀποθέμενον αὐτὰ χωρὶς αὐτῶν εἰσελθεῖν εἰς τὴν ζωὴν, οἱονεὶ χωλὸν, ἢ κυλλὸν, ἢ μονόμματον, ἢ μετ' ἐκείνων τὴν ὅλην ἀπολέσαι ψυχήν. Ὁμοίως καὶ ἐπὶ τῆς ψυχῆς καλὸν καὶ μακάριον, ἐπὶ τοῖς βελτίστοις χρῆσθαι τῇ δυνάμει αὐτῆς· εἰ δὲ μέλλομεν διά τινα μίαν ἀπολέσθαι, αἱρετώτερον ἀποβαλεῖν τὴν χρῆσιν αὐτῆς, ἵνα μετὰ τῶν ἄλλων δυνάμεων σωθῶμεν.

25. Δυνατὸν δὲ τοῖς ῥητοῖς τούτοις χρήσασθαι καὶ ἐπὶ τῶν οἰκειοτάτων, καὶ ὡσπερεὶ μελῶν ἡμῶν, διὰ τὴν πολλὴν οἰκειότητα, εἴτε συγγενικὴν, εἴτε ἔκ τινος συνηθείας, ἵν' οὕτως ὀνομάσω, φιλικῆς, μελῶν ἡμῶν νενομισμένων, ὧν οὐ χρὴ φείσασθαι τὴν ψυχὴν ἡμῶν βλαπτόντων. Ἐκκόψωμεν γὰρ ἀφ' ἑαυτῶν ὡς χεῖρα, ἢ πόδα, ἢ ὀφθαλμὸν, πατέρα ἢ μητέρα τὰ ἐναντία τῇ θεοσεβείᾳ ἡμᾶς πράττειν θέλοντας· καὶ υἱὸν ἢ θυγατέρα, τὸ ὅσον

---

[1]) Cod. Reg.: ὅλον βεβλαμμένον τὸ σῶμα. H. et R.

[2]) H. et R. in textu quidem: οὕτως ὀνομάσω, πορευτικὸν τῆς ψυχῆς, ἁμαρτητικῶς δὲ διορατικὸν ἡ σκανδαλίζουσα κ. τ. λ., H. tamen in notis: „vetus interpres: *potest tamen et sic intelligi, ut actus animae peccans, manus intelligatur; et incessus animae peccans, pes; et visus animae peccans, oculus.* Ὁ σκανδαλίζων ὀφθαλμός respondet τῷ διορατικῷ; πούς, τῷ πορευτικῷ, χείρ vero nihil (πορευτικόν?) habet, ad quod referri possit. Supra tamen id legitur: εἰ δέ τις —, χεὶρ χρηματίσας διὰ τὸ πρακτικόν (cfr. pag. 254. lin. 6. sqq.). Itaque sic locum hunc concinnare queas: δύναται γὰρ — ὀνομάσω, πρακτικὸν τῆς ψυχῆς, καὶ τὸ ἁμαρτητικῶς πορευτικὸν τῆς ψυχῆς κ. τ. λ."

ἐφ' ἑαυτῶν[1]) *ἀφιστάντας ἡμᾶς τῆς ἐκκλησίας τοῦ Χριστοῦ, καὶ τῆς ἀγάπης αὐτοῦ. Ἀλλὰ κἂν γυνὴ ἡ ἐν κόλπῳ, ἢ φίλος ὁ ἴσος τῆς ψυχῆς, σκάνδαλα ἡμῶν γίνωνται, μὴ φεισώμεθα, ἀλλὰ ἐκκόψαντες αὐτοὺς ἀφ' ἑαυτῶν, βάλωμεν ἔξω τῆς ψυχῆς ἡμῶν, ὡς οὐκ οἰκείους, ἀλλὰ πολεμίους ἡμῶν τῇ σωτηρίᾳ· ὅστις γὰρ οὐ μισεῖ τὸν πατέρα, καὶ*[2]) *τὴν μητέρα, καὶ τὰ ἐπιφερόμενα, ὅτε καιρός ἐστιν αὐτὰ μισεῖν, ὡς πολέμια καὶ ἐπίβουλα, ἵνα δυνηθῇ κερδῆσαι Χριστὸν, οὗτος οὐκ ἔστιν ἄξιος τοῦ υἱοῦ τοῦ θεοῦ. Καὶ ἐπὶ τούτων τε ἔστιν εἰπεῖν, ὅτι ἐκ περιστάσεως οἱονεὶ χωλός τις σώζεται ἀπολέσας πόδα, φέρε εἰπεῖν τὸν ἀδελφὸν, καὶ μόνος κληρονομῶν τὴν βασιλείαν τοῦ θεοῦ, καὶ κυλλὸς σώζεται, μὴ σωζομένου αὐτῷ τοῦ πατρὸς, ἀλλ' ἐκείνων μὲν ἀπολλυμένων, αὐτοῦ δὲ χωριζομένου ἐκείνων, ἵνα μόνος τύχῃ τῶν μακαρισμῶν. Οὕτω δὲ καὶ μονόμματός τις σώζεται, τὸν ὀφθαλμὸν τῆς ἑαυτοῦ οἰκίας ἐκκόψας, τὴν γαμετὴν πορνεύσασαν, ἵνα μὴ δύο ὀφθαλμοὺς ἔχων ἀπέλθῃ εἰς τὴν γέενναν τοῦ πυρός.*

26. „*Ὁρᾶτε*[3]) *μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων.*“ *Δοκεῖ μοι, ὅτι ὥσπερ ἐν τοῖς ἀνθρωπίνοις σώμασίν ἐστι μεγέθη διάφορα, ὥς τινας μὲν εἶναι μικροὺς, ἑτέρους δὲ μεγάλους, καὶ ἄλλους μεταξύ· καὶ πάλιν εἶναι μικρῶν διαφορὰς ἐπὶ πλεῖον ἢ ἔλαττον ὄντων μικρῶν, ὁμοίως καὶ μεγάλων, καὶ τῶν μεταξύ· οὕτως καὶ ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐστί τινα χαρακτηρίζοντα τὴν μικρότητα αὐτῶν, καὶ ἄλλα τὴν,*[4]) *ἵν' οὕτως εἴπω, μεγαλειότητα, καὶ ἁπαξαπλῶς, ἀνάλογον τοῖς σωματι-*

---

[1]) H. et R. *ἐφ' ἑαυτῆς.*

[2]) H. et R. in textu: *ἢ τὴν μητέρα,* in notis: „Cod. Regius: *καὶ τὴν μητέρα.*“ Cfr. Luc. XIV, 26.

[3]) Matth. XVIII, 10.

[4]) *τὴν, — μεγαλειότητα.* Ita Cod. Regius. Cod. Holm. *τὴν οὕτως μεγαλότητα.* H.

κοῖς, τὴν μεταξύτητα. Ἀλλ' ἐπὶ μὲν τῶν σωμάτων, οὐ παρὰ τὴν αἰτίαν τοῦ ἀνθρώπου, ἀλλὰ παρὰ τοὺς σπερματικοὺς λόγους, ὁ μέν τίς ἐστι βραχὺς καὶ μικρὸς, ὁ δὲ μέγας, ὁ δὲ μεταξύ· ἐπὶ δὲ τῶν ψυχῶν, καὶ τὸ ἐφ' ἡμῖν, καὶ αἱ τοιαῖδε πράξεις, καὶ τὸ τοιοῦτον ἦθος τὴν αἰτίαν ἔχει τοῦ μέγαν τινὰ εἶναι, ἢ μικρὸν, ἢ ἐν τοῖς μεταξὺ τυγχάνειν· καὶ ἔστιν ἐκ τῶν ἐφ' ἡμῖν, ἤτοι προκόπτειν τῇ ἡλικίᾳ ἐπιδιδόντα εἰς μέγεθος, ἢ μὴ προκόπτοντα εἶναι βραχύν. Καὶ οὕτω γε ἀκούω περὶ τοῦ Σωτῆρος ἀναλαβόντος ἀνθρωπίνην ψυχὴν τό· „ὁ Ἰησοῦς[1]) προέκοπτεν·" ὡς γὰρ ἐκ τοῦ ἐφ' ἡμῖν τῆς ψυχῆς αὐτοῦ ἦν ἡ ἐν σοφίᾳ προκοπὴ καὶ χάριτι, οὕτως καὶ ἐν ἡλικίᾳ. Καὶ ὁ Ἀπόστολος· „μέχρι[2]) καταντήσωμεν πάντες εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ·" καταντᾷν γὰρ εἰς ἄνδρα, καὶ τοῦτον τέλειον, κατὰ τὸν ἔσω ἄνθρωπον νομιστέον τὸν διαβάντα τὰ τοῦ νηπίου, καὶ φθάσαντα ἐπὶ τὸν ἄνδρα, καὶ καταργήσαντα[3]) τὰ τοῦ νηπίου, καὶ ἁπαξαπλῶς τελειώσαντα τὰ τοῦ ἀνδρός. Οὕτω δ' ὑποληπτέον εἶναί τι καὶ μέτρον πνευματικῆς ἡλικίας, ἐφ' ὃ ἡ τελειοτάτη δύναται φθάσαι ψυχὴ ἐκ τοῦ μεγαλύνειν τὸν κύριον, καὶ μεγάλη γίνεσθαι. Οὕτως οὖν καὶ μεγάλοι μὲν, περὶ ὧν τοῦτ' ἀναγέγραπται, γεγόνασιν Ἰσαὰκ καὶ Μωσῆς καὶ Ἰωάννης, καὶ αὐτὸς ἐπὶ πᾶσιν ὁ Σωτήρ· καὶ γὰρ περὶ αὐτοῦ ὁ Γαβριὴλ[4]) εἶπε τό· „ἔσται μέγας·" μικροὶ δὲ, τὰ ἀρτιγέννητα[5]) βρέφη, λογικὸν, ἄδολον

---

[1]) Luc. II, 52. Edd. N. T. καὶ Ἰησοῦς κ. τ. λ.

[2]) Eph. IV, 13. coll. edd. N. T.

[3]) I Cor. XIII, 11.

[4]) H. et R. in textu: ὁ Σωτὴρ εἶπε κ. τ. λ., iidem in notis: „ita Codd. Holm. et Regius. Vetus interpres: *et ipse Dominus Jesus, de quo Gabriel protestatur;* et revera id a Gabriele dictum est Luc. I, 15. 32." H. ad oram: „scribas Γαβριήλ."

[5]) I Petr. II, 2.

γάλα ἐπιποθοῦντα, οἵτινες καὶ τῶν παρὰ τῷ Ἡσαΐᾳ λεγομένων τιθηνῶν δέονται καὶ τροφῶν, λέγοντι περὶ τῆς ἀπὸ τῶν ἐθνῶν κλήσεως· „καὶ [1]) ἄξουσι τοὺς υἱοὺς ἐν κόλπῳ, τὰς δὲ θυγατέρας ἐπὶ τῶν ὤμων ἀροῦσι. Καὶ ἔσονται βασιλεῖς τιθηνοί σου, αἱ δὲ ἄρχουσαι αὐτῶν τροφοί σου.“ Ἐπιστήσεις οὖν διὰ ταῦτα καὶ τῷ· „μὴ [2]) καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων·“ μήποτε οἱ ἄγγελοι αὐτῶν οἱ ἄγοντες αὐτούς εἰσιν ἐν κόλπῳ, ἐπὰν ὦσιν υἱοὶ, ἀλλὰ καὶ ἐπὶ τῶν ὤμων αἴροντες τὰς λεγομένας θυγατέρας, καὶ ἀπὸ τούτων εἰσὶ τιθηνοὶ μὲν οἱ λεγόμενοι βασιλεῖς, τροφοὶ δὲ αἱ ὀνομαζόμεναι ἄρχουσαι. Καὶ ἐπεὶ οἱ δεικνύμενοι ὑπὸ τοῦ Σωτῆρος ἡμῶν μικροὶ, ὡς ὑπὸ τροφῶν καὶ τιθηνῶν οἰκονομοῦνται, διὰ τοῦτ᾽ οἶμαι καὶ Μωσέα, πιστεύοντα ἐν τῇ τῶν μεγάλων ἤδη τετάχθαι χώρᾳ, εἰρηκέναι πρὸς [3]) τό· „ὁ ἄγγελός μου προπορεύσεται [4]) ὑμῶν·“ τό· „εἰ μὴ [5]) αὐτὸς συμπορεύῃ μετ᾽ ἐμοῦ, μή με ἀναγάγῃς ἐντεῦθεν.“ Εἴπερ γὰρ ὁ μικρὸς μὲν καὶ κληρονόμος ᾖ, νήπιος δὲ ὡς μηδὲν διαφέρων δούλου ὅτε ἐστὶ νήπιος, καὶ ᾗ μικρός ἐστι τὸ τῆς δουλείας [6]) εἰς φόβον ἔχει πνεῦμα· ὁ δὲ μηδαμῶς ἔτι τοιοῦτος, οὐκέτι μὲν τὸ τῆς δουλείας, ἤδη δὲ τὸ τῆς υἱοθεσίας, ὅτε „ἡ τελεία [7]) ἀγάπη ἔξω βάλλει

---

[1]) Jes. XLIX, 22. 23. LXX. interpretes vers. 22. *τοὺς υἱούς σου* et *τὰς δὲ θυγατέρας σου ἐπ᾽ ὤμων ἀροῦσι.*

[2]) Matth. XVIII, 10. Deest h. l., cfr. pag. 256. not. 3., *τούτων* in edd. H. in R.

[3]) Non ad haec verba, quae habentur Exod. XXXII, 34., id responsi dedit Moses, sed ad illa: *αὐτὸς προπορεύσομαί σου, καὶ καταπαύσω σε.* Exod. XXXIII, 14. H.

[4]) Exod. XXXII, 34. LXX. interpretes: *προπορεύσεται πρὸ προσώπου σου.*

[5]) Exod. XXXIII, 15. LXX. interpretes: *εἰ μὴ αὐτὸς σὺ συμπορεύῃ κ. τ. λ.*

[6]) Rom. VIII, 15.

[7]) I Joann. IV, 18.

τὸν φόβον." δῆλον ἔσται σοι, ὅτι κατὰ ταῦτα παρεμβάλλειν[1]) λέγεται ὁ ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύεσθαι αὐτούς. Ἐπιστήσεις δὲ κατὰ ταῦτα καὶ εἰ μικρῶν μέν εἰσιν ἄγγελοι, πνεύματι δουλείας τῶν εἰς φόβον ἀγομένων, ἐπεὶ παρεμβάλλει ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύεται αὐτούς· μεγάλων δὲ ὁ τῶν ἀγγέλων μείζων κύριος, ὅστις λέγοι ἂν περὶ ἑνὸς ἑκάστου αὐτῶν τό· „μετ' αὐτοῦ εἰμι[2]) ἐν θλίψει" καὶ ὅσον ἐσμὲν ἀτελεῖς, καὶ δεόμενοι τοῦ βοηθοῦντος ἡμῖν πρὸς τὸ ῥυσθῆναι ἀπὸ κακῶν, ἀγγέλου δεόμεθα, περὶ οὗ ἔλεγεν ὁ Ἰακὼβ τό· „ὁ ἄγγελος[3]) ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν" τελειωθέντες δὲ, καὶ διελθόντες τὸ ὑπὸ τιθηνοὺς εἶναι, καὶ τροφοὺς, καὶ[4]) οἰκονόμους, καὶ ἐπιτρόπους, χωροῦμεν ἤδη ὑπ' αὐτῷ οἰκονομεῖσθαι τῷ κυρίῳ.

27. Εἶτα πάλιν ζητήσειεν ἄν τις, πότε τῶν δεικνυμένων ὑπὸ τοῦ Σωτῆρος μικρῶν οἱ λεγόμενοι αὐτῶν ἄγγελοι προΐστανται· πότερον δεξάμενοι τὴν οἰκονομίαν περὶ αὐτοὺς διοικεῖν, ἀφ' οὗ διὰ λουτροῦ παλιγγενεσίας, ᾧ ἐγενήθησαν ὡς ἀρτιγέννητα[5]) βρέφη, τὸ λογικὸν καὶ ἄδολον γάλα ἐπιποθοῦσι, καὶ μηκέτι ὑποκείμενοι πονηρᾷ τινι δυνάμει· ἢ ἀπὸ γενέσεως κατὰ τὴν τοῦ θεοῦ πρόγνωσιν καὶ τὸν προορισμὸν αὐτοῦ ἐπιταχθέντας[6]) τούτους, οὓς καὶ προέγνω[7]) καὶ προώρισεν ἐσομένους συμμόρφους τῆς δόξης τοῦ Χριστοῦ ὁ θεός. Καὶ

---

[1]) Psalm. XXXIV, 7. (XXXIII.)

[2]) Psalm. XCI, 15. (XC.)

[3]) Genes. XLVIII, 16.

[4]) Deest καί in ed. R. — Cfr. Galat. IV, 2.

[5]) I Petr. II, 2.

[6]) ἐπιταχθέντας τούτους, κ. τ. λ. Voces illas vetus interpres, nec sane, quo regantur verbo, dicere possis (?). Fortasse legendum: ἐπιτάττοντος τούτους, οὓς καὶ προέγνω, vel ἐπιταχθέντας τούτους προέγνω. H.

[7]) Rom. VIII, 29.

πρὸς μὲν τὸ „ἀπὸ γενέσεως“ ἔχειν ἀγγέλους, εἴποι τις ταῦτα, τό· „ὁ ἀφορίσας[1]) με ἐκ κοιλίας μητρός μου“ καὶ τό· „ἐκ κοιλίας[2]) μητρός μου σύ μου εἶ σκεπαστής“ καί· „ἀντελάβετό[3]) μου ἐκ κοιλίας μητρός μου“ καί· „ἐπὶ[4]) σὲ ἐπεῤῥίφην ἐκ μήτρας“ καὶ ἐν τῇ Ἰούδα ἐπιστολῇ· „τοῖς[5]) ἐν Θεῷ πατρὶ ἠγαπημένοις, καὶ Ἰησοῦ Χριστῷ[6]) τετηρημένοις κλητοῖς,“ πάντως ὑπὸ τῶν τηρούντων ἀγγέλων.

28. Πρὸς δὲ τό· „ὅτε[7]) διὰ λουτροῦ γέγονα ἐν Χριστῷ νήπιος“ μὴ[8]) παρεῖναι ἅγιον ἄγγελον τοῖς ἔτι

---

[1]) Galat. I, 15. Deest ὁ in edd. H. et R.

[2]) Psalm. LXXI, 6. (LXX.)

[3]) Psalm. CXXXIX, 13. (CXXXVIII.). LXX. interpretes: ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου.

[4]) Psalm. XXII, 10. (XXI.)

[5]) Jud. I, 1. Edd. Knapp. ἡγιασμένοις, ed. Lachm. ἠγαπημένοις.

[6]) Edd. N. T. Ἰησοῦ Χριστῷ, H. et R. Ἰησοῦ Χριστοῦ.

[7]) Tit. III, 5. (?) coll. edd. N. T.

[8]) Ed. H., ut nos, in textu, in ed. R. lacunae signa desiderantur. H. in notis: „cum ex veteri interpretatione tum ex oratione pendula, et imperfecta hujus loci sententia, hiatum, quem designavimus, deprehendere licet; quamvis Codex Holm. Cod. Regio consentiat.“ Vetus interpretatio haec habet: *super his autem: „quando per lavacrum factus sum puer in Christo“ dicet angelum sanctum his non adesse, qui in malitia etiamnunc * * * tempus infidelitatis sub angelis esse: at post regenerationem, qui nos proprio sanguine redemit, angelo sancto et propter munditiem faciem Dei videnti tradit.* Equidem hoc modo, ex parte saltem, locum nostrum restituerim: μὴ παρεῖναι, λέγοι (φήσει?), ἅγιον ἄγγελον τοῖς ἔτι (ἐν) κακίᾳ διατρίβουσι τὸν καιρὸν τῆς ἀπιστίας, ἀλλ' ὑπὸ τοῖς ἀγγέλοις αὐτοὺς εἶναι τοῦ σατανᾶ· μετὰ δὲ τὴν ἀναγέννησιν ὁ τῷ ἰδίῳ αἵματι ἐξαγοράσας ἡμᾶς κ. τ. λ.

κακίᾳ * * τὸν καιρὸν τῆς ἀπιστίας ὑπὸ τοῖς ἀγγέλοις εἶναι τοῦ σατανᾶ· μετὰ δὲ τὴν ἀναγέννησιν ὁ τοῦ [1]) ἰδίου αἵματος ἐξαγοράσας ἡμᾶς παραδίδωσιν ἁγίῳ ἀγγέλῳ, καὶ διὰ τὴν καθαρότητα βλέποντι τὸ πρόσωπον τοῦ θεοῦ. Καὶ τρίτος δ᾽ ἄν τις τοιοῦτος εἴη κατὰ τὸν τόπον λόγος, φάσκων ὅτι [2]) ὥσπερ δυνατὸν, μεταβαλεῖν ἄνθρωπον ἀπὸ ἀπιστίας εἰς πίστιν, καὶ ἀπὸ ἀκολασίας εἰς σωφροσύνην, καὶ ἁπαξαπλῶς ἀπὸ κακίας εἰς ἀρετὴν, οὕτω καὶ τὸν ἐγκεχειρισμένον ἅμα γενέσει ψυχήν τινα, κατὰ μὲν τὰς ἀρχὰς φαῦλον εἶναι δύνασθαι, ὕστερον δέ ποτε ἀνάλογον τῷ πιστεύοντι πιστεύειν, καὶ ἐπὶ τοσοῦτον προκόπτειν, ὡς γενέσθαι αὐτὸν ἄγγελον ἕνα τῶν διὰ παντὸς βλεπόντων τὸ πρόσωπον τοῦ ἐν οὐρανοῖς πατρός· ἀρξάμενος ἀπὸ τοῦδε τοῦ χρόνου τῷ προγνωσθέντι κατὰ τόνδε τὸν χρόνον πιστεύειν καὶ προορισθέντι, συζεύγνυται, τῶν ἀῤῥήτων κριμάτων τοῦ θεοῦ, καὶ ἀνεξερευνήτων, καὶ ἀβύσσοις ἐοικότων εἰκότως πᾶσαν τὴν τοιαύτην ἁρμονίαν συναγαγόντων, ἀγγέλους πρὸς ἀνθρώπους. Δυνατὸν δὲ καὶ, ὥσπερ ἀνδρὸς καὶ γυναικὸς ἀμφοτέρων ἀπίστων, ὁτὲ [3]) μὲν ὁ ἀνὴρ πρότερον πιστεύσας τῷ χρόνῳ σώζει τὴν γυναῖκα, ὁτὲ δὲ ἡ γυνὴ ἀρξαμένη ὕστερόν ποτε πείθει τὸν ἄνδρα, οὕτω γίνεσθαι καὶ ἐπὶ τῶν ἀγγέλων, καὶ τῶν ἀνθρώπων. Εἰ μὲν οὖν [4]) καὶ ἐπ᾽ ἄλλων γίνεται ἀγγέλων τὸ τοιοῦτον, ἢ μὴ, καὶ αὐτὸς ἐξετάσεις. Μήποτε δὲ οὐχ ἁρμόζει περὶ τοῦ ἑκάστου ἀγγέλου τὸ τοιοῦτο λέγειν, τοσοῦτον τετιμημένου κατὰ τὸν τοῦ Σωτῆρος ἡμῶν λόγον, ὥστε διὰ παντὸς αὐτὸν βλέπειν λέγεσθαι τὸ πρόσωπον τοῦ πατρὸς τοῦ ἐν οὐρανοῖς. Ἐπεὶ δὲ ἐν τοῖς ἀνωτέρω ἐλέ-

---

1) H. et R. τοῦ ἰδίου αἵματος. Cfr. pag. 260. not. 8.

2) H. et R. ὅτι δυνατὸν, ὥσπερ μεταβαλεῖν κτλ.

3) H. et R. minus recte: ὅτε μὲν, ὅτε δέ κτλ.

4) H. et R. in textu: οὖν ἐπ᾽ ἄλλων, in notis: „Cod. Regius: καὶ ἐπ᾽ ἄλλων.“

γομεν, τῶν μὲν μικρῶν εἶναι ἀγγέλους, διεληλυθέναι δὲ τὴν τοιαύτην τάξιν τοὺς μεγάλους, ἀντερεῖ τις ἡμῖν ἐκ τῶν Πράξεων τῶν ἀποστόλων, ἔνθα γέγραπται, ὅτι Ῥόδη[1]) *παιδίσκη τις, τοῦ Πέτρου κρούσαντος τὴν θύραν, προσῆλθεν ὑπακοῦσαι, καὶ ἐπιγνοῦσα τὴν φωνὴν τοῦ Πέτρου, εἰσδραμοῦσα ἀπήγγειλεν ἑστάναι τὸν Πέτρον πρὸ τοῦ πυλῶνος· θαυμάσαντες δὲ οἱ ἐν τῷ οἴκῳ συνηθροισμένοι, καὶ ὡσπερεὶ ἀδύνατον εἶναι νομίσαντες τὸν Πέτρον*[2]) *πρὸ τοῦ πυλῶνος ἀληθῶς ἑστηκέναι, ἔλεγον ὅτι ὁ ἄγγελος αὐτοῦ ἐστι. Φήσει γάρ, ὅτι ἅπαξ μαθόντες ἐκεῖνοι, ἕκαστον τῶν πιστευόντων ἔχειν ἄγγελον τόνδε τινά, ᾔδεσαν*[3]) *καὶ Πέτρου τινὰ*[4]) *εἶναι ἄγγελον. Ὁ δὲ παριστάμενος οἷς προειρήκαμεν φήσει, ὅτι οὐκ ἀναγκαῖον εἶναι δόγμα τὸν τῆς Ῥόδης λόγον, τάχα δὲ καὶ οὐκ ἠκριβωκότων, πότε μὲν ὑπ' ἀγγέλων ὡς*[5]) *μικρός τις καὶ φοβούμενος τὸν θεὸν οἰκονομεῖται, πότε δὲ ἤδη ὑπ' αὐτῷ τῷ κυρίῳ. Μετὰ ταῦτα εἰς κατασκευὴν τοῦ, ὡς ἐξειλήφαμεν, νοεῖσθαι τὸν μικρὸν, λεχθήσεται,*[6]) *ὅτι οὐ δεόμεθα μὲν ἐντολῆς τῆς περὶ τοῦ μὴ καταφρονεῖν ἐπὶ τῶν μεγάλων, χρῄζομεν δὲ αὐτῆς ἐπὶ τῶν μικρῶν. Διὸ οὐχ ἁπλῶς εἴρηται· „μὴ*[7]) *κα-*

---

[1]) Act. XII, 13. 14. 15.

[2]) H. et R. in textu: *τὸν Πέτρον ἀληθῶς ἑστηκέναι*, in notis: „Cod. Regius: *τὸν Πέτρον πρὸ τοῦ πυλῶνος ἀληθῶς ἑστηκέναι.*“ Act. XII, 15.

[3]) H. et R., ut semper, *ᾔδεισαν.*

[4]) Desideratur *τινά* in ed. R.

[5]) H. et R. in textu: *τῷ ὡς μικρός τις*, in notis: „*τῷ* videtur *παρέλκειν.*“ E versione latina: *quandonam ab angelis, tanquam parvulus quispiam, et Deum timens gubernatur aliquis,* non male legeris: *πότε μὲν ὑπ' ἀγγέλων τις ὡς μικρός τις καί κ. τ. λ.*

[6]) H. et R. in textu: *λεχθήσεσθαι*, in notis: „scrib. *λεχθήσεται.*“

[7]) Matth. XVIII, 10. H. et R. h. l., cfr. pag. 256. not. 3., *τούτων τῶν μικρῶν.*

καταφρονήσητε ἑνὸς“ τούτων, δεικνυμένων πάντων τῶν μαθητῶν, ἀλλ' „ἑνὸς τῶν μικρῶν τούτων,“ δεικνυμένων ὑπὸ τοῦ βλέποντος μικρότητα καὶ μεγαλειότητα[1]) ψυχῆς.

29. Ἄλλος δ' ἂν λέγοι, μικρὸν ἐν τούτοις λέγεσθαι τὸν τέλειον, συγχρώμενος τῷ· „ὁ γὰρ[2]) μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων, οὗτός ἐστι μέγας·“ καὶ φήσει, ὅτι ὁ ταπεινῶν ἑαυτὸν, καὶ γινόμενος νήπιος ἐν μέσῳ πάντων πιστευόντων, κἂν ἀπόστολος, κἂν ἐπίσκοπος ᾖ, καὶ γινόμενος τοιοῦτος „ὡς ἂν τροφὸς[3]) θάλπῃ τὰ ἑαυτῆς τέκνα,“ οὗτός ἐστιν ὁ δεικνύμενος ὑπὸ τοῦ Ἰησοῦ μικρὸς, καὶ ἄξιόν γε τοῦ τοιούτου ἄγγελον εἶναι βλέποντα τὸ πρόσωπον τοῦ θεοῦ. Τὸ γὰρ μικροὺς λέγειν ἐνταῦθα λέγεσθαι[4]) τοὺς τελείους, κατὰ τό· „ὁ γὰρ[5]) μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων, οὗτός ἐστι μέγας·“ καὶ ὡς ὁ Παῦλος εἶπε τό· „ἐμοὶ[6]) τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη·“ δόξει μὲν συνᾴδειν τῷ· „ὃς[7]) ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων·“ καὶ τῷ· „οὕτως[8]) οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς, ἵνα ἀπόληται[9]) εἰς

---

[1]) H. et R. in textu: μεγαλότητα, in notis: „Cod. Regius: μεγαλειότητα.“ Cfr. pag. 256. not. 4.

[2]) Luc. IX, 48. Ed. Knapp. in textu: οὗτος ἔσται μέγας.

[3]) I Thess. II, 7. Ed. Lachm. ὡς ἐάν κ. τ. λ.

[4]) Desideratur h. l., cfr. pag. huj. lin. 5., λέγεσθαι in edd. H. et R.

[5]) Luc. IX, 48. coll. pag. huj. not. 2.

[6]) Ephes. III, 8.

[7]) Matth. XVIII, 6. Edd. N. T. ὃς δ' ἂν κ. τ. λ.

[8]) Ibid. XVIII, 14. Ed. Knapp. τοῦ πατρὸς ὑμῶν τοῦ —, ἵνα ἀπόληται εἷς κ. τ. λ., ed. Lachm. τοῦ πατρός μου τοῦ —, ἵνα ἀπόληται ἓν κ. τ. λ.

[9]) H. et R. h. l., cfr. pag. huj. not. 8. coll. pag. 261. not. 7., ἀπόλοιτο.

τῶν μικρῶν τούτων·“ ὁ γὰρ, ὡς ἀποδέδοται, νῦν μικρὸς, οὐ σκανδαλισθείη, οὐδ᾽ ἀπόλοιτο ἄν· „εἰρήνη[1]) γὰρ πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον τοῦ θεοῦ, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον·“ καὶ οὐκ ἂν ἀπόλοιτο ὁ πάντων μικρότερος ἐν πᾶσι τοῖς μαθηταῖς Χριστοῦ ὑπάρχων, καὶ διὰ τοῦτο γινόμενος μέγας· καὶ ἐπεὶ οὐκ ἂν ἀπόλοιτο, λέγοι ἂν τό· „τίς[2]) ἡμᾶς χωρίσῃ ἀπὸ τῆς ἀγάπης,“ καὶ τὰ ἑξῆς. Ἀλλ᾽ ὁ βουλόμενος τὴν τελευταίαν ταύτην κρατεῖν διήγησιν, φήσει, ὅτι μεταπιώτη ἐστὶ[3]) καὶ ἡ τοῦ δικαίου ψυχὴ, ὡς μαρτυρεῖ καὶ ὁ Ἰεζεκιὴλ[4]) λέγων, τὸν δίκαιον ἀφίστασθαι δύνασθαι τῶν ἐντολῶν τοῦ θεοῦ, ὡς μὴ λογισθῆναι αὐτῷ τὴν προτέραν δικαιοσύνην· διὰ τοῦτο λέγεται· „ὃς[5]) ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων·“ καὶ τό· „οὐκ ἔστι θέλημα[6]) τοῦ πατρός μου τοῦ ἐν τοῖς[7]) οὐρανοῖς, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων.“ Τὰ δὲ περὶ τῶν ἑκατὸν προβάτων, ἔχεις εἰς τὰς κατὰ Λουκᾶν ὁμιλίας.

30. „Ἐὰν[8]) ἁμάρτῃ ὁ ἀδελφός σου, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξύ σου καὶ αὐτοῦ μόνου.“ Ὁ μὲν ἐπερεισάμενος τῇ λέξει, ὑπερβάλλουσαν φιλανθρωπίαν τοῦ Ἰησοῦ παριστὰς φήσει, ὅτι, τῶν ῥητῶν διαφορὰν ἁμαρ-

---

1) Psalm. CXIX, 165. coll. pag. 250. not. 3. — H. et R. h. l. τὸ ὄνομα τοῦ Θεοῦ, quae facillime in haec: τὸν νόμον τοῦ Θεοῦ, mutaveris.

2) Rom. VIII, 35. Edd. N. T. χωρίσει — ἀγάπης τοῦ Χριστοῦ.

3) H. et R. μεταπτωτή ἐστι κ. τ. λ.

4) Ezech. XXXIII.

5) Matth. XVIII, 6. coll. pag. 263. not. 7.

6) Ibid. XVIII, 14. coll. pag. 263. not. 8. et 9.

7) H. et R. h. l., cfr. pag. 263. not. 8. et 9., ἐν τοῖς οὐρανοῖς, ἵνα ἀπόληται κ. τ. λ.

8) Matth. XVIII, 15. Ed. Knapp. ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ed. Lachm. ἐὰν δὲ ἁμαρτήσῃ ὁ ἀδελφός σου.

τημάτων οὐχ ὑποβαλλόντων, περισσὸν ποιήσουσι καὶ παρὰ τὴν χρηστότητα τοῦ Ἰησοῦ οἱ προσυπακούοντες, ἐπὶ τῶν ἐλαττόνων ἁμαρτημάτων ταῦτα χώραν ἔχειν λέγεσθαι. Ἄλλος δέ τις καὶ τῇ λέξει ἐπερειδόμενος, καὶ μὴ ἔξωθεν προσυπακούειν θέλων ταῦτα, μήτε περὶ παντὸς ἁμαρτήματος λέγεσθαι, φήσει, ὅτι τὰ μεγάλα ἐκεῖνα ἁμαρτάνων, οὐ δὲ ἀδελφός ἐστι, ἀλλ' εἰ ἄρα ἀδελφὸς ὀνομαζόμενος, ὥς φησιν ὁ ἀπόστολος· „ἐάν[1]) δέ τις ἀδελφὸς ὀνομαζόμενος ᾖ[2]) πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης," καὶ τὰ ἑξῆς, τῷ „τοιούτῳ μηδὲ συνεσθίειν·" οὐδεὶς[3]) γὰρ εἰδωλολάτρης ἀδελφὸς, οὐδὲ πόρνος, οὐδὲ πλεονέκτης· εἰ γὰρ ἔχει τι τούτων δοκῶν φορεῖν τὸ Χριστοῦ ὄνομα ἀδελφὸς ὀνομαζόμενος, ἀλλ' οὐκ ἀδελφὸς ἐνδίκως ἂν λέγοιτο. Ὥσπερ οὖν φαντασίᾳ τῆς[4]) εἰς ὑπερβολὴν Χριστοῦ ἐπιτριβῆς[5]) ἀφορμὰς παρεῖχεν ὁ ἐπὶ παντὸς ἁμαρτήματος λέγων τὰ τοιαῦτα εἰρῆσθαι, κἂν φόνος ᾖ τὸ ἁμάρτημα, ἢ φαρμακία, ἢ παιδοφθορία, ἤ τι τῶν τηλικούτων, οὕτως ἐκ τοῦ ἐναντίου ὁ τὸν ἀδελφὸν διαστειλάμενος ἀπὸ τοῦ ὀνομαζομένου ἀδελφοῦ, διδάξαι ἂν, ἐπὶ ἐλάττοσι τῶν ἀνθρωπίνων ἁμαρτημάτων μὴ ἐπιστρέψαντα μετὰ τὸν ἔλεγχον, ὡς ἐθνικὸν καὶ τελώνην λογισθῆναι, ἐπὶ ἁμαρτήμασι τοῖς[6]) „μὴ πρὸς θάνατον," ἢ ὡς ὠνόμασεν ἐν Ἀριθμοῖς ὁ νόμος, τοῖς „μὴ θανατηφόροις." Ὅπερ δόξαι ἂν ὠμότε-

---

[1]) I Cor. V, 11. coll. edd. N. T.

[2]) H. et R. minus recte: ἢ πόρνος κ. τ. λ.

[3]) H. et R., ut nos, in textu, H. tamen ad margin.: „Cod. Regius: οὐκ ἔστιν εἰδωλολάτρης," R. in notis: „„Cod. Regius: οὐκ ἔστιν οὐδεὶς εἰδωλολάτρης.""

[4]) H. et R. in textu: τοῦ, H. tamen ad oram: „fortasse τῆς," R. in notis: „„loco τοῦ, lege τῆς.""

[5]) ἐπιτριβῆς, si modo locus sanus est, usurpatum puto pro διατριβῆς, quamquam nullo auctore. Huetius. — Cfr. pag. 266. not. 1.

[6]) I Joann. V, 16.

ρον τυγχάνειν· οὐ γὰρ οἶμαι ταχέως εὑρεθήσεσθαί τινα τὸν μὴ τρὶς ἐπὶ τῷ αὐτῷ εἴδει τῆς ἁμαρτίας ἐλεγχθέντα, φέρ' εἰπεῖν, λοιδορίᾳ, καθ' ἣν οἱ λοιδοροῦντες δυσφημοῦσι τοὺς πέλας, οἵ τε θυμούμενοι, ἢ πολυποσίᾳ, ἢ λόγῳ ψευδεῖ καὶ ἀργῷ, ἤ τινι τῶν ἐν τοῖς πολλοῖς. Ζητήσεις οὖν, μήποτε λανθάνει τις κατὰ τὸν τόπον τήρησις καὶ τοὺς φαντασίᾳ τῆς τοῦ Λόγου χρηστότητος,[1]) καὶ πρὸς τοὺς τὰ μέγιστα ἡμαρτηκότας τὸ συγγνωμονικὸν διδόντας, καὶ τοὺς ἐπὶ τοῖς ἐλαχίστοις διδάσκοντας λογίζεσθαι ὡς ἐθνικὸν καὶ τελώνην, τὸν μετὰ τρὶς τὰ βραχύτερα ἡμαρτηκότα ἀλλότριον ποιοῦντας τῆς ἐκκλησίας. Τὸ δὲ λανθάνον ἑκατέρους τοιοῦτόν μοι φαίνεται· τό· „ἐκέρδησας[2]) τὸν ἀδελφόν σου·“ ἐπὶ τοῦ μόνου ἀκούσαντος τάξας ὁ Λόγος, οὐκέτι αὐτὸ ἔθηκεν ἐπὶ τοῦ δεύτερον ἢ τρίτον πταίσαντος, καὶ ἐλεγχθέντος, ἀλλ' ὡσπερεὶ μετέωρον εἴασε τὸ ἀνάλογον τῷ· „ἐκέρδησας τὸν ἀδελφόν σου·“ λεχθησόμενον περὶ τοῦ δεύτερον ἢ τρίτον ἐλεγχθέντος. Οὐ πάντως οὖν κερδαίνεται, οὐδὲ πάντως ἀπολεῖται, ἢ πληγὰς λήψεται. Καὶ πρόσχες ἐπιμελῶς τῷ πρώτῳ μὲν λέγοντι· „ἐάν[3]) σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου·“ τῷ δὲ δευτέρῳ κατὰ τὴν λέξιν τόπῳ φάσκοντι· „ἐὰν[4]) δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σεαυτοῦ ἔτι[5]) ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων σταθῇ[6]) πᾶν ῥῆμα.“ Τί οὖν μετὰ τὸ σταθῆναι πᾶν ῥῆμα ἐπὶ δύο ἢ τριῶν μαρτύρων ἔσται τῷ δεύτερον νουθετηθέντι, ἡμῖν ἐννοεῖν[7])

---

[1]) Cfr. pag. 265. not. 5.

[2]) Matth. XVIII, 15.

[3]) Ibid. XVIII, 15.

[4]) Ibid. XVIII, 16. Edd. N. T. *μετὰ σοῦ ἔτι ἕνα —, ἵνα — δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα.*

[5]) Desideratur *ἔτι* in edd. H. et R.

[6]) H. et R. *σταθήσεται.* Cfr. p. h. lin. 2. a fine et not. 4.

[7]) Ed. Huetii minus recte: *εὐνοεῖν.*

καταλέλοιπε. Καὶ πάλιν· „ἐὰν [1]) παρακούσῃ αὐτῶν," — δῆλον δ' ὅτι τῶν παραληφθέντων μαρτύρων, — „εἰπόν, [2]) φησὶ, τῇ ἐκκλησίᾳ· καὶ οὐκ εἶπε τί πείσεται, ἐὰν μὴ ἀκούσῃ τῆς ἐκκλησίας, ἀλλ' ἐδίδαξεν ὅτι, ἐὰν τῆς ἐκκλησίας παρακούσῃ, δεῖ αὐτὸν εἶναι τῷ τρὶς νουθετήσαντι, καί μὴ ἀκουσθέντι, πρὸς τὸ λοιπὸν ὡς τὸν ἐθνικὸν καὶ τελώνην. Οὐ πάντως οὖν κερδαίνεται, οὐδὲ πάντως ἀπολεῖται. Ἀλλ' ὅ, τί ποτε πείσεται ὁ τὸ πρότερον μὲν μὴ ἀκούσας, μαρτύρων δὲ δεηθεὶς, ἢ καὶ τούτων παρακούσας, ἐπὶ τὴν ἐκκλησίαν δὲ ἀχθεὶς, ὁ θεὸς ἂν εἰδείη· ἡμεῖς γὰρ οὐκ ἀποφαινόμεθα κατὰ τό· „μὴ [3]) κρίνετε, ἵνα μὴ κριθῆτε·" „ἕως [4]) ἂν ἔλθῃ ὁ κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν." Πρὸς δὲ τὸ δοκοῦν σκληρὸν πρὸς τοὺς τὰ ἐλάττονα ἡμαρτηκότας, εἴποι τις ἂν, ὅτι οὐκ ἔξεστι δὶς ἑξῆς μὴ ἀκούσαντα, τὸ τρίτον ἀκοῦσαι, ὡς διὰ τοῦτο μηκέτι εἶναι ὡς ἐθνικὸν καὶ τελώνην, ἢ μηκέτι δεηθῆναι τοῦ ἐπὶ πάσης τῆς ἐκκλησίας ἐλέγχου· χρὴ γὰρ μεμνῆσθαι τοῦ· „οὕτως [5]) οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς [6]) οὐρανοῖς, ἵνα ἀπόληται [7]) εἷς τῶν μικρῶν τούτων." Καὶ

---

[1]) Matth. XVIII, 17. Edd. N. T. *ἐὰν δέ κ. τ. λ.*

[2]) Edd. N. T. l. l. *εἰπέ*, H. et R. minus recte: *εἶπον.*

[3]) Matth. VII, 1.

[4]) I Cor. IV, 5. Huetius non male, licet non necesse esse videatur, si ad verba: *μὴ κρίνετε*, accurate attenderis, in notis: „vetus interpres: *nolite judicare, ut non judicemini.* Item: *nolite ante tempus quid judicare, donec veniat Dominus.* Legendum fortasse: *κατὰ τό· „μὴ κρίνετε, ἵνα μὴ κριθῆτε·" καὶ τό· „ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ κ. τ. λ."*

[5]) Matth. XVIII, 14. coll. pag. 263. not. 8. et 9. et pag. 264 not. 6. et 7.

[6]) Sic H. et R. h. loco. Cfr. pag. 264. not. 7.

[7]) H. et R. h. l., cfr. pag. 263. not. 9. et p. 264. not. 7.

γάρ, εἴπερ δεῖ „τοὺς πάντας[1]) ἡμᾶς παραστῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον," χρὴ ὅση δύναμις τὰ παρ' αὐτὸν ποιεῖν, ἵνα μὴ περὶ πλειόνων κομίσηται φαύλων διὰ τοῦ σώματος πεπραγμένων, κἂν μέλλῃ περὶ πάντων ὧν ἐποίησε χειρόνων ἀπολαμβάνειν, φιλοτιμητέον δὲ περὶ πλειόνων εὐποιϊῶν μισθὸν κομίσασθαι, ἐπεὶ ᾧ μέτρῳ[2]) μετροῦμεν, ἀντιμετρηθήσεται ἡμῖν, καὶ κατὰ[3]) τὰ ἔργα τῶν χειρῶν ἡμῶν συμβήσεται ἡμῖν· καὶ οὐκ ἀπειροπλάσια μὲν, ἤτοι δὲ διπλάσια ἢ ἑπταπλάσια λήψονται οἱ ἡμαρτηκότες ἐκ χειρὸς κυρίου τὰ ἁμαρτήματα, ὅταν μὴ καὶ κατὰ τὰ ἔργα τῶν χειρῶν τινι ἀποδίδοται, ἀλλὰ πλείονα ὧν πεποίηκεν· „Ἱερουσαλὴμ[4]) γὰρ," — ὡς ὁ Ἡσαΐας ἐδίδαξεν, — „ἐδέξατο ἐκ χειρὸς κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς·" οἱ δὲ γείτονες τοῦ Ἰσραὴλ, οἵτινές ποτ' ἂν ὦσιν ἑπταπλάσια λήψονται κατὰ τὸ ἐν ψαλμοῖς οὕτως εἰρημένον· „ἀπόδος[5]) τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν, τὸν ὀνειδισμὸν αὐτῶν, ὃν ὠνείδισάν σε, κύριε." Καὶ ἄλλοι ἂν εὑρεθεῖεν τρόποι τῆς ἀνταποδόσεως, οὓς ἐὰν νοῶμεν, εἰσόμεθα ὅτι λυσιτελεῖ μεθ' ὁποσαοῦν ἁμαρτήματα μετανοεῖν, ἵνα πρὸς τῷ μὴ περὶ πλειόνων κολάζεσθαι ἡμᾶς, καὶ περὶ ἀγαθῶν ἐλπίς τις ἡμῖν ὕστερόν ποτε τῶν πεπραγμένων ἀπολειφθῇ, κἂν πρὸ αὐτῶν μυρία ὅσα ἐπταισμένα τινὶ ᾖ. Ἄτοπον γὰρ, τὰ μὲν χείρονα λογισθῆναί τινι, τὰ δὲ μετὰ τὰ χείρονα κρείττονα μη-

---

1) II Cor. V, 10. Edd. N. T. φανερωθῆναι pro παραστῆναι, et κακόν pro φαῦλον.

2) Matth. VII, 2.

3) Jes. III, 11.

4) Ibid. XL, 2. coll. LXX. virorum versione.

5) Psalm. LXXIX, 12. (LXXVIII.). LXX. viri: ἑπταπλάσια.

δὲν ὠφελεῖν, ἅπερ καὶ ἀπὸ τοῦ Ἰεζεκιὴλ τοῖς ἐπιμελῶς τηροῦσι τὰ περὶ τῶν τοιούτων ῥητά ἐστι μαθεῖν.

31. Καλῶς δέ μοι δοκεῖ συνῆφθαι τῷ μετὰ τὸ τρὶς νενουθετῆσθαι κριθέντι εἶναι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης τό· „ἀμὴν[1]) λέγω ὑμῖν·“ — δηλονότι τοῖς κρίνασιν εἶναί τινα ὡς ὁ ἐθνικὸς, καὶ ὁ τελώνης, — „καὶ ὅσα[2]) ἐὰν δήσητε ἐπὶ τῆς γῆς,“ καὶ τὰ ἑξῆς· δικαίως γὰρ ἔδησεν ὁ τρὶς νουθετήσας καὶ μὴ ἀκουσθεὶς τὸν κριθέντα εἶναι ὡς ἐθνικὸν, καὶ τελώνην· διόπερ ὁ τοιοῦτος δεδεμένος καὶ δεδικασμένος ὑπὸ τοῦ τοιουδὶ, μένει δεδεμένος, οὐδενὸς τῶν ἐν οὐρανῷ ἀναλύοντος τοῦ δεδηκότος[3]) αὐτὸν τὴν ψῆφον. Οὕτω δὲ καὶ ὁ ἅπαξ νουθετηθεὶς ἄξια ποιήσας[4]) τοῦ κερδηθῆναι, λυθεὶς διὰ τῆς νουθεσίας κερδήσαντος αὐτὸν, καὶ μηκέτι σειραῖς τῶν ἁμαρτιῶν ἑαυτοῦ περὶ ὧν ἐνουθετήθη δεδεμένος, λελυμένος κριθήσεται ὑπὸ τῶν ἐν οὐρανοῖς. Πλὴν τὰ ἐν τοῖς ἀνωτέρω μόνῳ τῷ Πέτρῳ δεδομένα ἔοικε δηλοῦσθαι δεδωκέναι πᾶσι τοῖς τὰς τρεῖς νουθεσίας προσαγάγουσι πᾶσι τοῖς ἡμαρτηκόσιν, ἵν' ἐὰν μὴ ἀκουσθῶσι, δήσωσιν ἐπὶ γῆς τὸν κριθέντα εἶναι ὡς ἐθνικὸν, καὶ τελώνην, ὡς δεδεμένου τοῦ τοιούτου ἐν τῷ οὐρανῷ. Ἀλλ' ἐπεὶ ἐχρῆν, εἰ καὶ κοινόν τι ἐπὶ τοῦ Πέτρου καὶ τῶν νουθετησάντων τρὶς τοὺς ἀδελφοὺς λέλεκται, ἐξαίρετον ἔχειν τὸν Πέτρον παρὰ τοὺς τρὶς νουθετήσαντας,

---

[1]) Matth. XVIII, 18. Edd. N. T. ὅσα ἐὰν δήσητε κ. τ. λ., omisso καί ante ὅσα. Cfr. Matth. XVI, 19.

[2]) H. et R. h. l. καὶ ὃ ἐάν (cfr. Matth. XVI, 19.) κ. τ. λ. Equidem coll. pag. 270. not. 2. καί retinui, pro ὅ autem ὅσα in textum recepi.

[3]) Codex Anglicanus (Holm.?) δεδωκότος; at supra adscriptum habet δεδηκότος, recte. Cod. Regius: δεδοκότος, male. R. — H. in notis: „Cod. Holm. δεδωκότος. Cod. Regius etc.“

[4]) Cod. Regius: ἄξια ποιήσει. H. et R.

ἰδίᾳ τοῦτο προτέτακται, ἐπὶ τοῦ Πέτρου τό· „δώσω[1]) σοὶ τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν" τοῦ· „καὶ[2]) ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς," καὶ τὰ ἑξῆς. Καί τοί γε εἰ ἐπιμελῶς προσέχομεν τοῖς εὐαγγελικοῖς γράμμασι, καὶ ἐν τούτοις εὕροιμεν ἂν καὶ κατὰ ταῦτα τὰ δοκοῦντα εἶναι κοινὰ πρὸς τὸν Πέτρον, καὶ τοὺς τρὶς νουθετήσαντας τοὺς ἀδελφοὺς, πολλὴν διαφορὰν καὶ ὑπεροχὴν ἐκ τῶν πρὸς τὸν Πέτρον εἰρημένων παρὰ τοὺς δευτέρους. Οὐ γὰρ ὀλίγη διαφορὰ, τὸν Πέτρον εἰληφέναι τὰς κλεῖδας,[3]) οὐχ ἑνὸς οὐρανοῦ, ἀλλὰ πλειόνων, καὶ ἵνα ὅσα ἐὰν δήσῃ ἐπὶ τῆς γῆς, ᾖ δεδεμένα οὐκ ἐν ἑνὶ οὐρανῷ, ἀλλ' ἐν πᾶσιν αὐτοῖς, πρὸς τοὺς πολλοὺς δέοντας ἐπὶ τῆς γῆς, καὶ λύοντας ἐπὶ τῆς γῆς, ὥστε ταῦτα δεδέσθαι καὶ λελύσθαι οὐκ ἐν οὐρανοῖς, ὡς ἐπὶ Πέτρου, ἀλλ' ἐν οὐρανῷ ἑνί· οὐ γὰρ διαβαίνουσι τῇ δυνάμει, ὡς Πέτρος, ἵνα δήσωσιν ἢ λύσωσιν ἐν πᾶσιν οὐρανοῖς. Ὅσῳ οὖν βελτίων ὁ δεσμεύων, τοσοῦτον μακαριώτερος ὁ λελυμένος, ὡς καὶ πανταχοῦ τῶν οὐρανῶν εἶναι αὐτοῦ τὸ λελύσθαι.

---

1) Matth. XVI, 19.

2) Ibid. XVIII, 18. coll. XVI, 19. — H. et R. h. l., cfr. pag. 269. not. 2., *καὶ ὅσα ἐὰν δήσητε κ. τ. λ.*

3) Matth. XVI, 19. coll. XVIII, 18.

ΩΡΙΓΕΝΟΥΣ
ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ
ΜΑΤΘΑΙΟΝ
ΕΞΗΓΗΤΙΚΩΝ

Τόμος ιδ´.

---

1. „Πάλιν[1]) λέγω ὑμῖν, ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς, περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, γενηθήσεται αὐτοῖς.“ Κυρίως τὸ τῆς συμφωνίας ὄνομα τάσσεται ἐπὶ τῶν κατὰ μουσικὴν ἐν φωναῖς ἁρμονιῶν. Καί εἰσί γε παρὰ τοῖς μουσικοῖς φθόγγοι φθόγγοις σύμφωνοι, καὶ ἄλλοι διάφωνοι. Οἶδε δὲ καὶ ἡ εὐαγγελικὴ γραφὴ[2]) τὸ ὄνομα ἐπὶ τῶν κατὰ μουσικὴν τεταγμένον ἐν τῷ· „ἤκουσε[3]) συμφωνίας καὶ χορῶν· ἔπρεπε γὰρ ἐπὶ τῇ ἐκ μετανοίας συμφωνίᾳ πρὸς τὸν πατέρα τοῦ ἀπὸ ἀπωλείας εὑρεθέντος[4]) υἱοῦ ἀκουσθῆναι συμφωνίαν, ἐπὶ τῇ εὐφροσύνῃ τῆς οἰκίας. Τὸ

---

[1]) Matth. XVIII, 19. Ed. Knapp. ab initio, ut nos: πάλιν κ. τ. λ., in fine γενήσεται αὐτοῖς, ed. Lachm. ἀμὴν λέγω ὑμῖν, ὅτι ἐὰν δύο συμφωνήσωσιν ἐξ ὑμῶν ἐπὶ τῆς γῆς, —, γενήσεται αὐτοῖς.

[2]) Cod. Regius: φωνή. H. et R.

[3]) Luc. XV, 25.

[4]) Ibid. XV, 32.

δὲ τῆς συμφωνίας ὄνομα ὁ φαῦλος οὐκ οἶδε Λάβαν ἐν οἷς φησι πρὸς τὸν Ἰακώβ· „καὶ εἰ[1]) ἀνήγγειλάς μοι, ἐξαπέστειλα ἄν σε μετ' εὐφροσύνης, καὶ μετὰ μουσικῶν, καὶ τυμπάνων, καὶ κιθάρας.“ Ἀδελφὸν δὲ τῆς τοιαύτης συμφωνίας τὸ ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν γεγραμμένον, ἡνίκα „οἱ ἀδελφοὶ[2]) τοῦ Ἀμιναδὰβ ἐμπορεύοντο ἔμπροσθεν τῆς κιβωτοῦ, καὶ Δαβὶδ καὶ οἱ υἱοὶ παίζοντες ἐνώπιον κυρίου ἐν ὀργάνοις ἡρμοσμένοις ἐν ἰσχύϊ καὶ ᾠδαῖς·“ τὰ γὰρ ἡρμοσμένα ὄργανα ἐν ἰσχύϊ καὶ ᾠδαῖς εἶχεν ἐν αὐτοῖς τὴν μουσικὴν συμφωνίαν, ἥτις τοσοῦτον δύναται, ὡς δύο μόνων μετὰ[3]) τῆς πρὸς τὴν θείαν μουσικὴν καὶ πνευματικὴν συμφωνίας αἴτησιν προσαγόντων τῷ ἐν τοῖς οὐρανοῖς πατρὶ περὶ οὑτινοσοῦν, τὸν πατέρα διδόναι τὰ αἰτήματα τοῖς μετὰ τοῦ συμφωνεῖν ἐπὶ γῆς, ὅπερ ἐστὶ παραδοξότατον, αἰτήσασιν, ἅπερ αἰτήσαιεν ἂν οἱ τὴν εἰρημένην συμφωνίαν συμφωνήσαντες. Οὕτως ἐγὼ ἀκούω καὶ τοῦ ἀποστολικοῦ ῥητοῦ· „μὴ ἀποστερεῖτε[4]) ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάσητε τῇ προσευχῇ.“ Ἐπεὶ γὰρ τὸ τῆς ἁρμονίας ὄνομα ἐπὶ τῶν κατὰ θεὸν γαμούντων τέτακται ἐν τῷ οὕτως ἐκ Παροιμιῶν τεταγμένῳ ῥητῷ· „οἶκον[5]) καὶ ὕπαρξιν μεριοῦνται πατέρες παισὶ, παρὰ δὲ Θεοῦ ἁρμόζεται γυνὴ ἀνδρί·“ ἀκόλουθόν ἐστι τῇ ἀπὸ Θεοῦ ἁρμονίᾳ, τὸ ὄνομα καὶ τὸ ἔργον ἀπολαύειν τῆς συμφωνίας εἰς εὐχήν· ὅπερ δηλοῦται ἐν τῷ· „εἰ[6])

---

[1]) Genes. XXXI, 27.

[2]) II Regg. (II Sam.) VI, 4. 5. LXX. interpretes vers. 4. *ἐπορεύοντο*, quae lectio profecto praeferenda est. Iidem vers. 5. *καὶ Δαυὶδ καὶ υἱοὶ Ἰσραὴλ — ἐν ἰσχύϊ, καὶ ἐν ᾠδαῖς*.

[3]) Ed. Coloniensis min. recte *κατά*.

[4]) I Cor. VII, 5.

[5]) Prov. XIX, 14. LXX. interpretes *μερίζουσι* pro *μεριοῦνται*, et *κυρίου* pro *Θεοῦ*.

[6]) I Cor. VII, 5.

μή τι ἂν ἐκ συμφώνου.“ Εἶτ' ἐπιδιηγούμενος ὁ Λόγος τὸ συμφωνεῖν ἐπὶ τῆς γῆς δύο, ὅτι ταὐτόν ἐστι τοῦτο τῷ συμφωνεῖν τῷ Χριστῷ, ἐπιφέρει τό· „οὗ[1]) γάρ εἰσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα.“ Οὐκοῦν οἱ συνηγμένοι εἰς τὸ τοῦ Χριστοῦ ὄνομα δύο ἢ τρεῖς, οἱ συμφωνοῦντές εἰσιν ἐπὶ γῆς οὐ μόνον δύο, ἀλλ' ἔσθ' ὅτε καὶ τρεῖς. Ἐπιστήσει δὲ ὁ δυνάμενος, εἰ ἡ συμφωνία αὕτη, καὶ ἡ τοιαύτη συναγωγὴ, ἧς ὁ Χριστὸς ἐν μέσῳ ἐστὶ, δύναται εὑρεθῆναι ἐν πλείοσιν, ἐπεὶ „στενὴ[2]) καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν.“ Τάχα δὲ καὶ τὴν συμφωνίαν οὐδὲ ὀλίγοι, ἀλλὰ δύο ἢ τρεῖς συμφωνοῦσιν, ὡς Πέτρος, καὶ Ἰάκωβος, καὶ Ἰωάννης, οἷς συμφωνοῦσιν ἔδειξεν αὐτοῦ τὴν δόξαν ὁ Λόγος τοῦ θεοῦ. Συνεφώνησαν δὲ δύο μὲν, Παῦλος καὶ[3]) Σωσθένης, γράφοντες τὴν προτέραν Κορινθίοις ἐπιστολήν· μετὰ τοῦτο δὲ Παῦλος καὶ[4]) Τιμόθεος, ἐπιστέλλοντες τὴν δευτέραν τοῖς αὐτοῖς. Καὶ τρεῖς δὲ συνεφώνησαν, ὅτε Παῦλος καὶ Σιλουανὸς[5]) καὶ Τιμόθεος ἐπαίδευον δι' ἐπιστολῆς Θεσσαλονικεῖς. Εἰ δὲ καὶ ἀπὸ τῶν παλαιῶν γραμμάτων δεήσει παραστῆσαι τοὺς συμφωνήσαντας ἐπὶ γῆς τρεῖς, ὡς εἶναι τὸν Λόγον ἐν μέσῳ αὐτῶν ἑνοῦντα αὐτοὺς, ἐπίστησον τῇ ἐπιγραφῇ τῶν Ψαλμῶν, ὡς τῇ τοῦ[6]) τεσσαρακοστοῦ πρώτου οὕτως ἐχούσῃ· „εἰς τὸ τέλος εἰς σύνεσιν τοῖς υἱοῖς Κορέ.“ Τριῶν γὰρ ὄντων υἱῶν Κορὲ, ὧν τὰ ὀνόματα ἐν τῇ Ἐξόδῳ[7]) εὕρομεν,

[1]) Matth. XVIII, 20.

[2]) Ibid. VII, 14. coll. edd. N. T.

[3]) I Cor. I, 1.

[4]) II Cor. I, 1.

[5]) I Thess. I, 1.

[6]) H. et R. τοῦ μά. οὕτως κ. τ. λ. Cfr. Psalm. XLII, 1. (XLI.)

[7]) Exod. VI, 24., ubi Ἀσείρ scriptum legitur, Ἐλκανά et Ἀβιάσαρ.

τοῦ Ἀσὴρ, ὃς ἑρμηνεύεται „παιδεία,“ [1]) καὶ τοῦ δευτέρου τοῦ Ἑλκανᾶ, [2]) ὃς μεταλαμβάνεται εἰς τὸ „Θεοῦ [3]) κτῆσις,“ [4]) καὶ τρίτου τοῦ Ἀβιασὰφ, [5]) ὃς ἑλλάδι φωνῇ λέγητ' ἂν „πατρὸς [6]) συναγωγὴ,“ αἱ προφητεῖαι οὐ διῃρέθησαν, ἀλλὰ ὑπὸ ἑνὸς πνεύματος καὶ μιᾶς φωνῆς ἐν μιᾷ ψυχῇ ἀληθῶς συμφώνως ἐνεργοῦντος καὶ εἴρηνται, καὶ ἐγράφησαν, καὶ λαλοῦντες οἱ τρεῖς ὡς εἷς· „ὃν [7]) τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ θεός.“ Φασὶ δὲ καὶ πληθυντικῶς ἐν τῷ [8]) τεσσαρακοστῷ τετάρτῳ· „ὁ θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν.“ Εἰ δὲ θέλεις ἔτι μᾶλλον ἰδεῖν τοὺς συμφωνοῦντας ἐπὶ τῆς γῆς, ἴδε τοὺς ἀκούσαντας· „ἵνα [9]) ἦτε κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ·“ καὶ ζηλώσαντας τό· „ἦν [10])

---

[1]) H. et R. in textu παιδιά (pro παιδία?), iidem tamen in notis: „vetus interpres: *qui interpretatur, eruditio.* Lege ergo παιδεία. Origenes lib. IX. in ep. ad Romanos: Assir, qui interpretatur, eruditio.“

[2]) H. et R. Ἑλκανᾶ, cfr. pag. 273. not. 7.

[3]) H. et R. in textu: Χριστοῦ, H. tamen ad oram: „scrib. Θεοῦ.“ Idem in notis: „Codd. Holm. et Reg. habent Χριστοῦ pro Θεοῦ.“

[4]) H. in notis: „Origenes lib. IX. in ep. ad Romanos: *Helcana, qui in lingua nostra dicitur, possessio Dei.* Vetus interpres: *quod intelligitur Dei creatura,* legebat Θεοῦ κτίσις.“

[5]) H. et R. Ἀβιασάφ. Cfr. pag. 273. not. 7.

[6]) H. et R. in textu: Πέτρος συναγωγή, in notis: „lege πατρός. Origenes lib. IX. in ep. ad Romanos: *Abiasaph, qui in latino sermone indicat „congregationem patris.*“

[7]) Psalm. XLII, 1. (XLI, 2.)

[8]) H. et R. ἐν τῷ μγ'. ὁ Θεός κ. τ. λ. Cfr. Psalm XLIV, 1. (XLIII, 2.)

[9]) I Cor. I, 10.

[10]) Act. IV, 32. coll. edd. N. T

ἡ ψυχὴ καὶ ἡ καρδία πάντων τῶν πιστευόντων μία" γενομένους, εἴγε δυνατὸν ἐν πλείοσι τοιοῦτον εὑρεθῆναι, ὥστε μηδὲ τὴν τυχοῦσαν διαφωνίαν εἶναι αὐτοῖς, ὡς οὐκ ἔστι διαφωνία τῶν τοῦ δεκαχόρδου ψαλτηρίου χορδῶν πρὸς ἀλλήλας. Οὐ συνεφώνουν δὲ ἐπὶ τῆς γῆς οἱ λέγοντες· „ἐγὼ[1]) μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλὼ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ·" ἀλλὰ ἦν ἐν αὐτοῖς σχίσματα, ὧν καταλυομένων συνήγοντο μετὰ τοῦ ἐν Παύλῳ πνεύματος σὺν τῇ δυνάμει τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, ἵνα μηκέτι ἀλλήλους δάκνωσι,[2]) καὶ κατεσθίωσιν, ὡς ὑπὸ ἀλλήλων αὐτοὺς ἀναλίσκεσθαι· ἀναλίσκει γὰρ ἡ διαφωνία, ὥσπερ συνάγει ἡ συμφωνία, καὶ χωρεῖ τὸν ἐν μέσῳ τῶν συμφωνούντων γινόμενον υἱὸν τοῦ θεοῦ. Καὶ κυρίως γε ἐν δύο γενικοῖς γίνεται ἡ συμφωνία, τῷ, ὡς ὠνόμασεν ὁ Ἀπόστολος,[3]) καταρτισμῷ τοῦ αὐτοῦ νοὸς, κατὰ τὸ αὐτὰ δόγματα ἔχειν νενοημένα, καὶ τῷ[4]) τῆς αὐτῆς γνώμης, κατὰ τὸ ὁμοίως βιοῦν. Εἰ δὲ, ἐὰν[5]) δύο ἡμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς, περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, γενήσεται[6]) αὐτοῖς[7]) παρὰ τοῦ πατρὸς Ἰησοῦ τοῦ ἐν τοῖς οὐρανοῖς, δηλονότι, ὅπου οὐ γίνεται αὐτοῖς[8]) παρὰ τοῦ ἐν οὐρανοῖς πατρὸς περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, ἐκεῖ οὐδὲ δύο συνεφώνησαν ἐπὶ τῆς γῆς. Καὶ

---

[1]) I Cor. I, 12.

[2]) Galat. V, 15.

[3]) I Cor. I, 10.

[4]) H. et R. καὶ τὸ τῆς αὐτῆς κ. τ. λ.

[5]) Matth. XVIII, 19. H. et R., cfr. pag. 271. not. 1., δύο ἡμῶν κ. τ. λ.

[6]) γενήσεται αὐτοῖς παρὰ τοῦ πατρὸς Ἰησοῦ τοῦ ἐν τοῖς οὐρανοῖς, δηλονότι, ὅπου οὐ. Haec in ed. R. prorsus desiderantur. Male.

[7]) Huetius: γένηται αὐτοῖς κ. τ. λ. Cfr. Matth. XVIII, 19. coll. pag. 271. not. 1.

[8]) Deest αὐτοῖς in ed. Huetii.

τοῦτο αἴτιον ἡμῖν ἐστι τοῦ μὴ ἐπακούεσθαι εὐχομένους, τὸ μὴ συμφωνεῖν ἡμᾶς ἀλλήλοις ἐπὶ τῆς γῆς, μήτε δόγμασι, μήτε βίῳ. Ἔτι δὲ καὶ, εἴπερ σῶμά ἐσμεν Χριστοῦ, καὶ ἔθετο [1]) ὁ θεὸς τὰ μέλη, ἕκαστον αὐτῶν ἐν τῷ σώματι, ἵνα τὸ αὐτὸ μεριμνῶσιν ὑπὲρ ἀλλήλων τὰ μέλη, καὶ συμφωνῶσιν ἀλλήλοις, καὶ πάσχοντος ἑνὸς μὲν μέλους συμπάσχῃ πάντα, δοξαζομένου δὲ συγχαίρῃ, ὀφείλομεν ἀσκεῖν τὴν ἀπὸ τῆς θείας μουσικῆς συμφωνίαν, ἵνα συναγομένων ἡμῶν εἰς τὸ ὄνομα τοῦ Χριστοῦ, Χριστὸς ᾖ ἐν μέσῳ ἡμῶν ὁ τοῦ θεοῦ Λόγος, καὶ ἡ τοῦ θεοῦ σοφία, καὶ ἡ δύναμις αὐτοῦ.

2. *Ταῦτα μὲν οὖν, ὡς τῶν δύο καὶ τριῶν, οὓς προκαλεῖται συμφωνεῖν ὁ Λόγος, κοινότερον νοουμένων. Ἤδη δὲ καὶ ἄλλης διηγήσεως ἁψώμεθα, ἣν ἔλεγέ τις τῶν πρὸ ἡμῶν, προτρέπων ἐπὶ ἁγνείαν καὶ καθαρότητα τοὺς γεγαμηκότας· δύο γὰρ, οὓς βούλεται, φησὶν, ὁ Λόγος συμφωνεῖν ἐπὶ τῆς γῆς, ἄνδρα καὶ γυναῖκα νοητέον, ἐκ συμφωνίας ἀποστεροῦντας ἀλλήλους σωματικῆς ὁμιλίας, ἵνα σχολάσωσι τῇ προσευχῇ, ὅτε προσευχόμενοι περὶ [2]) παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, λήψονται, γιγνομένου αὐτοῖς τοῦ ἀπὸ τοιαύτης συμφωνίας αἰτήματος παρὰ τοῦ ἐν οὐρανοῖς πατρὸς Ἰησοῦ Χριστοῦ. Καὶ ἔοικεν ἡμῖν ἡ διήγησις αὕτη οὐ διάλυσιν ποιεῖν γάμου, ἀλλ' ἐπὶ συμφωνίαν προτροπήν· ὡς εἰ ὁ ἕτερος μὲν βούλοιτο καθαρεύειν, ὁ δὲ ἕτερος μὴ θέλοι, καὶ διὰ τοῦτο συγκαταβαίνοι τῷ ἢ μὴ θέλοντι ἢ μὴ δυναμένῳ ὁ καὶ βουλόμενος καὶ δυνάμενος τὸ κρεῖττον, οὐκ ἂν ἔχοιεν ἀμφότεροι τὸ περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, γίνεσθαι αὐτοῖς παρὰ τοῦ ἐν τοῖς οὐρανοῖς πατρὸς Ἰησοῦ Χριστοῦ.*

3. *Οἶδα δὲ καὶ ἄλλην διήγησιν, μετὰ τοὺς γεγαμηκότας, περὶ τῆς τῶν δύο συμφωνίας, τοιαύτην· ἐν μὲν*

---

[1]) I Cor. XII, 18. — 25. 26

[2]) Matth. XVIII, 19.

τοῖς φαύλοις βασιλεύει [1]) ἡ ἁμαρτία τῆς ψυχῆς, ἱδρυμένη ὡς ἐν οἰκείῳ θρόνῳ τῷ θνητῷ τούτῳ σώματι, εἰς τὸ ὑπακούειν τὴν ψυχὴν ταῖς ἐπιθυμίαις αὐτοῦ· ἐν δὲ τοῖς ἐγείρασιν ὡς ἀπὸ θρόνου τοῦ σώματος τὴν προβασιλεύσασαν ἁμαρτίαν, καὶ ἀγωνιζομένοις πρὸς αὐτὴν, ἡ μὲν „σὰρξ [2]) ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός·“ ἐν δὲ τοῖς ἤδη τελειωθεῖσι κεκράτηκε τὸ πνεῦμα, καὶ τὰς πράξεις ἐθανάτωσε τοῦ σώματος, καὶ μεταδίδωσι τῆς ἑαυτοῦ ζωῆς τῷ σώματι, ὡς ἤδη γίνεσθαι καὶ τό· „ζωοποιήσει [3]) καὶ τὰ θνητὰ ἡμῶν σώματα, διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα ἐν ἡμῖν·“ καὶ γίνεται συμφωνία τῶν δύο, σώματος καὶ πνεύματος, ἐπὶ τῆς γῆς, ἥστινος κατορθωθείσης σύμφωνος καὶ ἡ εὐχὴ ἀναπέμπεται τοῦ καρδίᾳ [4]) μὲν πιστεύοντος εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογοῦντος εἰς σωτηρίαν, ὥστε μηκέτι τὴν καρδίαν πόῤῥω εἶναι τοῦ θεοῦ, καὶ μετὰ ταύτης ἐγγίζειν αὐτοῦ καὶ τοῖς χείλεσι καὶ τῷ στόματι τὸν δίκαιον τῷ θεῷ. Ἔτι δὲ μακαριώτερον, εἰ οἱ τρεῖς συναχθεῖεν ἐπὶ τὸ αὐτὸ εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ, ἵνα πληρωθῇ τό· „ὁ θεὸς [5]) ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα, καὶ ἡ ψυχὴ, καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη.“ Ζητήσει δέ τις τὴν εἰρημένην συμφωνίαν πνεύματος καὶ σώματος εἰ δυνατὸν ταῦτα μὲν συμφωνεῖν, μὴ καὶ τὸ τρίτον δὲ, λέγω δὲ τὴν ψυχὴν, μήποτε οὐκ ἀκολουθῇ τῇ τούτων συμ-

---

[1]) Rom. VI, 12.

[2]) Gal. V, 17.

[3]) Rom. VIII, 11. Ed. Knapp. θνητὰ σώματα ὑμῶν, διὰ τὸ — πνεῦμα ἐν ὑμῖν, ed. Lachm. θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν.

[4]) Rom. X, 10.

[5]) I Thess. V, 23. Edd. N. T. αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι κ. τ. λ.

φωνίᾳ ἐπὶ τῆς γῆς, μετὰ τὸ τοὺς δύο συνῆχθαι εἰς τὸ ὄνομα τοῦ Χριστοῦ, τὸ καὶ τοὺς τρεῖς ἤδη συνάγεσθαι εἰς τὸ ὄνομα αὐτοῦ, ὧν ἐν μέσῳ ἔρχεται ὁ υἱὸς τοῦ θεοῦ, ὡς πάντων αὐτῷ ἀνακειμένων, λέγω δὲ τῶν τριῶν, καὶ μηδενὸς ὄντος αὐτῷ ἐναντίου, οὐ μόνον τοῦ πνεύματος οὐκ ἐναντιουμένου, ἀλλ' οὐδὲ τῆς ψυχῆς, ἔτι οὐδὲ τοῦ σώματος.

4. Χαρίεν δὲ καὶ τὸ τῆς συμφωνίας ἀσκῆσαι νοῆσαι καὶ παραστῆσαι τῶν δύο διαθηκῶν, τῆς δὲ πρὸ τῆς σωματικῆς τοῦ Σωτῆρος ἐπιδημίας, καὶ τῆς καινῆς· ἐν οἷς γὰρ συμφωνοῦσιν αἱ δύο διαθῆκαι, ὡς μηδὲν εἶναι διάφωνον ἐν αὐταῖς τῆς ἑτέρας πρὸς τὴν ἑτέραν, ἐν τούτοις εὑρεθεῖεν ἂν εὐχαὶ, ὡς περὶ παντὸς [1]) πράγματος, οὗ ἐὰν αἰτήσωνται, γενέσθαι αὐτοῖς παρὰ τοῦ ἐν οὐρανοῖς πατρός. Εἰ δὲ καὶ τὸν συναγωγέα τῶν δύο τρίτον ποθεῖς, μὴ ὄκνει λέγειν αὐτὸ εἶναι τὸ ἅγιον πνεῦμα, ἐπεὶ „λόγοι σοφῶν," εἴτε τῶν πρὸ τῆς παρουσίας, εἴτε τῶν κατ' αὐτὴν, καὶ μετ' αὐτήν εἰσιν „ὡς [2]) τὰ βούκεντρα, καὶ ὡς ἧλοι πεφυτευμένοι, οἳ παρὰ τῶν συνθεμάτων ἐδόθησαν ἐκ ποιμένος ἑνός." Μηδὲ τοῦτο δὲ ἀπαρατήρητον ἐάσῃς, [3]) ὅτι οὐκ εἶπεν· „οὗ δύο [4]) εἰσὶν ἢ τρεῖς συνηγμένοι εἰς [5]) τὸ ἐμὸν ὄνομα, ἐκεῖ" ἔσομαι „ἐν μέσῳ αὐτῶν·" ἀλλ' „ἐκεῖ εἰμι·" οὐ μέλλων, οὐδὲ βραδύνων, ἀλλ' ἅμα τῇ συμφωνίᾳ καὶ αὐτὸς εὑρισκόμενος, καὶ ἐν μέσῳ γινόμενος αὐτῶν.

5. „Τότε [6]) προσελθὼν ὁ Πέτρος εἶπεν αὐτῷ· κύ-

---

[1]) Matth. XVIII, 19.

[2]) Eccles. XII, 11. H. et R. minus recte: ἧλοι.

[3]) Loco ἐάσῃς Cod. Reg. habet: ἐάσωμεν. H. et R.

[4]) Matth. XVIII, 20.

[5]) Desunt h. l., cfr. pag. 273. not. 1., verba: εἰς τὸ ἐμὸν ὄνομα, in edd. H. et R.

[6]) Matth. XVIII, 21. Ed. Knapp. τότε προσελθὼν αὐτῷ ὁ Πέτρος, εἶπε· κύριε, κ. τ. λ.

ριε, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ;“ Τὸ νομίζειν ἁπλούστερον εἰρῆσθαι ταῦτα, ὑπὸ μὲν Πέτρου, ὡς ἐρουμένου, ἑπτὰ μὲν ἁμαρτίας τῷ ἀδελφῷ ἀφιέναι ἁμαρτάνοντι εἰς αὐτὸν, ὀγδόῳ δὲ μηκέτι· ὑπὸ δὲ τοῦ Σωτῆρος, ὡς διδάσκοντος καθεζόμενόν¹) τινα ἀριθμεῖν τὰ ἁμαρτήματα τοῦ πέλας εἰς αὐτὸν, ἵνα τὰ μὲν ἑβδομηκοντάκις ἑπτὰ συγχωρῇ, ἀπὸ δὲ ἑβδομηκοστοῦ ὀγδόου μὴ ἀφῇ τῷ ἠδικηκότι αὐτὸν, πάνυ μοι δοκεῖ εὔηθες εἶναι καὶ ἀνάξιον καὶ τῆς Πέτρου παρὰ τῷ Ἰησοῦ προκοπῆς, καὶ τῆς τοῦ Ἰησοῦ θείας μεγαλονοίας. Μήποτ᾽ οὖν καὶ ταῦτα ἔχεται συγγενοῦς ἀσαφείας τῷ· „ἀκούσατέ²) μου τῆς φωνῆς γυναῖκες Λάμεχ,“ καὶ τὰ ἑξῆς. Τὸν μὲν οὖν ἀληθῆ, καὶ ὡς αὐτὸς ἂν ἐσαφήνισεν ὁ Ἰησοῦς εἰς ταῦτα λόγον, εἴ τις ἤδη φίλος γέγονε τῷ Ἰησοῦ, ὡς μαθητεύεσθαι τῷ πνεύματι αὐτοῦ, φωτίζοντι τὸ ἡγεμονικὸν τοῦ ἐπὶ τοσόνδε προεληλυθότος³) κατ᾽ ἀξίαν, εἰδείη ἄν· ἡμεῖς δὲ οἱ τοῦ φιλικοῦ πρὸς τὸν Ἰησοῦν μεγέθους ἀπολειπόμενοι, ἀγαπητὸν εἰ κἂν περιλαλῆσαι ἐπὶ βραχὺ δυνάμεθα τὰ κατὰ τὸν τόπον. Ἔοικεν οὖν ὁ μὲν ἓξ ἀριθμὸς ἐργαστικός τις εἶναι καὶ ἐπίπονος, ὁ δὲ ἑπτὰ περιέχειν ἀνάπαυσιν. Καὶ πρόσχες, εἰ δύνασαι τὸν μὲν ἀγαπῶντα τὸν κόσμον, καὶ τὰ τοῦ κόσμου ἐργαζόμενον, καὶ ὑλικὰ πράττοντα, λέγειν ἁμαρτάνειν ἕξ, καὶ τὸ τέλος αὐτῷ⁴) εἶναι τῆς

---

¹) H. in textu: *καθεξόμενόν τινα ἀριθμόν*, in notis: „ita Cod. Holm. Optime Cod. Regius: *καθεζόμενόν τινα ἀριθμεῖν*.“ R., ut nos, in textu, in notis: „„Cod. Anglicanus (Cod. Holm.?) *καθεζόμενόν τινα ἀριθμεῖν*, non *ἀριθμόν*, ut male legerat Huetius.““ — Matth. XVIII, 22.

²) Gen. IV, 23.

³) Ed. Coloniensis: *προσεληλυθότος*.

⁴) H. in textu *αὐτῷ*, in notis, ac si legerit *αὐτῶν*. „ita Codd. Holm. et Regius. Lege *αὐτῷ*. Ita vetus interpres: *finem ei peccatorum esse*.“ R. in textu *αὐ-*

ἁμαρτίας τὸν ἑπτὰ ἀριθμὸν, ὡς τοιοῦτόν τι τὸν Πέτρον νενοηκότα, ἑπτὰ συγχωρεῖν ἐθέλειν ἁμαρτίας τῶν εἰς αὐτὸν ἡμαρτημένων τῷ ἀδελφῷ. Ἐπεὶ δὲ αἱ κατὰ τὰς μονάδας δεκάδες, καὶ ἑκατοντάδες, λόγον μέν τινα κοινὸν ἀναλογίας ἔχουσι πρὸς τὸν ἐν μονάσιν ἀριθμὸν, ᾔδει[1]) δὲ ἐπιτεινόμενόν τινα καὶ πλείονα, διὰ τοῦτ' οἶμαι τὸν Ἰησοῦν προσπαραλαμβάνειν τῷ ἑπτὰ ἀριθμῷ καὶ τὸν ἑβδομήκοντα, καὶ λέγειν ἄφεσιν μὲν δεῖν γενέσθαι ἀδελφοῖς τοῖς ἐνταῦθα, καὶ εἰς τὰ τῇδε πράγματα ἁμαρτήσασιν. Εἰ δέ τις ὑπερβὰς τὰ κατὰ τὸν κόσμον καὶ τὸν αἰῶνα τοῦτον ἁμαρτήσαι, ἐὰν καὶ τοῦτο μικρὸν εἴη, οὐκέτι ἂν ἔχοι εὔλογον ἁμαρτιῶν ἄφεσιν· ἡ γὰρ ἄφεσις ἐπὶ τὰ τῇδε φθάνει πράγματα, καὶ ἐν τοῖς τῇδε ἡμαρτημένοις, εἴτε βράδιον[2]) γένοιτ' ἂν ἡ ἄφεσις, εἴτε τάχιον. Οὐκ ἔστι δὲ ἄφεσις οὐδὲ ἀδελφῷ τῷ ὑπὲρ[3]) τὰ ἑβδομήκοντα καὶ ἑπτὰ ἡμαρτηκότι. Εἴποις δ' ἂν τὸν τοιόνδε ἁμαρτάνοντα, ἢ ὡς εἰς Πέτρον ἀδελφὸν, ἢ ὡς εἰς Πέτρον οὗ μὴ κατισχύουσιν ᾅδου πύλαι, κατὰ μὲν τὰ τοιάδε ἁμαρτήματα ἐν τῷ ἐλάττονι εἶναι αὐτὸν ἀριθμῷ τῆς ἁμαρτίας· κατὰ δὲ τὰ ἔτι χείρονα, ἐν τῷ ἀριθμῷ τῷ μὴ ἔχοντι ἄφεσιν ἁμαρτημάτων.

Περὶ τοῦ βασιλέως τοῦ συνάραντος λόγον μετὰ τῶν δούλων αὐτοῦ, ᾧ προσήχθη ὀφειλέτης μυρίων ταλάντων.

6. „*Διὰ*[4]) *τοῦτο λέγω ὑμῖν· ὡμοιώθη ἡ βασιλεία*

τῶν, in notis: „ „ita Codd. Anglicanus (Holm?) et Regius. Lege *αὐτῷ*.“ “

[1]) *ᾔδει δὲ ἐπιτεινόμενόν τινα.* Ita Cod. Reg., et vetus interpres. Mendose ergo Cod. noster: *ἤδη δὲ ἐπιτεινόμενον.* Huetius.

[2]) H. et R. *βραδίον* et *ταχίον.*

[3]) Cfr. Matth. XVIII, 22.

[4]) Matth. XVIII, 23. Edd. N. T. *διὰ τοῦτο ὡμοιώθη — βασιλεῖ, ὃς ἠθέλησε κ. τ. λ.*

τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ." [1]) Ἡ μὲν περίνοια τῆς παραβολῆς διδάσκειν βούλεται, συγχωρητικοὺς εἶναι τῶν εἰς ἡμᾶς ἡμαρτημένων [2]) τοῖς ἀδικήσασιν ἡμᾶς, καὶ μάλιστα εἰ μετὰ τὸ ἀδικῆσαι δέοιτο τοῦ ἠδικημένου ὁ ἀδικήσας, συγχωρηθῆναι ἀξιῶν αὐτῷ τὰ ἡμαρτημένα. Καὶ ταῦτα διδάσκειν ἡμᾶς βούλεται ἡ παραβολὴ, παριστᾶσα ὅτι καὶ τῶν ἤδη συγχωρηθέντων ἡμῖν ὑπὸ τοῦ θεοῦ ἁμαρτημάτων, ἐφ᾽ οἷς ἄφεσιν εἰλήφαμεν, ἔκπραξις γένοιτο ἂν καὶ μετὰ τὴν ἄφεσιν, εἰ μὴ ἀφίοιμεν τοῖς ἡμᾶς ἠδικηκόσι τὰ ἁμαρτήματα αὐτῶν, ὡς μηδὲ τὴν τυχοῦσαν μνήμην ἔτι ἐν ἡμῖν καταλείπεσθαι τοῦ ἠδικῆσθαι, ἀλλ᾽ ὅλῃ καρδίᾳ ὑπὸ ἀμνησικακίας ὠφελημένη, οὐ τῆς τυχούσης ἀρετῆς, συγχωροῖ μὲν τῷ ἡμᾶς ἀδικήσαντι τὰ κακῶς εἴς τινα ἡμῶν ἀπ᾽ αὐτοῦ καὶ ἐπιβουλευτικῶς πεπραγμένα. Μετὰ δὲ τὴν περίνοιαν τῆς παραβολῆς, ἔστι μὲν καὶ ἁπλούστερον κατὰ λέξιν πᾶσαν αὐτὴν ἐξετάσαι, ὥστ᾽ ὄνασθαι ἀπὸ τῆς βασάνου τῶν λελεγμένων τὸν ἐπιμελῶς ἐπὶ τὸ ὀρθῶς ζητεῖν ἕκαστον τῶν προγεγραμμένων προκόπτοντα. Ἔστι δὲ, ὡς εἰκὸς, καὶ ἐπαναβεβηκυῖα διήγησις, καὶ δυστέκμαρτός τις μυστικωτέρα, καθ᾽ ἣν, ἀνάλογον ταῖς ἑρμηνευθείσαις ὑπὸ τῶν εὐαγγελιστῶν παραβολαῖς, ζητήσαι τις ἂν ἕκαστον τῶν ἐν ταύτῃ· οἷον τίς ὁ βασιλεὺς, καὶ τίνες οἱ δοῦλοι, καὶ τίς ἡ ἀρχὴ τοῦ συναίρειν λόγον, καὶ τίς ὁ εἷς πολλῶν ὀφειλέτης ταλάντων, τίς τε ἡ γυνὴ αὐτοῦ, καὶ τίνα τὰ τέκνα, καὶ τίνα τὰ παρὰ ταῦτα λελεγμένα πάντα, ἅτινα ἐκέλευσεν ὁ βασιλεὺς πραθῆναι ὑπὲρ τοῦ ἀποδοθῆναι τὴν ὀφειλὴν ἐκ τῶν ὑπαρχόντων ἐκείνου, τί τε τὸ ἐξελθεῖν τὸν συγκεχωρημένον τὰ πολλὰ τάλαντα, καὶ τίς ὁ εὑρεθεὶς τῶν δούλων εἷς, οὐ τῷ οἰ-

---

[1]) H. et R. h. l., cfr. pag. 280. lin. 3. a fine, itemq. Lachm. αὐτοῦ, Knapp. αὑτοῦ.

[2]) Cod. Regius: ἁμαρτημάτων. H. et R.

κοδεσπότῃ, ἀλλὰ τῷ συγκεχωρημένῳ ὀφείλων, καὶ τί βούλεται ὁ ἀριθμὸς τῶν ἑκατὸν δηναρίων, τί δὲ τό· „ἔπνιγε[1]) λέγων· ἀπόδος εἴ τι ὀφείλεις·“ καὶ τίς ἡ φυλακὴ, εἰς ἣν ἀπελθὼν ἔβαλε τὸν σύνδουλον ὁ συγχωρηθεὶς πάντα τὰ τάλαντα, τίνες τε οἱ λυπηθέντες σύνδουλοι καὶ διασαφήσαντες τῷ κυρίῳ πάντα τὰ γενόμενα, καὶ τίνες οἱ βασανισταὶ, οἷς παρεδόθη ὁ εἰς φυλακὴν τὸν σύνδουλον βαλὼν, καὶ πῶς ἀπέδωκε παραδοθεὶς τοῖς βασανισταῖς πᾶν τὸ ὀφειλόμενον, ὡς μηδὲν ὀφείλειν ἔτι. Εἰκὸς δὲ καὶ ἄλλα τινὰ δύνασθαι ἂν ὑπὸ τοῦ ἐξεταστικοτέρου προσαχθῆναι τῷ λόγῳ, ὧν τὴν διήγησιν καὶ τὴν ἑρμηνείαν μείζονα ἢ κατὰ ἄνθρωπον εἶναι νομίζω, καὶ δεομένην πνεύματος Χριστοῦ τοῦ εἰπόντος αὐτὰ, ἵνα ὡς εἶπεν ὁ Χριστὸς νοηθῇ· ὡς γὰρ οὐδεὶς οἶδεν[2]) ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τὸ ἐν αὐτῷ, καὶ οὐδεὶς οἶδε τὰ τοῦ θεοῦ, εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ· οὕτως οὐδεὶς οἶδε μετὰ τὸν θεὸν τὰ ὑπὸ τοῦ Χριστοῦ λελαλημένα ἐν παροιμίαις καὶ παραβολαῖς, εἰ μὴ τὸ Χριστοῦ πνεῦμα, οὗ ὁ μετέχων οὐ μόνον καθὸ Χριστοῦ ἐστι πνεῦμα, ἀλλὰ καὶ καθὸ Χριστοῦ ὡς σοφίας, ὡς Λόγου, θεωρῆσαι ἂν τὰ κατὰ τὸν τόπον αὐτῷ ἀποκαλυπτόμενα. Ἀλλὰ περὶ μὲν τῆς ἀνωτάτω διηγήσεως, οὐκ ἐπαγγελλόμεθα μὲν, οὐ μὴν οὐδ' ἀπελπίζομεν, ἀπὸ Χριστοῦ, ὅς ἐστι σοφία θεοῦ, βοηθούμενοι, καταλαβεῖν τὰ ἐν τῇ παραβολῇ δηλούμενα· πότερον δὲ, ὥστε καὶ ὑπαγορευθῆναι τὰ τοιαῦτα τῇδε[3]) τῇ γραφῇ, ἢ μὴ, θεὸς ἂν ὑποβάλοι ἐν Χριστῷ ποιῆσαι τὸ ἀρεστὸν αὐτῷ, μόνον ἐὰν δοθείη καὶ περὶ τούτων ὁ διὰ[4])

---

[1]) Matth. XVIII, 28. Ed. Knapp. ἀπόδος μοι εἴ τι κτλ.

[2]) I Cor. II, 11.

[3]) Cod. Reg. (H. ad marg.) habet τῇδε τῇ γραφῇ; in Cod. Anglicano (itemque in textu ed. Huet.) deest τῇδε. R.

[4]) I Cor. XII, 8.

τοῦ πνεύματος διδόμενος λόγος σοφίας ἀπὸ τοῦ θεοῦ, καὶ ὁ κατὰ τὸ πνεῦμα ἐπιχορηγούμενος λόγος γνώσεως.

7. „Ὡμοιώθη,[1]) φησὶν, ἡ βασιλεία τῶν οὐρανῶν," καὶ τὰ ἑξῆς. Εἰ δὲ βασιλεῖ ὁμοιώθη τοιῷδε καὶ τοιάδε πεποιηκότι, τίνα χρὴ λέγειν ἢ τὸν υἱὸν τοῦ θεοῦ; Αὐτὸς γάρ ἐστιν ὁ βασιλεὺς τῶν οὐρανῶν, καὶ ὥσπερ αὐτός ἐστιν ἡ αὐτοσοφία, καὶ ἡ αὐτοδικαιοσύνη, καὶ ἡ αὐτοαλήθεια, οὕτω μήποτε καὶ ἡ αὐτοβασιλεία; Βασιλεία δὲ οὐ τῶν κάτω τινὸς, οὐδὲ μέρους τῶν ἄνω, ἀλλὰ πάντων τῶν ἄνω, ἅτινα ὠνομάσθησαν οὐρανοί. Κἂν ζητῇς δὲ τό· „αὐτῶν[2]) ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν·" δύνασαι λέγειν, ὅτι „αὐτῶν" ἐστιν ὁ Χριστὸς, καθὸ αὐτοβασιλεία ἐστὶ, βασιλεύων καθ' ἑκάστην ἐπίνοιαν αὐτοῦ τοῦ μηκέτι βασιλευομένου ὑπὸ τῆς ἁμαρτίας, βασιλευούσης ἐν τῷ θνητῷ σώματι τῶν ἑαυτοὺς ὑποταξάντων αὐτῇ. Καὶ ἐὰν λέγω· βασιλεύων καθ' ἑκάστην ἐπίνοιαν αὐτοῦ· τοιοῦτόν τι δηλῶ, βασιλεύων ᾗ δικαιοσύνη ἐστὶ, καὶ ᾗ σοφία, καὶ ᾗ ἀλήθεια, καὶ αἱ λοιπαὶ ἀρεταὶ, τοῦ γενομένου, διὰ τὸ φορεῖν τὴν εἰκόνα τοῦ ἐπουρανίου, οὐρανοῦ, καὶ πάσης δυνάμεως, εἴτε ἀγγελικῆς, εἴτε τῶν λοιπῶν ὀνομαζομένων, οὐ μόνον ἐν τούτῳ τῷ αἰῶνι, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι ἁγίων, καὶ ἀξίων τῆς τοιαύτης βασιλείας. Αὕτη τοίνυν ἡ βασιλεία τῶν οὐρανῶν, ἡνίκα ἐν ὁμοιώματι[3]) σαρκὸς ἁμαρτίας ἐγένετο, ἵνα περὶ ἁμαρτίας κατακρίνῃ τὴν ἁμαρτίαν, ἡνίκα μὴ γνόντα αὐτὸν[4]) ἁμαρτίαν, ἐποίησεν ὑπὲρ ἡμῶν ἁμαρτίαν, τῶν τῆς ἁμαρτίας ἡμῶν φορούντων σῶμα, ὡμοιώθη[5]) ἀνθρώπῳ βασιλεῖ τῷ κατὰ τὸν Ἰησοῦν νοουμένῳ, ἑνωθεῖσα αὐτῷ, πλεῖον, εἰ δεῖ οὕτω τολμήσαντα εἰπεῖν, ἔχοντι

---

[1]) Matth. XVIII, 23.
[2]) Ibid. V, 3.
[3]) Rom. VIII, 3.
[4]) Ed. H. αὐτόν, ed. R. αὐτόν. Cfr. II Cor. V, 21
[5]) Matth. XVIII, 23.

πρὸς τὸ ἡνῶσθαι, καὶ πάντη ἓν γενέσθαι τῷ πρωτοτόκῳ[1]) πάσης κτίσεως, ἢ ὁ κολλώμενος[2]) τῷ κυρίῳ ἓν πνεῦμα πρὸς αὐτὸν γίνεται. Αὕτη δὲ ἡ ὁμοιωθεῖσα βασιλεία τῶν οὐρανῶν τῷ κατὰ τὸν Σωτῆρα νοουμένῳ ἀνθρώπῳ βασιλεῖ, καὶ ἑνωθεῖσα[3]) αὐτῷ, προληπτικῶς λέγεται ὅτι ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ. Μέλλει δὲ συναίρειν λόγον μετ' αὐτῶν, ἵνα φανῇ, ὅπως ἕκαστος τοῖς τοῦ οἰκοδεσπότου δοκίμοις ἀργυρίοις, καὶ νομίσμασι λογικοῖς ἐχρήσατο. Καὶ ἐλήφθη γε ἐν τῇ[4]) παραβολῇ τὸ παράδειγμα ἀπὸ τῶν συναιρόντων δεσποτῶν λόγον μετὰ τῶν ἰδίων δούλων. Ἀκριβέστερον δὲ νοήσομεν τὸ τῆς παραβολῆς ἐν τούτοις δηλούμενον, ἐρείσαντες αὐτῶν τὴν διάνοιαν τοῖς γινομένοις παρὰ τοῖς οἰκονομήσασι δεσποτικὰ χρήματα οἰκέταις, καὶ λόγον περὶ αὐτῶν ἀπαιτουμένοις. Ἕκαστος γὰρ ἐκείνων ἀπὸ τῶν δεσποτικῶν διαφόρως λαμβάνων χρημάτων, κέχρηται αὐτοῖς, ἤτοι εἰς δέον, ὥστε αὐξάνειν τὰ δεσποτικὰ χρήματα, ἢ ἀσώτως ἀναλίσκων εἰς ἃ μὴ δεῖ, καὶ ἐκχέων ἀκρίτως χωρὶς εὐλαβείας τὰ ἐγκεχειρισμένα. Εἰσὶ δὲ οἳ τάδε μὲν καὶ τὰ τοσάδε καλῶς ᾠκονόμησαν χρήματα, ἕτερα δὲ ἀπολωλέκασι, καὶ ἡνίκα ἂν διδῶσι τὸν λόγον, συναίροντος αὐτὸν τοῦ δεσπότου μετ' αὐτῶν, συνάγεται μὲν πόσον ἐζημιώθη ἕκαστος, ἀριθμεῖται δὲ καὶ πόσον κέρδος προσήγαγε, καὶ κατ' ἀξίαν τοῦ πῶς ᾠκονόμησε, ἤτοι τιμᾶται, ἢ ἐκπράσσεται, ἢ ἐπί τινων μὲν συγχωρεῖται, ἐπί τινων δ' ἀφαιρεῖται.[5]) Φέρε τοίνυν ἀπὸ τῶν εἰρημένων πρῶτον ἴδωμεν τὰ λογικὰ νομίσματα, καὶ δόκιμα τοῦ δεσπότου

---

[1]) Coloss. I, 15.

[2]) I Cor. VI, 17.

[3]) Ed. Huet. minus recte: *ἑνωθεῖσαν*.

[4]) Deest *τῇ* in ed. Coloniensi.

[5]) Ed. H. recte: *ἐπί τινων δ' ἀφαιρεῖται*, ed. R. *ἐπί τινων ἀφαιρεῖται*.

ἀργύρια, ἅπερ ὁ μέν τις πλείονα, ἕτερος δ' ἐλάττονα λαμβάνει· κατὰ γὰρ τὴν ἑκάστου δύναμιν, ᾧ μὲν[1]) δίδονται πέντε τάλαντα, ὡς δυναμένῳ διοικεῖν τὰ τοσαῦτα· ἄλλῳ δὲ δύο, ὡς μὴ χωροῦντι τὰ τοῦ πρὸ αὐτοῦ· ἄλλῳ δὲ ἕν, ὡς καὶ τοῦ ἑτέρου ὑποδεεστέρῳ. Πότερον αὗται μόναι αἱ διαφοραί εἰσιν, ἢ αὗται μὲν περί τινων ἐν τοῖς ἑξῆς τοῦ εὐαγγελίου λέγονται, εἰσὶ δὲ καὶ ἄλλαι παρὰ[2]) ταύτας; Καὶ ἐπ' ἄλλαις παραβολαῖς εὑρίσκονταί τινες, τῇ μὲν ὀφειλέται δύο, ὁ μὲν πεντακοσίων,[3]) ὁ δὲ πεντήκοντα δηναρίων, ἤτοι ταῦτα πιστευθέντες καὶ κακῶς οἰκονομήσαντες, ἐλάττους τῇ δυνάμει τοῦ τὸ τάλαντον πεπιστευμένου, ἢ ὅτι μὲν εἰλήφασιν οὗτοι οὐ μεμαθήκαμεν, ὅτι δὲ τοσοῦτον ὤφειλον, ἀπὸ τῆς παραβολῆς δεδιδάχθαι δοκοῦμεν. Εὑρίσκονται καὶ ἄλλοι δέκα[4]) δοῦλοι πιστευόμενοι μνᾶς ἕκαστος ἀνὰ μίαν. Καὶ εἴ τις δὲ κατανοήσαι τὸ ποικίλον τῆς ἀνθρωπίνης ψυχῆς, καὶ τὰς πολλῷ διαφερούσας ἀλλήλων εὐφυΐας καὶ ἀφυΐας εἰς πλείονας τῶν ἀρετῶν, ἢ ἐλάττονας, καὶ τάσδε τὰς ἀρετὰς, ἢ τάσδε, τάχα ἂν ἐννοήσαι, πῶς ἑκάστη ψυχὴ ἐλήλυθε μετά τινων τοῦ οἰκοδεσπότου νομισμάτων, ἀναφαινομένων μετὰ τῆς τοῦ λόγου συμπληρώσεως, καὶ τῆς ἑξῆς τῇ συμπληρώσει[5]) τοῦ λόγου ἐπιμελείας, καὶ ἀσκήσεως τῆς πρὸς τὰ δέοντα, ἢ ἐπιμελείας μὲν καὶ ἀσκήσεως τῆς πρὸς ἄλλαδε, ἤτοι χρήσιμα, ὁποῖά ἐστι τὰ ἐπιτηδεύματα, ἢ πὴ[6]) μὲν χρήσιμα, πὴ δὲ οὐ χρήσιμα, ὁποῖά ἐστι τὰ μηδὲ πάντη ἀληθῆ δόγματα, μήτε δι' ὅλων ψεύδη.[7])

---

[1]) Matth. XXV, 15.

[2]) H. et R. παρὰ ταύτας, καί κ. τ. λ.

[3]) Luc. VII, 41.

[4]) Luc. XIX, 13.

[5]) H. et R. in textu: τῇ συμπληρώσει, in notis: „Cod. Regius: τῆς συμπληρώσεως.“

[6]) H. et R. minus recte: πῇ μὲν —, πῇ δέ κτλ.

[7]) H. et R. ψεύδη.

8. Ζητήσεις δὲ ἐν τούτοις πότερον πάντες δύνανται ἄνθρωποι δοῦλοι τούτου λέγεσθαι τοῦ βασιλέως· ἢ τινες μὲν δοῦλοι, οὓς προέγνω καὶ προώρισεν, ἕτεροι δὲ, οἱ τοῖς δούλοις συμπραγματευόμενοι, τραπεζῖται λεγόμενοι. Καὶ οὕτω δὲ ζητήσεις, εἰ ἔξω τῶν δούλων εἰσὶν, ἀφ' ὧν μετὰ τόκων ἐκπράττειν ἐπαγγέλλεται ὁ οἰκοδεσπότης, οὐ μόνον ἀλλότριοι τῆς θεοσεβείας, ἀλλὰ καί τινες τῶν πιστευόντων. Δοῦλοι δὲ μόνοι οἱ τοῦ λόγου [1]) οἰκονόμοι· συναίρων δὲ λόγον μετὰ τῶν δούλων ὁ βασιλεὺς, ἀπαιτεῖ καὶ τοὺς ἀπὸ τῶν δούλων δεδανεισμένους, εἴτε ἑκατὸν κόρους [2]) σίτου, εἴτε ἑκατὸν βάδους [3]) ἐλαίου, εἴτε ὅ, τι δήποτε εἰληφότας τοὺς ἔξω τοῦ βασιλέως οἰκετίας· οὐ γὰρ σύνδουλος τοῦ οἰκονόμου τῆς ἀδικίας [4]) εὑρίσκεται κατὰ τὴν παραβολὴν ὁ τοὺς ἑκατὸν ὀφείλων τοῦ σίτου κόρους, καὶ τοὺς ἑκατὸν τοῦ ἐλαίου βάδους, ὡς δῆλον ἐκ τοῦ· „πόσον ὀφείλεις τῷ κυρίῳ μου;“ Νόει δέ μοι ἑκάστην πρᾶξιν ἐοικέναι, ἀγαθὴν μὲν ἢ καθήκουσαν, κέρδει καὶ ἐπιγεννήματι, μοχθηρὰν δὲ, ζημίᾳ· καὶ ὥσπερ ἐστί τι κέρδος πλειόνων ἀργυρίων, καὶ ἄλλο ἐλαττόνων, καὶ διαφόρως πλειόνων καὶ ἐλαττόνων, οὕτως κατὰ τὰς καλὰς πράξεις οἱονεὶ συντίμησίς ἐστι κερδῶν πλειόνων ἢ ἐλαττόνων. Ὁ τοῦ μόνου ἐπισταμένου τὰ τοιαῦτα ἐξετάζειν, ὁρῶντος ἀπὸ τῆς διαθέσεως, καὶ τοῦ λόγου, καὶ τῆς πράξεως, καὶ τῶν συνεργούντων τοῖς ἐφ' ἡμῖν ἐκ τῶν οὐκ ἐφ' ἡμῖν, λογίσασθαι ποῖον μὲν ἔργον μέγα κέρδος

---

[1]) H. in textu *νόμου*, in notis: „malim: οἱ τοῦ λόγου οἰκονόμοι, cui suffragantur vetus interpres: *qui dispensatores verbi habentur*, et Cod. Regius.“ R. in textu: *λόγου*, in notis: „„Cod. Reg. recte: *λόγου*, quemadmodum legit vetus interpres. Cod. Anglicanus: *νόμου*.“ “

[2]) Luc. XVI, 7.

[3]) H. et R. h. l. et paulo post: *βάδους*, edd. N. T., cfr. Luc. XVI, 6., *βάτους*.

[4]) Luc. XVI, 8. — 5.

ἐστὶ, ποῖον δὲ ἔλαττον, ποῖον δὲ ἐλάχιστον· οὕτω δὲ καὶ ἐπὶ τῶν ἐναντίων, ποῖον μὲν ἁμάρτημα ἐν τῷ συναίρεσθαι λόγον τοῖς δούλοις εὑρίσκεται μεγάλη ζημία, ποῖον δὲ ἐλάττων, καὶ ποῖον, εἰ δεῖ οὕτως ὀνομάσαι, ζημία τοῦ ἐσχάτου λεπτοῦ,[1]) ἢ τοῦ ἐσχάτου κοδράντου. Ὅλου τοίνυν καὶ παντὸς τοῦ βίου συναίρεται[2]) ὑπὸ τῆς εἰρημένης βασιλείας τῶν οὐρανῶν, ὁμοιωθείσης[3]) ἀνθρώπῳ βασιλεῖ, λόγος, ὅτε τοὺς „πάντας[4]) ἡμᾶς παραστῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον·“ καὶ τότε συναιρομένου λόγου, ἀχθήσεται εἰς τὸν συναιρόμενον λόγον, καὶ „πᾶν[5]) ῥῆμα ἀργὸν ὃ ἂν λαλήσωσιν οἱ ἄνθρωποι, καὶ εἴ ποτέ τις ἐπότισε[6]) ποτήριον ὕδατος ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ.

9. Καὶ ταῦτα ἔσται, ἡνίκα ἂν τὸ παρὰ τῷ Δανιὴλ γεγραμμένον, τό· „βίβλοι[7]) ἠνεῴχθησαν, καὶ κριτήριον ἐκάθισεν·“ οἱονεὶ γὰρ πάντων τῶν λελαλημένων, καὶ πεπραγμένων, καὶ τῶν νενοημένων ἀναγραφή τις γίνεται, καὶ θείᾳ δυνάμει πᾶν κρυπτὸν ἡμῖν[8]) φανερωθήσεται, καὶ πᾶν κεκαλυμμένον ἀποκαλυφθήσεται, ἵν' ἐπὰν μὴ εὑρεθῇ τις δεδωκὼς ἐργασίαν[9]) ἀπηλλάχθαι τοῦ ἀντιδίκου, ὁδεύσῃ διὰ τοῦ ἄρχοντος, καὶ τοῦ κριτοῦ, καὶ τοῦ ὑπηρέτου ἐπὶ τὴν φυλακὴν, ἕως τὸν ἔσχα-

---

1) Luc. XII, 59. — Matth. V, 26.
2) Ed. R. συναίρεσθαι.
3) Matth. XVIII, 23.
4) II Cor. V, 10. coll. pag. 268. not. 1.
5) Matth. XII, 36. Ed. Knapp. ὃ ἐὰν λαλήσ., ed. Lachm. ὃ λαλήσωσιν κ. τ. λ.
6) Ibid. X, 42.
7) Dan. VII, 10. LXX. interpretes: κριτήρ. ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν.
8) Cod. Regius: ἡμῶν. H. et R. — Matth X, 26.
9) Luc. XII, 58. — 59.

τον λεπτὸν ἀποδῷ· ἐπὰν δὲ ᾖ δοὺς ἐργασίαν ἀπηλλάχθαι ἐκείνου, καὶ μηδενὶ μηδὲν ὀφείλων, καὶ ἤδη τὴν μνᾶν δεκαπλασιάσας, ἢ πενταπλασιάσας, ἢ τὰ πέντε τάλαντα διπλασιάσας, ἢ τὰ δύο τέσσαρα ποιήσας, τύχῃ τῆς δεούσης ἀμοιβῆς εἰσερχόμενος εἰς τὴν χαρὰν τοῦ κυρίου αὐτοῦ,[1]) ἢ ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν[2]) αὐτοῦ καθιστάμενος, ἢ ἀκούων· „ἴσθι[3]) ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων·" ἤ· „ἴσθι[4]) ἐξουσίαν ἔχων ἐπάνω πέντε πόλεων." Ταῦτα δὲ ἡμεῖς μὲν ὡς χρόνου πολλοῦ δεόμενα, ἵνα συναρθῇ ἡμῖν περὶ τῶν ὅλων χρόνων τῆς ἐνταῦθα ζωῆς λόγος, νομίζομεν λέγεσθαι, ὥστ' ἂν ὑπολαβεῖν, τοῦ βασιλέως συναίροντος ἑνὶ ἑκάστῳ τοσούτων δούλων λόγον, τοσούτου χρόνου δεῖσθαι τὰ πράγματα, ἕως ἐπὶ τὸ τέλος ἔλθῃ τὰ ἀπὸ τῆς ἀρχῆς τοῦ κόσμου ἕως τῆς συντελείας τοῦ αἰῶνος, οὐχ ἑνὸς, ἀλλὰ καὶ πλειόνων αἰώνων. Τὸ δὲ ἀληθὲς οὐχ οὕτως ἔχει· ἀθρόως γὰρ βουληθεὶς ὁ θεὸς ἀναῤῥιπίσαι ἐν ταῖς πάντων μνήμαις, ὑπὲρ τοῦ ἕκαστον τῶν ἰδίων συναισθηθῆναι κρεῖττον ἢ χεῖρον πεπραγμένων, πάντα τὰ παρ' ὅλον τὸν χρόνον γεγενημένα ἑκάστῳ, ποιήσαι ἂν δυνάμει ἀφάτῳ. Οὐ γὰρ, ὥσπερ ἡμεῖς, βουλόμενοι ὑπόμνησίν τινων ποιῆσαι, δεόμεθα χρόνου διαρκοῦς πρὸς τὴν διέξοδον τῶν ὑφ' ἡμῶν λεγομένων, καὶ φερόντων εἰς ἀνάμνησιν ὧν βουλόμεθα ἀναμνῆσαι, οὕτως ὁ θεὸς, βουληθεὶς ἡμᾶς ὑπομνῆσαι[5]) τῶν ἐν τῷ βίῳ τούτῳ πεπραγμένων, ἵνα συναισθηθέντες ὧν πεποιήκαμεν, καταλάβωμεν δι' ἃ κολαζόμεθα ἢ τιμώμεθα, ποιήσαι[6]) ἄν.

---

[1]) Ed. Huetii: αὐτοῦ. Cfr. Matth. XV, 21.

[2]) Matth. XIV, 47.

[3]) Luc. XIX, 17.

[4]) Luc. XIX, 19. Edd. N. T. (cfr. pag. 296. not. 6.) καὶ σὺ γίνου ἐπάνω κ. τ. λ.

[5]) Ed. Huet. minus recte: ὑπομνήσαι.

[6]) H. et R. minus recte: ποιῆσαι ἄν.

Εἰ δέ τις τῷ τάχει τῆς τοῦ θεοῦ περὶ ταῦτα δυνάμεως ἀπιστεῖ, οὗτος[1]) οὐδέπω νενόηκε τὸν ποιήσαντα τὰ ὅλα θεὸν, οὐ δεηθέντα χρόνων εἰς τὸ ποιῆσαι τηλικαύτην οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν αὐτοῖς κτίσιν· κἂν γὰρ δοκῇ ἐν ἓξ ἡμέραις ταῦτα πεποιηκέναι, συνέσεως χρεία πρὸς τὸ νοῆσαι, πῶς λέγεται τὸ „ἐν ἓξ ἡμέραις·“ διὰ τοῦτο· „αὕτη[2]) ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς,“ καὶ τὰ ἑξῆς. Τολμητέον οὖν καὶ λεκτέον, ὅτι ὁ τῆς προσδοκωμένης κρίσεως καιρὸς οὐ δεῖται χρόνων, ἀλλ᾽ ὡς ἡ ἀνάστασις λέγεται γίνεσθαι „ἐν ἀτόμῳ,[3]) ἐν ῥιπῇ ὀφθαλμῶν,“ οὕτως οἶμαι καὶ ἡ κρίσις.

10. Μετὰ ταῦτα λεκτέον εἰς τό· „ἀρξαμένου[4]) δὲ αὐτοῦ συναίρειν λόγον, προσήχθη[5]) αὐτῷ εἷς ὀφειλέτης πολλῶν ταλάντων.“ Ὅπερ τοιοῦτόν μοι δοκεῖ ἔχειν νοῦν· ὁ μὲν καιρὸς τοῦ ἄρξασθαι τὸ κρίμα ἐστὶν ἀρχόμενος ἀπὸ τοῦ οἴκου τοῦ θεοῦ, εἰπόντος, ὡς καὶ ἐν τῷ Ἰεζεκιὴλ γέγραπται, τοῖς ἐπὶ τῶν κολάσεων τεταγμένοις· „ἀπὸ[6]) τῶν ἁγίων μου ἄρξασθε·“ καὶ ῥιπῇ ὀφθαλμοῦ ἐοικώς ἐστιν· ὁ δὲ τοῦ συναίρειν λόγον τὴν αὐτὴν ἔχει ἐπινοίᾳ λαμβανομένην, οὐ γὰρ ἐπιλελήσμεθα τῶν προειρημένων ἀπὸ τῶν ὀφειλόντων πλείονα. Διόπερ οὐ γέγραπται μέν· συναίροντος δὲ αὐτοῦ λόγον, εἴρηται δέ· „ἀρξαμένου[7]) δὲ αὐτοῦ συναίρειν προσηνέχθη[8]),“ — ἐν τῇ ἀρχῇ τοῦ συναίρειν αὐτὸν λόγον, — „εἷς ὀφει-

---

[1]) Cod. Holmiensis: οὕτως.

[2]) Gen. II, 4.

[3]) I Cor. XV, 52.

[4]) Matth. XVIII, 24. In edd. N. T. λόγον justis de causis desideratur, (cfr. pag. huj. not. 7.), pro πολλῶν autem μυρίων legitur.

[5]) Ed. Knapp. προσηνέχθη. Cfr. pag. huj. not. 8.

[6]) Ezech. IX, 6.

[7]) Matth. XVIII, 24. coll. pag. huj. not. 4.

[8]) H. et R. h. l., cfr. pag. huj. not. 5., προσηνέχθη.

λέτης πολλῶν ταλάντων,“ ὡς μυρία ὅσα ζημιωθεὶς,[1]) καὶ μεγάλα μὲν ἐγκεχειρισμένος, καὶ πιστευθεὶς πολλὰ, μηδὲν δὲ κέρδος προσαγαγὼν τῷ δεσπότῃ, ἀλλὰ μυρία ὅσα ζημιωθεὶς, ὥστε αὐτὸν ὀφείλειν πολλὰ τάλαντα· καὶ τάχα διὰ τοῦτο πολλὰ ὤφειλε τάλαντα, ἐπείπερ ἠκολούθησε πολλάκις τῇ ἐπὶ τὸ τάλαντον τοῦ μολίβδου[2]) καθημένῃ γυναικὶ, ᾗ ὄνομα „ἀνομία.“ Νόει δὲ κατὰ τὸν τόπον, ἕκαστον μέγιστον ἁμάρτημα ταλάντων εἶναι ζημίαν οἰκοδεσποτικῶν· καὶ τοιαῦτα ἁμαρτάνουσι πόρνοι, μοιχοὶ, ἀρσενοκοῖται, μαλακοὶ, εἰδωλολάτραι, φονεῖς. Οὐδὲν οὖν τάχα μικρὸν, ἀλλὰ πάντα μεγάλα καὶ χαλεπὰ ἥμαρτεν ὁ προσαχθεὶς τῷ βασιλεῖ εἷς ὀφειλέτης πολλῶν ταλάντων, ὅντινα εἰ μὲν ἐν ἀνθρώποις ζητήσεις, ἴσως ἂν αὐτὸν εὕροις ὄντα τὸν ἄνθρωπον[3]) τῆς ἁμαρτίας, τὸν υἱὸν τῆς ἀπωλείας, τὸν ἀντικείμενον, καὶ ἐπαιρόμενον ἐπὶ πάντα θεὸν ἢ σέβασμα· εἰ δὲ ἔξω ἀνθρώπων, τίς ἂν εἴη οὗτος, ἢ ὁ διάβολος, τοσούτους ἀπολωλεκὼς δεξαμένους αὐτὸν ἐνεργοῦντα τὴν ἁμαρτίαν; „Μέγα[4]) γὰρ ἄνθρωπος καὶ τίμιον ἀνὴρ ἐλεήμων·“ τίμιον ὡς ταλάντου εἶναι ἄξιον ἤτοι χρυσοῦ,[5]) ὁποία ἡ λυχνία[6]) ἡ ταλαντιαία ἦν ἡ χρυσοῦ, ἢ ἀργύρου, ἢ ὁποιασδήποτε νοητῶς παραλαμβανομένης ὕλης, ὧν σύμ-

---

[1]) H. et R. h. l. et paulo post ζημειωθείς.

[2]) Zach. V, 7. 8.

[3]) II Thess. II, 4.

[4]) Prov. XX, 6.

[5]) H. et R. in textu: ἤτοι χρόνου, ὁποία — ἦν ἡ χρυσοῦ, H. in notis: „sic concepta erant verba haec in Mss. Holm. et Regio. Lege: ἤτοι χρυσοῦ, ὁποία — ἦν ἡ χρυσοῦ. Favet vetus interpres: *et honorabile quasi talentum dignum, sive aureum, qualis fuit lucerna illa talenti aurei, sive argenteum talentum*, etc.“ Equidem posteriora verba: ἡ χρυσοῦ, non absque jure removerim.

[6]) Exod. XXV, 39. et XXXVIII, 17.

βολα ἐν τοῖς λόγοις τῶν Ἡμερῶν [1]) *ἀναγέγραπται, Δαβὶδ πλουτήσαντος πολλοῖς ταλάντοις, ὧν καὶ ὁ ἀριθμὸς λέλεκται, ταλάντοις χρυσοῦ τοσοῖσδε, καὶ ἀργύρου τοσοῖσδε, καὶ τῆς λοιπῆς ὀνομαζομένης ἐκεῖ ὕλης, ἐξ ἧς κατεσκεύασται ὁ τοῦ θεοῦ νεώς.*

11. *Πλὴν μὴ ἔχων* [2]) *ἀποδοῦναι τὰ τάλαντα, — ἀπολωλέκει γὰρ ταῦτα —, ἔχει γυναῖκα καὶ τέκνα, καὶ ἄλλα περὶ ὧν γέγραπται· „πάντα* [3]) *ὅσα ἔχει.“ Καὶ ἦν δυνατὸν, πιπρασκόμενον αὐτὸν μετὰ τῶν ἰδίων, εὐπορῆσαι τοῦ ὠνησαμένου αὐτὸν, καὶ πληρώσαντος διὰ τῆς τιμῆς αὐτοῦ καὶ τῶν αὐτοῦ πᾶν τὸ ὄφλημα·* [4]) *καὶ οἷόντε ἦν αὐτὸν μηκέτι μὲν εἶναι δοῦλον τοῦ βασιλέως, γενέσθαι δὲ τοῦ ὠνησαμένου. Καὶ ἐπιδικάζεταί γε τοῦ μὴ πραθεὶς ἅμα τοῖς ἰδίοις μένειν ἐν τῇ τοῦ βασιλέως οἰκίᾳ· διὸ πεσὼν προσκυνεῖ αὐτῷ, θεὸν ἐπιστάμενος τὸν βασιλέα, καὶ λέγει· „μακροθύμησον* [5]) *ἐπ᾽ ἐμοὶ, καὶ πάντα ἀποδώσω σοι·“ ἦν* [6]) *γὰρ, ὡς εἰκὸς, δραστήριος, ὁρῶν ὅτι δύναται ἐκ δευτέρων πράξεων ἀναπληρῶσαι πᾶν τὸ ἐνδεὲς ἀπὸ τῆς προτέρας ζημίας τῶν πολλῶν ταλάντων. Καὶ ὁ ἀγαθός γε βασιλεὺς οὗτος ἐσπλαγχνίσθη καὶ ἐπὶ τὸν ὀφειλέτην τῶν πολλῶν ταλάντων, καὶ τότε μὲν ἀπέλυσεν αὐτὸν, πλεῖόν τι χαρισάμενος αὐτῷ ἧς ἠξιώθη ἀξιώσεως· ὁ μὲν γὰρ ὀφειλέτης ἐπηγγείλατο μακροθυμήσαντι τῷ δεσπότῃ ἀποδοῦναι ἅπαντα τὰ ὀφει-*

---

[1]) I Chron. XXII, 14.

[2]) Matth. XVIII, 25.

[3]) Ed. Knapp. l. l. *εἶχε* pro *ἔχει.*

[4]) H. et R. *ὄφλημα.*

[5]) Matth. XVIII, 26. Ed. Knapp. *καὶ πάντα σοι ἀποδώσω.*

[6]) Huetius (secund. eam, quae Rothomagi prodiit a. 1668., editionem) *ἦν γὰρ εἰκός* (non *εἰκὸς*) *καὶ δραστήριος,* ex ed. Coloniensi: *ἦν γὰρ εἰκός καὶ δραστήριος.* Legit fortasse: *ἦν γὰρ, (ὡς) εἰκός ἐστι, δραστήριος κτλ.*

λήματα, ὁ δὲ σπλαγχνισθεὶς ἐπ᾽ αὐτῷ κύριος, οὐκ ἐπὶ τῷ ἀπολαβεῖν ἐκ τοῦ μακροθυμεῖν τότε ἀφῆκεν αὐτὸν μόνον, ἀλλὰ καὶ παντελῶς ἀπέλυσε, καὶ πᾶσαν τὴν ὀφειλὴν ἀφῆκεν αὐτῷ. Ὁ δὲ πονηρὸς δοῦλος οὗτος, καὶ μακροθυμίαν ἀπὸ τοῦ δεσπότου αἰτήσας ἐπὶ τοῖς πολλοῖς ταλάντοις, ἀνηλεῶς πεποίηκεν· εὑρὼν [1]) γὰρ „ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια, κρατήσας αὐτὸν ἔπνιγε λέγων· ἀπόδος εἴ τι ὀφείλεις.“ Πῶς δὲ οὐχ ὑπερβολὴν πονηρίας ἐπεδείξατο, δι᾽ ἑκατὸν δηνάρια κρατήσας τὸν σύνδουλον, καὶ πνίγων, καὶ ἀποστερῶν αὐτὸν ἐλευθέρας ἀναπνοῆς, αὐτὸς [2]) ἐπὶ τοῖς πολλοῖς ταλάντοις μήτε κρατηθεὶς, μήτε πνιγεὶς, ἀλλὰ πρότερον μὲν κελευσθεὶς πραθῆναι ἅμα γυναικὶ, καὶ τέκνοις, καὶ τοῖς ἑαυτοῦ, ὕστερον δὲ, μετὰ τὸ προσκυνῆσαι, σπλαγχνισθέντος ἐπ᾽ αὐτῷ τοῦ κυρίου, ἀπολυθεὶς, καὶ περὶ πάσης ἀφεθεὶς τῆς ὀφειλῆς. Καὶ ἔργον γε εἰπεῖν κατὰ τὸ βούλημα τοῦ Ἰησοῦ, τίς ἐστιν ὁ εὑρεθεὶς σύνδουλος εἷς ὀφείλων, οὐ τῷ κυρίῳ ἑαυτοῦ, ἀλλὰ τῷ πολλὰ ὀφείλοντι τάλαντα, ἑκατὸν δηνάρια· καὶ τίνες οἱ ἰδόντες τὸν μὲν πνίγοντα, τὸν δὲ πνιγόμενον σύνδουλοι, καὶ λυπηθέντες σφόδρα, καὶ σαφῶς παραστήσαντες τῷ κυρίῳ ἑαυτῶν πάντα τὰ γενόμενα. Ὡς μὲν οὖν ἀληθείας ἔχει τὰ πράγματα, ἀποφαίνομαι μηδένα διηγήσασθαι, εἰ μὴ Ἰησοῦ, τοῦ τοῖς ἰδίοις μαθηταῖς κατ᾽ ἰδίαν λύσαντος πάντα, ἐπιδημήσαντος αὐτοῦ τῷ ἡγεμονικῷ, καὶ ἀνοίγοντος τοὺς ἐν τῇ παραβολῇ θησαυροὺς πάντας, σκοτεινοὺς, ἀποκρύφους, ἀοράτους, καὶ πληροφοροῦντος δι᾽ ἐναργῶν ἀποδείξεων ὃν βούλεται φωτίσαι τῷ φωτὶ τῆς γνώσεως τῶν κατὰ τὴν παραβολὴν ταύτην, ἵν᾽ ἅμα τε παραστήσῃ, τίς ὁ εἷς προσ-

---

1) Matth. XVIII, 28. coll. pag. 282. not. 1.

2) H. et R., ille ad oram atque in notis, hic in textu rectissime: αὐτός. R. in notis: „Cod. Regius: αὐτός, ed. Huetii (in textu) αὐτοῖς.“

αχθεὶς τῷ βασιλεῖ ἀνθρώπῳ [1]) ὀφειλέτης πολλῶν ταλάντων, καὶ τὰ ἑξῆς, καὶ ὁ ὀφείλων τούτῳ τὰ ἑκατὸν δηνάρια ἄλλος εἷς, καὶ τὰ λοιπά, εἴτε δύναται εἶναι ὁ προαποδεδομένος [2]) ἄνθρωπος τῆς ἁμαρτίας, εἴτε καὶ ὁ διάβολος, εἴτε μηδ' ἕτερος μὲν τούτων, ἄλλος δέ τις, ἤτοι ἄνθρωπος, ἢ τῶν ὑπὸ τὸν διάβολόν τις· ἔστι γὰρ τῆς σοφίας τοῦ θεοῦ ἔργον, καὶ τὰ περὶ τῶν ἰδίως ποιῶν, ἤτοι πεποιωμένων κατὰ τὰς τοιάσδε ποιότητας, εἴτε ἐν ἀοράτοις δυνάμεσιν, εἴτε καὶ ἔν τισιν ἀνθρώποις ἀποδοῦναι προφητευόμενα, ὁπωσποτοῦν ὑπὸ τοῦ θείου πνεύματος ἀναγεγραμμένα. Ὡς δὲ μηδέπω διαρκῆ νοῦν ἀναλαβόντες ἡμεῖς τὸν δυνάμενον ἀνακραθῆναι τῷ Χριστοῦ [3]) νῷ, ἕως τῶν τοσούτων χωροῦντα φθάνειν, καὶ μετὰ τοῦ πνεύματος πάντα ἐρευνᾷν καὶ τὰ βάθη τοῦ θεοῦ, οἴομεθα ἔτι ἀορίστως περὶ τῶν κατὰ τὸν τύπον λαμβάνοντες φαντασίαν, ἐπί τινα ἕνα ἀναφέρεσθαι πονηρὸν δοῦλον διὰ τῆς παραβολῆς δηλούμενον, τὸν [4]) ἐνταῦθα παριστάμενον περὶ τῆς τῶν πολλῶν ταλάντων ὀφειλῆς.

12. Πότε δὲ ὁ κατὰ τὴν παραβολὴν βασιλεὺς ἄνθρωπος ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ, ἄξιον ἐπισκέψασθαι, καὶ ἐπὶ τίνα καιρὸν χρὴ ἀναφέρειν τὰ λεγόμενα. Εἰ μὲν γὰρ μετὰ τὴν συντέλειαν, ἢ ἐπ' αὐτήν, κατὰ τὸν τῆς προσδοκωμένης κρίσεως καιρόν, πῶς σώσαι τὰ περὶ τοῦ ὀφείλοντος ἑκατὸν δηνάρια, καὶ πνιγομένου ὑπὸ τοῦ συγχωρηθέντος τὰ πολλὰ

---

[1]) Cod. Anglicanus: ἀνθρώπῳ, Cod. Regius (item edd. H.) ἀνθρώπων. R.

[2]) II Thess. II, 4.

[3]) H. in textu: Χριστῷ, in notis: „ita Codd. Holm. et Regius. Lege Χριστοῦ." R. in textu: Χριστοῦ, in notis: „„Cod. Anglican. plane habet: Χριστοῦ, optime Cod. Regius autem Χριστῷ·""

[4]) Deest τόν in ed. Coloniensi.

τάλαντα; Εἰ δὲ πρὸ τῆς κρίσεως, πῶς ἂν δύναιτό τις παραστῆσαι πρὸ ἐκείνης συναιρόμενον λόγον ὑπὸ τοῦ βασιλέως ἀνθρώπου μετὰ τῶν δούλων αὐτοῦ; Ἀπαξαπλῶς δὲ χρὴ φρονεῖν περὶ πάσης παραβολῆς, ἧς μὴ ἀναγέγραπται ἡ διήγησις ὑπὸ τῶν εὐαγγελιστῶν, εἰ καὶ Ἰησοῦς τοῖς ἰδίοις μαθηταῖς κατ' ἰδίαν ἐπέλυε πάντα· καὶ διὰ τοῦτο ἀπέκρυψαν οἱ τὰ εὐαγγέλια γράφοντες τὴν σαφήνειαν τῶν παραβολῶν, ἐπεὶ μείζονα ἦν τὰ κατ' αὐτὰς δηλούμενα τῆς τῶν γραμμάτων [1]) *φύσεως, καὶ ἦν τε ἑκάστη λύσις καὶ ἡ σαφήνεια τῶν τοιούτων παραβολῶν τοιαύτη, ὡς μηδὲ αὐτὸν τὸν κόσμον χωρεῖν τὰ γραφόμενα εἰς τὰς τοιαύτας παραβολὰς βιβλία. Γένοιτο δ' ἂν εὑρεθῆναι καρδίαν ἐπιτηδείαν, καὶ διὰ τὴν καθαρότητα χωροῦσαν τὰ γράμματα τῆς σαφηνείας τῶν παραβολῶν, ὥστε ἐν αὐτῇ γραφῆναι πνεύματι θεοῦ ζῶντος. Ἀλλ' ἐρεῖ τις, ὅτι μήποτε ἀσεβοῦμεν οἱ θέλοντες διὰ τὸ ἀπόῤῥητόν τινων καὶ μυστικὸν τῶν ὑπεράνω γραμμάτων εἶναι δηλωτικὰ ταῦτα, πειρώμενοι ταῦτα σαφηνίσαι, κἂν δοκῇ καθ' ὑπόθεσιν* [2]) *ὅτι ἔγνωμεν ἐπιμελῶς αὐτῶν τὸ βούλημα. Λεκτέον δὲ καὶ πρὸς τοῦτο, ὅτι, εἰ μὲν ἀκριβῶς εἰληφότες αὐτὰ νοεῖν, οἴδασι τὸ πρακτέον αὐτοῖς, ἡμεῖς δὲ, οἱ ὁμολογοῦντες ἀπολείπεσθαι τοῦ δυνηθῆναι ἐπὶ τὸ βάθος τῶν δηλουμένων ἐν τούτοις, εἰ καί τινα παχυτέραν περίνοιαν ἐπὶ ποσὸν λαμβάνομεν τῶν κατὰ τὸν τόπον, φήσομεν, ὅτι τινὰ μὲν ὧν ἐκ πολλῆς βασάνου καὶ ζητήσεως εὑρίσκειν δοκοῦμεν, εἴτε χάριτι θεοῦ, εἴτε δυνάμει τοῦ ἐν ἡμῖν νοῦ, οὐ τολμῶμεν ἐμπιστεῦσαι γράμμασι· τινὰ δὲ γυμνασίας ἡμετέρας, καὶ τῆς τῶν ἐντευξομένων χάριν, ἐπὶ ποσὸν ἐκτιθέμεθα. Ἀλλὰ ταῦτα μὲν ἀπολελογήσθω διὰ τὸ τῆς παραβολῆς βάθος· πρὸς δὲ τὸ, πότε ἠθέλησεν ὁ*

---

1) Cod. Regius: *πραγμάτων*. H. et R.

2) Codd. Reg. et Anglicanus: *καθ' ὑπόθεσιν*. Ed. Huetii in textu habet: *καθ' ὑποθέσεως*, male. R.

τῆς παραβολῆς βασιλεὺς ἄνθρωπος συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ, φήσομεν, ὅτι ἔοικε περὶ τὸν κεκηρυγμένον τῆς κρίσεως καιρὸν τὸ τοιοῦτο γίνεσθαι. Παριστᾶσι δὲ τοῦτο, μία μὲν πρὸς τοῖς τελευταίοις τοῦ προκειμένου εὐαγγελίου παραβολὴ, μία δὲ καὶ ἐκ τοῦ κατὰ Λουκᾶν. Καὶ ἵνα μὴ, αὐτὴν ἐκτιθέμενοι τὴν λέξιν, μηκύνωμεν τὸν λόγον, δυναμένου τοῦ βουλομένου ἀπ᾿ αὐτῆς τῆς γραφῆς λαβεῖν, φήσομεν, ὅτι ἡ μὲν κατὰ Ματθαῖον παραβολή ἐστι δηλοῦσα, ὅτι ὡς „ἄνθρωπος [1]) ἀποδημῶν ἐκάλεσε τοὺς ἰδίους δούλους, καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ, καί τινι μὲν πέντε, τινὶ δὲ δύο, τινὶ δὲ ἓν τάλαντον,“ εἶτ᾿ ἐκεῖνοι πεποιήκασι περὶ τὰ ἐγκεχειρισμένα, καὶ „μετὰ [2]) πολὺν χρόνον ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων,“ καὶ αὐταῖς λέξεσι γέγραπται, ὅτι καὶ „συναίρει μετ᾿ αὐτῶν λόγον.“ Καὶ σύγκρινον [3]) τῷ· „καὶ ἀρξαμένου [4]) δὲ αὐτοῦ συναίρειν·“ καὶ ὅρα, ὅτι ἀποδημίαν μὲν ἐκάλεσε τοῦ οἰκοδεσπότου τὸν χρόνον, καθ᾿ ὃν „ἐνδημοῦντες [5]) ἐν τῷ σώματι ἐκδημοῦμεν ἀπὸ τοῦ κυρίου,“ ἐπιδημίαν δὲ αὐτοῦ, ὅτε „μετὰ [6]) πολὺν χρόνον ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων,“ τὸν ἐπὶ συντελείᾳ ἐν τῇ κρίσει καιρόν· „μετὰ γὰρ χρόνον πολὺν ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων, καὶ συναίρει μετ᾿ αὐτῶν λόγον,“ καὶ τὰ ἑξῆς γίνεται. Ἡ δὲ κατὰ Λουκᾶν σαφέστερον παρίστησιν, ὅτι· „εὐγενὴς [7]) ἄνθρωπος πορευθεὶς εἰς χώραν μακρὰν, λαβεῖν ἑαυτῷ βασιλείαν, καὶ ὑποστρέψαι,“

---

1) Matth. XXV, 14. 15. coll. edd. N. T.
2) Ibid. XXV, 19. coll. edd. N. T.
3) Cod. Regius: συγκρίνας. H. et R.
4) Matth. XVIII, 24. coll., propter καί, pag. 289. not. 4. et 7.
5) II Cor. V, 6.
6) Matth. XXV, 19. coll. edd. N. T.
7) Luc. XIX, 12. 13.

πορευόμενος ἐκάλεσε δέκα δούλους, καὶ ἔδωκεν αὐτοῖς δέκα μνᾶς, καὶ εἶπεν αὐτοῖς· „πραγματεύσασθε[1]) ἐν ᾧ ἔρχομαι.“ Οὗτος δὲ ὁ εὐγενὴς ἄνθρωπος, μισούμενος[2]) ὑπὸ τῶν ἰδίων πολιτῶν ἀποστειλάντων πρεσβείαν ὀπίσω αὐτοῦ, οὐ θελόντων αὐτὸν βασιλεῦσαι ἐπ' αὐτούς,[3]) ἐπανῆλθε λαβὼν τὴν βασιλείαν, καὶ εἰπὼν φωνηθῆναι αὐτῷ δούλους, οἷς ἐδεδώκει τὸ ἀργύριον, ἵνα γνῷ τί διεπραγματεύσαντο. Ἰδὼν δὲ ἃ πεποιήκασι, τῷ μὲν τὴν μνᾶν δέκα[4]) μνᾶς ποιήσαντι ἔπαινον ἀποδοὺς διὰ τοῦ· „εὖγε[5]) ἀγαθὲ δοῦλε· ὅτι ἐν ἐλαχίστῳ πιστὸς ἐγένου·“ δίδωσιν αὐτῷ ἐξουσίαν δέκα πόλεων, τῶν ὑπὸ τὴν βασιλείαν αὐτοῦ. Καὶ ἄλλῳ τὴν μνᾶν πενταπλασιάσαντι,[6]) τὸν μὲν ἔπαινον, ὃν ἐπὶ τοῦ πρώτου ἔταξεν, οὐκ ἀποδέδωκεν, οὐδὲ τὸ ὄνομα τῆς ἐξουσίας ὡς ἐπὶ τοῦ προτέρου ὡρίσατο, εἶπε δὲ αὐτῷ· „καὶ σὺ γίνου ἐπάνω πέντε πόλεων·“ τῷ δὲ τὴν μνᾶν ἀποδήσαντι ἐν σουδαρίῳ[7]) εἶπεν· „ἐκ τοῦ στόματός σου κρινῶ σε, πονηρὲ δοῦλε·“ καὶ „τοῖς παρεστῶσιν εἶπεν· ἄρατε ἀπ' αὐτοῦ τὴν μνᾶν, καὶ δότε τῷ τὰς δέκα μνᾶς ἔχοντι.“ Τίς οὖν καὶ ἐπὶ ταύτης παραβολῆς οὐ φήσει, ὅτι ὁ μὲν εὐγενὴς[8]) ἄνθρωπος πορευθεὶς εἰς χώραν μακρὰν, λαβεῖν ἑαυτῷ βασιλείαν, καὶ ὑποστρέψαι, ὁ Χριστός ἐστιν, οἱονεὶ ἀποδημῶν ἐπὶ τῷ λαβεῖν τὴν βασιλείαν καὶ τοῦ κόσμου, καὶ τῶν ἐν αὐτῷ; οἱ δὲ τὰς δέκα λαβόντες μνᾶς, οἱ ἐγκεχειρισμένοι εἰσὶ διοικεῖν λόγον ὃν ἐπιστεύ-

---

1) Luc. XIX, 13. Ed. Knapp. *πραγματεύσ. ἕως ἔρχομαι.*

2) Luc. XIX, 14.

3) Ed. Colon. male: *ἐπ' αὐτόν.* Cfr. Luc. XIX, 14. 15.

4) Luc. XIX, 16.

5) Luc. XIX, 17. Ed. Knapp. *εὖ, ἀγαθέ κ. τ. λ.*

6) Luc. XIX, 18. — 19. coll. pag. 288. not. 4.

7) Luc. XIX, 20. — 22. — 24.

8) Luc. XIX, 12.

θησαν; οἱ δὲ πολῖται αὐτοῦ, ἐμπολιτευσαμένου τῷ κόσμῳ κατὰ τὸ ἐνηνθρωπηκέναι, οἱ μὴ θελήσαντες αὐτὸν βασιλεῦσαι, τάχα μὲν ὁ ἀπιστήσας αὐτῷ Ἰσραήλ ἐστι· τάχα δὲ καὶ τὰ ἀπιστήσαντα αὐτῷ[1]) ἔθνη;

13. Πλὴν ταῦτά μοι εἴρηται, διὰ τὸ τὴν ἐπάνοδον αὐτοῦ ἀναφέρειν ἐλθόντος μετὰ τῆς βασιλείας ἐπὶ τὴν συντέλειαν, ὅτε „εἶπε[2]) φωνηθῆναι αὐτῷ τοὺς δούλους, οἷς ἐδεδώκει τὸ ἀργύριον, ἵνα γνῷ τί διεπραγματεύσαντο,“ καὶ διὰ τὸ ἐκ τούτου βούλεσθαι ἀποδεικνύναι καὶ τῆς περὶ τῶν ταλάντων παραβολῆς, ὅτι καὶ ὅστις „ἠθέλησε[3]) συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ,“ ἀναφέρεται ἐπὶ τὴν συντέλειαν, ὅτε ἤδη βασιλεύς ἐστιν ἀπολαμβάνων τὴν βασιλείαν, δι' ἣν, καθ' ἑτέραν παραβολὴν, ἐπορεύθη „εἰς[4]) χώραν μακρὰν, λαβεῖν ἑαυτῷ βασιλείαν, καὶ ὑποστρέψαι.“ Ὑποστρέψας οὖν καὶ λαβὼν τὴν βασιλείαν, ἠθέλησε „συνᾶραι[5]) λόγον μετὰ τῶν δούλων αὐτοῦ. Καὶ ἀρξαμένου αὐτοῦ συναίρειν, προσηνέχθη[6]) αὐτῷ[7]) εἷς ὀφειλέτης πολλῶν ταλάντων·“ προσηνέχθη δὲ ὡς βασιλεῖ, ὑπὸ τῶν αὐτοῦ τεταγμένων λειτουργῶν, οἶμαι, ἀγγέλων. Καὶ τάχα εἷς τίς ἐστι τῶν ὑπὸ τὴν βασιλείαν ἐγχειρισθείς τινα οἰκονομίαν μεγάλην, καὶ μὴ καλῶς αὐτὴν διοικήσας, ἀλλὰ διασκορπίσας τὰ ἐγχειρισθέντα, ὡς ὀφειλέτην αὐτὸν γενέσθαι πολλῶν ταλάντων ὧν ἀπολώλεκεν· οὗτος δὴ τάχα μὴ ἔχων ἀποδοῦναι, κελεύεται ὑπὸ τοῦ βασιλέως, πραθῆναι ἅμα

---

1) Ed. Coloniensis: αὐτοῦ.

2) Luc. XIX, 15. coll. edd. N. T.

3) Matth. XVIII, 23. coll. pag. 280. not. 4.

4) Luc. XIX, 12.

5) Matth. XVIII, 23. coll. pag. huj. not. 3. — Vers. 24. coll. pag. 289. not. 4. et 7., et pag. 295. not. 4.

6) H. et R. h. l., cfr. pag. 289. not. 5. et 8., προσηνέχθη.

7) Deest h. l., cfr. pag. huj. not. 5. et 6., αὐτῷ in edd. H. et R.

τῇ γυναικὶ, ἀφ᾽ ἧς γέγονε κοινωνὸς αὐτῇ πατήρ τινων τέκνων. Ἔργον δὲ οὐ τὸ τυχόν ἐστιν, ἰδεῖν ἐν νοητοῖς πατέρα, καὶ μητέρα, καὶ τέκνα. Ὡς μὲν οὖν πρὸς τὸ ἀληθὲς, θεὸς ἂν εἰδείη τοῦτο τὸ ἔργον ὃ βούλεται, καὶ ἡμῖν δὲ εἴτε αὐτὸς δέδωκεν, εἴτε μὴ, ὁ δυνάμενος κρινέτω. Πλὴν τοιαῦτα κατὰ τὸν τόπον ὑπολαμβάνομεν, ὅτι ὥσπερ Ἱερουσαλὴμ μήτηρ ἐστὶ Παύλου,[1]) καὶ τῶν παραπλησίων αὐτῷ, ἡ ἄνω, οὕτως εἴη ἂν ἑτέρων μήτηρ, ἀνάλογον Ἱερουσαλὴμ μητρὶ, φέρ᾽ εἰπεῖν, Σοήνη τῆς Αἰγύπτου, ἢ καὶ Σιδὼν, ἢ ὅσαι ὠνομάσθησαν ἐν ταῖς γραφαῖς πόλεις. Εἶθ᾽ ὥσπερ Ἱερουσαλὴμ νύμφη[2]) ἐστὶ, κεκοσμημένη τῷ ἀνδρὶ αὐτῆς Χριστῷ, οὕτως εἶεν ἂν ἐκεῖναι αἱ μῆτρες δυνάμεών τινων, τῶν κεκληρωμένων αὐτὰς, οἱονεὶ γυναῖκες ἢ νύμφαι. Καὶ ὥσπερ ἐστί τινα τέκνα τῆς Ἱερουσαλὴμ ὡς μητρὸς, καὶ Χριστοῦ ὡς πατρὸς, οὕτως εἴη ἄν τινα τέκνα Σοήνης, καὶ Μέμφεως, ἢ Τύρου, ἢ Σιδῶνος, καὶ τῶν ἐπιτεταγμένων αὐταῖς ἀρχόντων. Τάχα οὖν καὶ οὗτος ὁ εἷς προσαχθεὶς[3]) τῷ βασιλεῖ ὀφειλέτης πολλῶν ταλάντων ἔχει, ὡς ἀποδεδώκαμεν, γυναῖκα καὶ τέκνα, ἅτινα πρότερον μὲν ἐκέλευσε πραθῆναι ὁ βασιλεὺς, πραθῆναι δὲ καὶ πάντα ἃ εἶχεν, ὕστερον δὲ σπλαγχνισθεὶς ἀπέλυσεν αὐτὸν, καὶ πᾶσαν τὴν ὀφειλὴν ἀφῆκεν αὐτῷ, οὐκ ἀγνοῶν τὸ μέλλον, ἀλλ᾽ ἵνα ἡμεῖς μάθωμεν τὸ γεγενημένον, οὕτως ἀναγέγραπται πεποιηκέναι. Ἕκαστος οὖν τῶν ἐχόντων, ὡς ἀποδεδώκαμεν, γυναῖκα καὶ τέκνα, λόγον ἀποδώσει, ἡνίκα ἂν ἔλθῃ ὁ βασιλεὺς συνᾶραι λόγον, λαβὼν τὴν βασιλείαν καὶ ὑποστρέψας· καὶ ἕκαστος αὐτῶν ἔχει, ὡς ἄρχων τινὸς Σοήνης, ἢ Μέμφεως, ἢ Τύρου, ἢ Σιδῶνος ἤ τινος παραπλησίου, καὶ τοὺς ὀφειλέτας. Οὗτος οὖν[4])

---

[1]) Cod. Reg.: πάντων, male. H. et R. Cfr. Gal. IV, 26.

[2]) Apoc. XXI, 2.

[3]) H. et R. h. l., cfr. pag. 297. not. 6., προσαχθείς.

[4]) Deest οὖν in ed. Ruaei.

ἀπολυθεὶς, καὶ συγχωρηθεὶς πᾶσαν τὴν ὀφειλὴν, ἐξελθὼν ἀπὸ τοῦ βασιλέως „εὗρεν[1]) ἕνα τῶν συνδούλων αὐτοῦ,“ καὶ τὰ ἑξῆς, καὶ διὰ τοῦτο, οἶμαι, ἔπνιγεν, ἐπείπερ ἦν ἐξελθὼν ἀπὸ τοῦ βασιλέως· οὐκ ἂν γὰρ μὴ ἐξελθὼν ἔπνιγε τὸν σύνδουλον αὐτοῦ. Εἶτα παρατήρει τὴν ἀκρίβειαν τῆς γραφῆς, ὅπως ὁ μὲν πεσὼν προσεκύνει, ὁ δὲ πεσὼν οὐ προσεκύνει, ἀλλὰ παρεκάλει· καὶ ὁ μὲν βασιλεὺς σπλαγχνισθεὶς ἀπέλυσεν αὐτὸν, καὶ πᾶσαν τὴν ὀφειλὴν ἀφῆκεν αὐτῷ, ὁ δὲ δοῦλος οὐδὲ ἐλεῆσαι ἠθέλησε τὸν σύνδουλον αὐτοῦ· κἀκεῖνος μὲν πρὸ τῆς ἀφέσεως ἐκέλευσεν αὐτὸν πραθῆναι, καὶ τὰ αὐτοῦ, ὁ δὲ συγχωρηθεὶς ἔβαλεν αὐτὸν εἰς τὴν φυλακήν. Καὶ πρόσχες, ὅτι οἱ σύνδουλοι οὐ διέβαλον, ἢ εἰρήκασιν, ἀλλὰ διεσάφησαν, καὶ ὅτι τὸ „πονηρὲ“ οὐκ εἶπε κατ' ἀρχὰς περὶ τῶν χρημάτων, ἀλλ' ἐτήρησεν ὕστερον περὶ τοῦ συνδούλου. Ἴδε δὲ καὶ τὸ μέτριον τοῦ βασιλέως· οὐκ εἶπε· προσεκύνησάς μοι, ἀλλά· „παρεκάλεσάς[2]) με·“ καὶ οὐκέτι αὐτὸν πραθῆναι, καὶ τὰ αὐτοῦ, ἀλλὰ παρέδωκε[3]) τοῖς βασανισταῖς τὸ χεῖρον διὰ τὴν πονηρίαν. Τίνες δ' ἂν εἶεν οὗτοι, ἢ οἱ ἐπὶ τῶν κολάσεων τεταγμένοι; Ἅμα δὲ πρόσχες διὰ τοὺς ἀπὸ τῶν αἱρέσεων χρωμένους τῇ παραβολῇ, ὅτι, εἴπερ κατηγοροῦσι τοῦ δημιουργοῦ, ὡς ὀργίλου, διὰ τὰ ἐμφαίνοντα ὀργὴν θεοῦ ῥήματα ἐχρῆν αὐτοὺς καὶ τοῦ βασιλέως τούτου κατηγορεῖν, ἐπείπερ ὀργισθεὶς παρέδωκε τὸν ὀφειλέτην τοῖς βασανισταῖς. Ἔτι δὲ λεκτέον τοῖς μὴ βουλομένοις παραδίδοσθαί τινα ἀπὸ τοῦ Ἰησοῦ τοῖς βασανισταῖς, ὅτι διηγήσασθε ἡμῖν, ὦ οὗτοι, τίς ὁ βασιλεὺς ὁ παραδιδοὺς τὸν πονηρὸν δοῦλον τοῖς βασανισταῖς. Προσεχέτωσαν δὲ καὶ τῷ· „οὕτως[4]) οὖν ποιήσει καὶ ὑμῖν ὁ πατήρ μου

---

1) Matth. XVIII, 28. Ed. Lachm. αὐτοῦ.
2) Matth. XVIII, 32.
3) Matth. XVIII, 34.
4) Matth. XVIII, 35. Ed. Knapp. οὕτω καὶ ὁ πα-

ὁ οὐράνιος.“ τοῖς αὐτοῖς δὲ ἔτι μᾶλλον λεχθείη ἂν τὰ ἐν τῇ τῶν δέκα μνῶν παραβολῇ, ὅ, τι ὁ ἀγαθοῦ θεοῦ υἱὸς εἶπε· „πλὴν[1]) τοὺς ἐχθρούς μου ἐκείνους, τοὺς μὴ θελήσαντάς με,“ καὶ τὰ ἑξῆς. Τὸ συμπέρασμα μέντοι τῆς παραβολῆς καὶ τοῖς ἁπλουστέροις ἁρμόζει· πάντες γὰρ ἅμα διδασκόμεθα πείσεσθαι οἱ ἄφεσιν ἁμαρτημάτων εἰληφότες, καὶ μὴ συγχωροῦντες τοῖς ἀδελφοῖς, τὰ τοῦ συγχωρηθέντος, καὶ μὴ συγχωρήσαντος τῷ δούλῳ.

14. „Καὶ[2]) ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους.“ Ὁ ἕκαστον τῶν προκειμένων προβλημάτων ἐντελῶς διεξιὼν, ὡς μηδὲν αὐτῶν ἐνδεὲς καταλιπεῖν, οὗτος τελεῖ τοὺς ἑαυτοῦ λόγους. Θαρσαλεώτερον δ' ἄν τις ἀποφανεῖται περὶ τούτου, προσέχων ἐπιμελέστερον πάσῃ ἀναγνώσει παλαιᾶς καὶ καινῆς διαθήκης· ἐὰν γὰρ ἐπὶ μηδενὸς ᾖ τεταγμένον τό· „ἐτέλεσε[3]) τοὺς λόγους τούτους·“ ἢ Μωϋσέως, ἤ τινος τῶν προφητῶν, ἀλλ' ἢ μόνου τοῦ Ἰησοῦ, τότε τολμήσας ἂν τις εἴποι, ὅτι μόνος[4]) ἐτέλεσε τοὺς λόγους ὁ Ἰησοῦς, ὁ ἐλθὼν τέλος ἐπιθεῖναι τοῖς πράγμασι, καὶ πληρῶσαι τὸ ἐνδεὲς τοῦ νόμου, διὰ τοῦ· „ἐῤῥέθη[5]) τοῖς ἀρχαίοις,“ καὶ τὰ ἑξῆς, καὶ πάλιν· „ἵνα[6]) πληρωθῇ τα εἰρημένα διὰ τῶν προφητῶν.“ Εἰ δέ που γέγραπται καὶ ἐν ἐκείνοις, τότε ἂν συνεξετάζῃ[7]) καὶ τελεσθέντας ὑπ' ἐκεί-

τήρ μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν, ed. Lachm. οὕτως καὶ ὁ πατήρ μου ὁ οὐράνιος ποιήσει ὑμῖν.

[1]) Luc. XIX, 27.

[2]) Matth. XIX, 1. — H. ἐθέλησεν, R. ἐτέλησεν.

[3]) Matth. XIX, 1. H. et R. h. l., cfr. pag. huj. not. 2., recte: ἐτέλεσεν.

[4]) H. et R. in textu: μόνους, H. tamen ad marg., R. in notis: „lege μόνος.“

[5]) Matth. V, 33. Ed. Lachm. ἐῤῥήθη.

[6]) Marc. XIV, 49., Matth. XXVI. 56. et Luc. XXI, 22. coll. edd. N. T.

[7]) H. et R. in textu: ἐξετάζῃ, H. tamen ad marg., R. in notis: „Cod. Regius: συνεξετάζῃ.“

γων λόγους τελεσθεῖσιν[1]) ὑπὸ τοῦ Σωτῆρος, ἵνα εὕρῃ τὴν διαφορὰν αὐτῶν πρὸς ἀλλήλους. Καί τοί γε κἀκεῖ ζητηθείη ἄν, εἰ ἐπὶ τῶν κατὰ χρηματισμὸν λεγομένων κεῖται τὸ „ἐτέλεσεν,“ ἢ ἐπὶ τῶν Μωυσέως ἢ τινος τῶν προφητῶν εἰρημένων,[2]) ἢ ἐπὶ συναμφοτέρων· ἡ γὰρ ἐπιμελὴς τήρησις μέγιστα ἂν ὑποβάλλοι νοήματα τοῖς ἐπισταμένοις „πνευματικὰ[3]) πνευματικοῖς συγκρίνειν, καὶ διὰ τοῦτο λαλοῦσιν οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ᾽ ἐν διδακτοῖς πνεύματος.“ Ἄλλος δ᾽ ἄν τις περιεργότερον τοῦ „ἐτέλεσεν“ ἀκούων, τεταγμένου ἐπὶ τῶν μυστικωτέρων, καθὸ ὁ μέν τις παρέδωκε τοῖς ὑποχειρίοις μυστήρια καὶ τελετὰς οὐκ ἐπαινετῶς, ὁ δέ τις μυστήρια θεοῦ τοῖς ἀξίοις, καὶ ἀνάλογον τοῖς τοιούτοις μυστηρίοις τελετὰς, εἴποι, ὅτι τελετὴν ἐποίησε μυήσας αὐτοὺς, δι᾽ ἣν τελετὴν ἀνεφάνησαν οἱ λόγοι δυνατοὶ, ὡς κηρυχθῆναι τὸ εὐαγγέλιον Ἰησοῦ ἐν ὅλῳ τῷ κόσμῳ, καὶ κρατῆσαι διὰ τὴν θείαν τελετὴν πάσης ψυχῆς, ἣν ἕλκει ὁ πατὴρ πρὸς τὸν υἱὸν, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Σωτῆρος· „οὐδεὶς[4]) ἔρχεται πρός με, ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν.“ Διὰ τοῦτο δὲ καὶ ὁ λόγος τῶν χάριτι θεοῦ πρεσβευόντων τὸ εὐαγγέλιον, καὶ τὸ κήρυγμα αὐτῶν, οὐκ[5]) „ἐν πειθοῖ σοφίας γέγονε λόγων, ἀλλ᾽ ἐν ἀποδείξει πνεύματος δυνάμεως,“ οἷς ἐτελέσθησαν οἱ λόγοι τοῦ Ἰησοῦ τῆς διδασκαλίας. Καὶ σὺ μὲν οὖν τηρήσεις, ὁσάκις εἴρηται τὸ „ἐτέλεσε,“ καὶ ἐπὶ τίσι· λήψῃ δὲ παράδειγμα τὸ ἐπὶ τοῖς μακαρισμοῖς,

---

[1]) Ed. Huetiana: *τελεισθεῖσιν*.

[2]) H. et R. in textu: *εἰρημένων*, in notis autem: „lege *εἰρημένον*.“

[3]) I Cor. II, 13.

[4]) Ev. Joann. VI, 44. Edd. N. T. *οὐδεὶς δύναται ἐλθεῖν πρός με, κ. τ. λ.*

[5]) *οὐκ — λόγων*. Ita Codd. Holm. et Regius, at I Cor. II, 4. sic habetur, etc. Huet. — Cfr. edd. N. T.

καὶ ὅλη τῇ διδασκαλίᾳ λελεγμένοις,[1]) οἷς ἐπιφέρεται· „καὶ ἐγένετο,[2]) ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, ἐξεπλήσσοντο πάντες οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ.“ Ἀναφέρεται δὲ καὶ νῦν[3]) τό· „ἐτέλεσεν[4]) ὁ Ἰησοῦς τοὺς λόγους τούτους·“ προσεχῶς μὲν ἐπὶ τὴν μυστικωτάτην παραβολὴν, καθ' ἣν ὡμοιώθη[5]) ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ,“ ἔτι δὲ ταύτης ἀνωτέρω, εἰς τὰ πρὸ[6]) αὐτῆς ἀναγεγραμμένα.

15. Πλὴν „ὅτε[7]) ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους,“ λαλήσας αὐτοὺς ἐν τῇ Γαλιλαίᾳ περὶ τὴν Καφαρναοὺμ, τότε μετῆρεν ἐκεῖθεν, καὶ ἦλθεν εἰς τὰ τῆς Ἰουδαίας ὅρια, ἕτερα τυγχάνοντα παρὰ τὴν Γαλιλαίαν. Ἦλθε δὲ ἐπὶ τὰ ὅρια τῆς Ἰουδαίας, καὶ οὐκ ἐπὶ τὰ μέσα, ἀλλ' οἱονεὶ τὰ ἄκρα· ἔνθα „ἠκολούθησαν[8]) αὐτῷ ὄχλοι πολλοὶ,“ οὓς ἐθεράπευσε παρὰ τοῖς ὁρίοις τῆς Ἰουδαίας, πέραν τοῦ Ἰορδάνου, ἔνθα τὸ βάπτισμα ἐδίδοτο. Τηρήσεις δὲ διαφορὰν ὄχλων ἁπλῶς ἀκολουθησάντων, καὶ Πέτρου, καὶ τῶν ἄλλων ἀφέντων πάντα καὶ ἀκολουθησάντων, καὶ Ματθαίου, ὃς „ἀναστὰς“[9]) ἠκολούθησεν αὐτῷ· οὐχ ἁπλῶς ἠκολούθησεν, ἀλλ' „ἀναστάς.“ Με-

---

1) H. et R. in textu: *λελεγμένοις*, H. tamen ad oram: „*ἴσως καταργῆται,*“ R. in notis: „„Cod. Regius: *τῷ ληστῇ διδασκαλίᾳ λελεγμένοις*, perperam; lege: *καὶ ὅλη τῇ διδασκαλίᾳ λελεγμένον.*““

2) Matth. VII, 28. Ed. Knapp., omisso voc. *πάντες* in edd. N. T., *συνετέλεσεν* pro *ἐτέλεσεν*.

3) Deest *νῦν* in textu ed. H.; idem tamen ad oram: „Cod. Regius: *νῦν τό.*“

4) Matth. XIX, 1.

5) Matth. XVIII, 23.

6) Matth. XI, 1. et XIII, 53.

7) Ibid. XIX, 1.

8) Ibid. XIX, 2.

9) Ibid. IX, 9.

γάλη[illegible] προσθήκη, τὸ „ἀναστάς." Εἰσὶν οὖν ἀεὶ οἱ μὲν ὡς ὄχλο[illegible] ἀκολουθ[illegible] πολλοὶ ἀκολουθοῦντες, μήτε ἀναστάντες ἵνα δὲ οἱ ἀν[illegible]σωσι, μήτε ἀφέντες πάντα τὰ πρότερα· ὀλίγοι δοῦνται ο[illegible]στάντες καὶ οἱ ἀκολουθήσαντες, οἳ καὶ καθεδοῦνται ... Πλὴν εἰ [illegible][1]) ἐν τῇ παλιγγενεσίᾳ ἐπὶ δώδεκα[2]) θρόνους. Ἰησοῦ. [illegible] βούλεταί τις θεραπευθῆναι. [illegible]λουθησάτω τῷ

Περὶ[3]) [illegible] πειραζόντων Ἰησοῦν Φαρισαίων καὶ γραμματέων· „εἰ ἔξεστιν[4]) ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν."

16. Μετὰ τοῦτο γέγραπται, ὅτι „προσῆλθον[5]) αὐτῷ οἱ Φαρισαῖοι πειράζοντες αὐτὸν καὶ λέγοντες· εἰ ἔξεστιν ἀνθρώπῳ[6]) ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν;" Τὸ ἰσοδυναμοῦν ἀνέγραψε καὶ ὁ Μάρκος.[7]) Οὐκοῦν τῶν προσιόντων καὶ πυνθανομένων τῷ Ἰησοῦ ἦσάν τινες, οἳ πειράζοντες ἐπηρώτων αὐτόν· πειραζομένου δὲ τοῦ τηλικούτου Σωτῆρος ἡμῶν, τίς τῶν μαθητῶν αὐτοῦ ἀγανακτοίη τεταγμένος εἰς διδασκαλίαν ἐπὶ τῷ πειράζεσθαι ὑπό τινων καὶ πυνθανομένων οὐκ ἐκ φιλομαθείας, ἀλλ' ἀπὸ τοῦ πειράζειν ἐθέλειν; Πολλὰ

---

[1]) H. et R. in notis: „articulus οἱ videtur παρέλκειν."

[2]) Matth. XIX, 28.

[3]) *Περὶ τῶν — αἰτίαν.* Haec extra contextum ad oram Cod. Holm. eadem manu adjecta erant, sed imperfecta, et e Codice, ut apparet, lacero, vel obsoleto detracta; quae nec in Cod. Reg., nec in veteri interpretatione comparent. Huetius.

[4]) Matth. XIX, 3. In ed. Lachm. deest *ἀνθρώπῳ*, et pro *αὐτοῦ* legitur *αὑτοῦ*.

[5]) Matth. XIX, 3. Ed. Knapp. *καὶ λέγοντες αὐτῷ*, in ed. Lachm. *οἱ* deest ante *Φαρισαῖοι*.

[6]) H. et R. h. l., cfr. pag. huj. not. 4. coll. pag. 301 not. 3., *ἄνθρωπον*.

[7]) Marc. X, 2.

δ᾽ ἂν ἐπὶ τὸ αὐτὸ συναγαγὼν εὕροις, ἐν οἷς ἐπ[illegible]ασαν τὸν Ἰησοῦν ἡμῶν οἱ Φαρισαῖοι, καὶ ἄλλοι [illegible]πας,[1]) ἵν᾽ τού-τους, ὡς νομικός τις, τάχα δὲ καὶ γραμματε[illegible]αγαγὼν, ἐπὶ τὸ αὐτὸ τὰ περὶ τῶν πειραζόντων αὐτὸν συ[illegible] τῆς ἐξε- εὕροις τι τὰ[2]) περὶ τῶν πειραζόντων αὐτὸν ἐ[illegible]. Πλὴν τάσεως χρήσιμ[illegible] εἰς τὸ εἶδος τῶν λόγων τούτων [illegible]ματα· οἱ ὁ Σωτὴρ καὶ τοῖς πειρα[illegible] ἀποκρίνεται δόγ[illegible] μὲν γὰρ ἔλεγον· „εἰ ἔξεστιν[3]) [illegible] πολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν;“ [illegible][4]) [illegible]) ἀπο- κριθεὶς εἶπεν· οὐκ ἀνέγνωτε, ὅτι ὁ κτίσας[6]) ἀπ᾽ ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς;“ καὶ τὰ ἑξῆς. Καὶ οἶμαι, ὅτι κατὰ τοῦτο προέτεινον τὸν λόγον οἱ Φαρισαῖοι τοῦτον, ὡς ἐπιληψόμενοι αὐτοῦ, ὅ,τί ποτ᾽ ἂν εἴπῃ, οἷον εἰ μὲν εἶπεν· „ἔξεστιν,“ ἐνεκάλεσαν αὐτῷ, ὡς ἐπὶ τοῖς τυχοῦσι διαλύοντι τοὺς γάμους, εἰ δέ· „οὐκ ἔξεστιν,“ ὡς καὶ μετὰ ἁμαρτημάτων ἐπιτρέποντι συνοικεῖν ἄνδρα γυναικί· ὡς ἐπὶ τοῦ κήνσου,[7]) εἰ μὲν γὰρ εἶπε „διδόναι,“ ἐνεκάλεσαν ὡς ὑποτάσσοντι[8]) τὸν λαὸν τοῖς Ῥωμαίοις, καὶ οὐ τῷ νόμῳ τοῦ θεοῦ· εἰ δὲ „μὴ διδόναι,“ ὡς πόλεμον ἐμποιοῦντι καὶ στάσιν, καὶ διεγείροντι τοὺς μὴ δυναμένους στῆναι πρὸς τηλικαύτην στρατιάν. Οὐχ

---

[1]) R. in textu γραμματεύς, in notis: „Cod. Reg. (item H. ad marg.) γραμματεύς, Cod. Anglicanus (H. in textu) γραμματεῖς.“

[2]) H. recte, ut videtur, in notis: „verba haec: τὰ περὶ τῶν πειραζόντων αὐτόν, videntur spuria. Detraxeris illa, constabit sensus.“

[3]) Matth. XIX, 3. coll. pag. 303. not. 4. et 6.

[4]) H. et R. h. l., cfr. pag. 303. not. 4. et 6., ἀνθρώπῳ.

[5]) Matth. XIX, 4. Ed. Knapp. εἶπεν αὐτοῖς.

[6]) Edd. N. T. l. l. ποιήσας.

[7]) Matth. XXII, 17.

[8]) Cod. Reg. recte ὑποτάσσοντι, Cod. Anglican. autem, quem sequitur Huetius, ὑποτάσσοντα, male. R.

ἑώρων τε, τίνα τρόπον ἀνεπιλήπτως καὶ σοφῶς αὐτοῖς ἀποκρίνεται, πρότερον μὲν ἀποφάσκων τὸ ἀπολύειν τὴν γυναῖκα κατὰ πᾶσαν αἰτίαν, δεύτερον δὲ ἀποκρινόμενος πρὸς τὰ περὶ τοῦ βιβλίου τοῦ κατὰ τὸ ἀποστάσιον· ἑώρα[1]) γὰρ, ὅτι οὐ πᾶσα αἰτία εὐλόγως λύει γάμον, καὶ ὅτι δεῖ τὸν ἄνδρα συνοικεῖν[2]) τῇ γυναικὶ, ὡς ἀσθενεστέρῳ σκεύει, ἀπονέμοντα τιμὴν, καὶ βαστάζοντα[3]) αὐτῆς τὰ ἐν ἁμαρτήμασι βάρη· καὶ δυσωπεῖ ἐκ τῶν ἐν τῇ Γενέσει ἐγγεγραμμένων τοὺς ἐπὶ τοῖς Μωσέως γράμμασιν αὐχοῦντας Φαρισαίους, λέγων τό· „οὐκ ἀνέγνωτε,[4]) ὅτι ὁ κτίσας ἀπ᾽ ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς;" καὶ τὰ ἑξῆς, καὶ ἐπιφέρων αὐτοῖς διὰ τό· „καὶ ἔσονται[5]) οἱ δύο εἰς σάρκα μίαν" ἀκόλουθον τῷ· „εἰς σάρκα μίαν" διδασκαλίαν, τήν· „ὥστε[6]) οὐκέτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία." Δυσωπητικὸν δὲ πρὸς τὸ μὴ ἀπολῦσαι τὴν γυναῖκα κατὰ πᾶσαν αἰτίαν καὶ τό· „ὃ ὁ[7]) θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω." Παρατηρητέον μέντοι γε ἐν τῇ ἐκθέσει τῶν ἀπὸ τῆς Γενέσεως ἐν τῷ εὐαγγελίῳ ῥητῶν, ὅτι οὐ τὰ ἐφεξῆς ἀλλήλοις γεγραμμένα εἴρηται· ἐγὼ δὲ οἶμαι, ὅτι οὐδὲ περὶ τῶν αὐτῶν λέγεται, τῶν κατ᾽ εἰκόνα θεοῦ γενομένων, καὶ τῶν ἀπὸ τοῦ χοὸς τῆς γῆς καὶ μιᾶς τῶν πλευρῶν τοῦ Ἀδάμ. Ὅπου μὲν γὰρ λέλεκται· „τὸ[8]) ἄρσεν[9]) καὶ τὸ θῆλυ

---

1) H. et R. ἕωρα.

2) I Petr. III, 7.

3) Gal. VI, 2.

4) Matth. XIX, 4. H. et R. h. l., cfr. pag. 304. not. 5., ἄῤῥεν.

5) Ibid. XIX, 5. coll. Genes. II, 24.

6) Matth. XIX, 6.

7) Deest ὁ in ed. R. — Cfr. Matth. XIX, 6.

8) Gen. I, 27. coll. LXX. interpretibus, et Matth. XIX, 4. coll. pag. 304. not. 5. et pag. huj. not. 4.

9) H. et R. h. l., cfr. pag. huj. not. 4., et in seqq. constanter: ἄῤῥεν.

ἐποίησεν αὐτούς·" περὶ τῶν κατ᾽ εἰκόνα ἐστίν· ὅπου δὲ καὶ εἶπεν· „ἕνεκα[1]) τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ," καὶ τὰ ἑξῆς, οὐκ ἔστι περὶ τῶν κατ᾽ εἰκόνα· ὕστερον γάρ ποτε ἐκείνων ἔπλασε κύριος ὁ θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τῆς πλευρᾶς αὐτοῦ τὴν βοηθόν. Ἅμα δὲ πρόσχες, ὅτι ἐπὶ μὲν τῶν κατ᾽ εἰκόνα, οὐκ ἀνὴρ καὶ γυνὴ εἴρηται, ἀλλὰ „ἄρσεν καὶ θῆλυ." Τοῦτο δὲ καὶ ἐν τῷ ἑβραϊκῷ τετηρήκαμεν· ἀνὴρ μὲν γὰρ δηλοῦται τῇ „ἴς" φωνῇ, ἄρσεν δὲ τῇ „ζαχὰρ," καὶ πάλιν γυνὴ μὲν τῇ „ἐσσᾶ" φωνῇ, θῆλυ δὲ τῇ „ἀγκηβᾶ." Οὐδέ ποτε γὰρ γυνὴ κατ᾽ εἰκόνα, οὐδὲ ἀνὴρ, ἀλλ᾽ οἱ μὲν διαφέροντες· „ἄρσεν," οἱ δὲ δεύτεροι· „θῆλυ." Ἀλλὰ καὶ ἂν καταλίπῃ ἄνθρωπος τὴν μητέρα καὶ τὸν πατέρα, κολλᾶται οὐ τῷ θήλει, ἀλλὰ τῇ γυναικὶ αὐτοῦ, καὶ γίνονται, ἐπεὶ ἐν σαρκὶ ἀνὴρ καὶ γυνὴ, εἰς σάρκα μίαν. Εἶτα διαγράφων ὃ δεῖ εἶναι ἐν τοῖς ὑπὸ θεοῦ συνεζευγμένοις ἀξίως τοῦ συνεζεῦχθαι ὑπὸ θεοῦ, ἐπιφέρει ὁ Σωτὴρ τό· „ὥστε[2]) οὐκέτι εἰσὶ δύο·" καὶ ὅπου γε ὁμόνοια καὶ συμφωνία καὶ ἁρμονία ἀνδρός ἐστι πρὸς γυναῖκα, τοῦ μὲν ὡς ἄρχοντος, τῆς δὲ πειθομένης τῷ· „αὐτός[3]) σου κυριεύσει," ἀληθῶς ἔστιν εἰπεῖν ἐπὶ τῶν τοιούτων τό· „οὐκέτι[4]) εἰσὶ δύο." Εἶτ᾽ ἐπεὶ ἔδει τηρεῖσθαι τῷ κολλωμένῳ θεῷ τὸ[5]) γενέσθαι αὐτὸν πρὸς αὐτὸν ἓν πνεῦμα, λέλεκται ἐπὶ τῶν ὑπὸ τοῦ[6]) θεοῦ συνεζευγμένων μετὰ τό· „ὥστε[7]) οὐκέτι εἰσὶ δύο" τό· „ἀλλὰ σὰρξ μία." Καὶ

[1]) Gen. II, 24. coll. LXX. virorum versione, et Matth. XIX, 5. coll. edd. N. T.

[2]) Matth. XIX, 6.

[3]) Gen. III, 16.

[4]) Matth. XIX, 6.

[5]) H. et R. in textu: τῷ γενέσθαι, H. tamen ad oram, R. in notis: „lege: τὸ γενέσθαι." Cfr. I Cor. VI, 17.

[6]) Desideratur τοῦ in ed. Ruaei.

[7]) Matth. XIX, 6.

ὁ θεός ἐστιν ὁ συζεύξας τὰ δύο εἰς ἕν, ἵνα μηκέτι ὦσι δύο παρ' οὗ ἁρμόζεται ἀνδρὶ γυνή. Καὶ ἐπεὶ ὁ θεὸς συνέζευξε, διὰ τοῦτο χάρισμά ἐστιν ἐν τοῖς ὑπὸ θεοῦ συνεζευγμένοις, ὅπερ ὁ Παῦλος ἐπιστάμενος, ἐπίσης τῷ εἶναι τὴν ἁγνὴν ἀγαμίαν χάρισμα, φησὶ καὶ τὸν κατὰ λόγον θεοῦ γάμον εἶναι χάρισμα, φάσκων· „θέλω[1]) δὲ πάντας ἀνθρώπους εἶναι ὡς[2]) ἐμαυτόν· ἀλλ' ἕκαστος ἴδιον ἔχει χάρισμα ἐκ θεοῦ, ὃς[3]) μὲν οὕτως, ὃς δὲ οὕτως.“ Οἱ δὲ ὑπὸ θεοῦ συνεζευγμένοι, καὶ φρονοῦσι καὶ ποιοῦσι τό· „οἱ ἄνδρες,[4]) ἀγαπᾶτε τὰς γυναῖκας, ὡς[5]) καὶ ὁ Χριστὸς τὴν ἐκκλησίαν.“ Ὁ μὲν οὖν Σωτὴρ ἐνετείλατο, ἵν' ὅπερ ὁ θεὸς συνέζευξεν,[6]) ἄνθρωπος μὴ χωρίζῃ, ἄνθρωπος δὲ χωρίζειν βούλεται ὃ ὁ θεὸς συνέζευξεν, ὅτε „ἀποστὰς[7]) τῆς ὑγιοῦς πίστεως, προσέχων πνεύμασι πλάνης καὶ διδασκαλίαις δαιμονίων, ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων οὐ πορνεύειν μόνον, ἀλλὰ καὶ „γαμεῖν,“ διαλύει καὶ τοὺς φθάσαντας τῇ προνοίᾳ συνεζεῦχθαι τοῦ θεοῦ. Ταῦτα μὲν οὖν τηρουμένων τῶν ῥητῶν εἰς τὰ περὶ ἄρσενος,[8]) καὶ θήλεος, καὶ ἀνδρὸς, καὶ γυναικὸς, ὡς ἐδίδαξεν ὁ Σωτὴρ ἐν τῇ πρὸς τοὺς Φαρισαίους ἀποκρίσει, λελέχθω.

17. Ἐπεὶ δὲ ὁ ἀπόστολος εἰς τὸν Χριστὸν ἐκλαμβάνει καὶ τὴν ἐκκλησίαν τό· „καὶ[9]) ἔσονται οἱ δύο εἰς σάρκα μίαν·“ λεκτέον ὅτι οὐκ ἀπέλυσεν ὁ Χριστὸς τὴν προτέραν, ἵν' οὕτως ὀνομάσω, γυναῖκα αὐτοῦ, τὴν προ-

---

[1]) I Cor. VII, 17. Ed. Knapp. θέλω γάρ κτλ.
[2]) Edd. N. T. l. l. ὡς καὶ ἐμαυτόν.
[3]) Ed. Lachm. l. l. ὁ μὲν οὕτως, ὁ δέ κτλ.
[4]) Ephes. V, 25. Ed. Knapp. τ. γυναῖκας ἑαυτῶν.
[5]) Edd. N. T. l. l. καθὼς κ. ὁ Χρ. ἠγάπησε τήν κτλ.
[6]) Matth. XIX, 6.
[7]) I Tim. IV, 1. 2. 3. coll. edd. N. T.
[8]) H. et R. ἄῤῥενος. Cfr. pag. 305. not. 9.
[9]) I Cor. VI, 16. coll. Matth. XIX, 5. et Gen. II, 24.

τέραν συναγωγὴν, κατ' ἄλλην αἰτίαν τηρῶν τό· „ὃ[1]) ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω·" ἢ ὅτι[2]) ἐπόρνευσεν ἐκείνη ἡ γυνὴ μοιχευθεῖσα ὑπὸ τοῦ πονηροῦ, καὶ μετ' ἐκείνου ἐπιβουλεύσασα[3]) τῷ ἀνδρὶ, καὶ ἀποκτείνασα αὐτὸν ἐν τῷ λέγειν· „αἶρε[4]) ἀπὸ τῆς γῆς τὸν τοιοῦτον, σταύρου, σταύρου αὐτόν." Ἐκείνη οὖν ἑαυτὴν ἀπέστησε μᾶλλον ἢ ὁ ἀνὴρ αὐτὴν ἀπέστειλεν ἀπολύσας· διόπερ ὀνειδίζων αὐτῇ, ἀποστάσῃ αὐτοῦ, ἐν Ἡσαΐᾳ φησί· „ποῖον[5]) τὸ βιβλίον τοῦ ἀποστασίου τῆς μητρὸς ὑμῶν, ᾧ ἀπέστειλα αὐτήν;" Καὶ ὁ κτίσας γε ἀπ' ἀρχῆς τὸν κατ' εἰκόνα, ὃς ἐν μορφῇ[6]) θεοῦ ὑπάρχων, ἄρσεν αὐτὸν ἐποίησε, καὶ θῆλυ τὴν ἐκκλησίαν, ἓν τὸ κατ' εἰκόνα ἀμφοτέροις χαρισάμενος. Καὶ καταλέλοιπέ γε διὰ τὴν ἐκκλησίαν κύριος ὁ ἀνὴρ πατέρα, ὃν ἑώρα, ὅτε ἐν μορφῇ θεοῦ ὑπῆρχε, καταλέλοιπε δὲ καὶ τὴν μητέρα, καὶ αὐτὸς υἱὸς ὢν τῆς ἄνω Ἱερουσαλὴμ, καὶ ἐκολλήθη τῇ ἐνταῦθα καταπεσούσῃ γυναικὶ αὐτοῦ, καὶ γεγόνασιν ἐνθάδε οἱ δύο εἰς σάρκα μίαν. Διὰ γὰρ αὐτὴν γέγονε καὶ αὐτὸς σὰρξ, ὅτε „ὁ Λόγος[7]) σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν," καὶ οὐκέτι γέ εἰσι δύο, ἀλλὰ νῦν μία γέ ἐστι σὰρξ, ἐπεὶ τῇ γυναικὶ λέγεται τό· „ὑμεῖς[8]) δέ ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους·" οὐ γὰρ

---

1) H. et R. h. l., cfr. pag. 305. not. 7. et Matth. XIX, 6., οὓς ὁ Θεός κτλ.

2) H. et R. in textu: ὅτε, H. tamen ad marg., R. in notis: „lege ὅτι."

3) Cod. Regius habet: ἐπιβουλεύουσα τῷ ἀνδρὶ, καὶ ἀποκτείνουσα. H. et R.

4) Ev. Joann. XIX, 6. 15. Cfr. ed. nostrae Tom. I. pag. 28. not. 2., Tom. II. pag. 111. not. 2. et pag. 373. not. 1. coll. Tomi hujus III. pag. 312. not. 3.

5) Jes. L, 1. LXX. interpretes: ᾧ ἐξαπέστειλε κτλ.

6) Philipp. II, 6. — Coloss. III, 10.

7) Ev. Joann. I, 14. — Matth. XIX, 6.

8) I Cor. XII, 27.

ἐστί τι ἰδίᾳ Χριστοῦ σῶμα ἕτερον παρὰ τὴν ἐκκλησίαν οὖσαν σῶμα αὐτοῦ, καὶ μέλη ἐκ μέρους. Καὶ ὁ θεός γε τούτους τοὺς μὴ δύο, ἀλλὰ γενομένους σάρκα μίαν συνέζευξεν, ἐντελλόμενος ἵνα ἄνθρωπος μὴ χωρίζῃ τὴν ἐκκλησίαν ἀπὸ τοῦ κυρίου. Καὶ ὁ προσέχων γε ἑαυτῷ ὡς μὴ χωρισθῆναι, θαῤῥεῖ ὡς μὴ χωρισθησόμενος, καί φησι· „τίς [1]) ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;“ Ἐνταῦθα μὲν οὖν γέγραπται πρὸς τοὺς Φαρισαίους λεγόμενον τό· „ὃ [2]) ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.“ Λέγοιτο δ' ἂν πρὸς τοὺς Φαρισαίων κρείττονας· ὃ οὖν ὁ θεὸς συνέζευξε, μηδὲν χωριζέτω, μήτε ἀρχὴ, μήτε ἐξουσία· ἰσχυρότερος γὰρ ὁ συζεύξας θεὸς πάντων ὧν ἂν ὀνομάσαι τις νοήσας αὐτὰ δυνηθῇ.

18. *Μετὰ ταῦτα διαληψόμεθα τὸν τῶν Φαρισαίων λόγον, ὃν εἶπον τῷ Ἰησοῦ ἐν τῷ· „τί οὖν [3]) Μωσῆς ἐνετείλατο δοῦναι βιβλίον ἀποστασίου, καὶ ἀπολῦσαι;“ Εὐλόγως δ' εἰς τοῦτο παραληψόμεθα τὴν ἀπὸ τοῦ Δευτερονομίου λέξιν περὶ τοῦ τῆς ἀποστασίας βιβλίου, ἔχουσαν οὕτως· „ἐὰν [4]) δὲ λάβῃ τις γυναῖκα, καὶ συνοικήσῃ αὐτῇ, καὶ ἔσται ἐὰν μὴ εὕρῃ χάριν ἐναντίον αὐτοῦ, ὅτι εὗρεν ἐν αὐτῇ ἄσχημον πρᾶγμα,“ καὶ τὰ ἑξῆς, ἕως τοῦ· „καὶ [5]) οὐ μιανεῖτε τὴν γῆν, ἣν κύριος ὁ θεὸς ὑμῶν δίδωσιν ὑμῖν ἐν κλήρῳ.“ Ζητῶ δὲ ἐν τοῖς κατὰ τὸν νόμον τοῦτον, πότερον οὐδὲν πέρα τῆς λέξεως χρὴ ζητεῖν ἐν αὐτῷ, ἐπεὶ μὴ ὁ θεὸς ἔδωκεν αὐτόν· ἢ πρὸς μὲν τοὺς Φαρισαίους ἀναγκαίως εἴρηται, χρησαμένους τῷ· „Μωσῆς [6]) ἐνετείλατο δοῦναι βιβλίον ἀποστασίου, καὶ ἀπολῦ-*

---

[1]) Rom. VIII, 35.

[2]) Matth. XIX, 6.

[3]) Ibid. XIX, 7. Edd. N. T. *Μωϋσῆς*, ed. Knapp. *κ. ἀπολῦσαι αὐτήν.*

[4]) Deuter. XXIV, 1.

[5]) Ibid. XXIV, 4. LXX. interpretes: *ὁ Θεός σου δίδωσί σοι ἐν κ. τ. λ.*

[6]) Matth. XIX, 7. coll. pag. huj. not. 3.

σαι·" τό· „ὅτι Μωσῆς[1]) πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν· ἀπ' ἀρχῆς δὲ οὐ γέγονεν οὕτως." Ἐὰν δέ τις ἐπὶ τὸ εὐαγγέλιον ἀναβῇ Χριστοῦ Ἰησοῦ, διδάσκον ὅτι ὁ νόμος πνευματικός ἐστι, καὶ τούτου ζητήσει τοῦ νόμου πνευματικὸν νοῦν. Φήσει δὲ καὶ ταῦτα ὁ θέλων τροπολογεῖν, ὅτι ὥσπερ τῷ Παύλῳ θαῤῥοῦντι ἐφ' ᾗ εἶχε χάριτι λέλεκται τό· „γυνὴ[2]) δέδεται ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει[3]) γαμηθῆναι, μόνον ἐν κυρίῳ. Μακαριωτέρα[4]) δέ ἐστιν ἐὰν οὕτως μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην· δοκῶ δὲ κἀγὼ πνεῦμα θεοῦ ἔχειν·" — ἐν τούτοις γὰρ[5]) τῷ· „κατὰ τὴν ἐμὴν γνώμην·" ἵνα μὴ καταφρονηθῇ ὡς κενὴ πνεύματος θεοῦ, καλῶς ἐπήγαγε τό· „δοκῶ δὲ[6]) κἀγὼ πνεῦμα θεοῦ ἔχειν·" — οὕτως καὶ Μωσεῖ διὰ τὴν δοθεῖσαν αὐτῷ ἐξουσίαν νομοθετεῖν, ὥστε αὐτὸν καὶ πρὸς τὴν σκληροκαρδίαν τοῦ λαοῦ ἐπιτρέψαι τινὰ ἐν οἷς ἦν, καὶ τὸ ἀπολύειν τὰς γυναῖκας, ἦν ἂν πείθεσθαι ἐφ' οἷς κατὰ τὴν αὐτοῦ γνώμην ἐνομοθέτει, ὡς καὶ ἐν τούτοις μετὰ πνεύματος θεοῦ τῆς νομοθεσίας γενομένης. Καὶ ἐρεῖ, ὅτι, εἰ οὐχί τις μὲν νόμος πνευματικός ἐστι, τὶς δὲ οὐκ ἔστι τοιοῦτος, νόμος δέ ἐστι καὶ οὗτος, πνευματικός ἐστι καὶ οὗτος, καὶ ζητητέον αὐτοῦ τὸ πνευματικόν.

19. Μεμνημένοι δὲ τῶν ἀνωτέρω ἡμῖν λελεγμένων εἰς τὸ τοῦ Ἡσαΐου περὶ τοῦ βιβλίου τῆς ἀποστασίας ῥητὸν, φήσομεν, ὅτι ἑαυτὴν ἀπέστησεν ἀνδρὸς τοῦ Χρι-

---

[1]) Matth. XIX, 8. Edd. N. T., cfr. pag. 309. not. 3., *Μωϋσῆς*.

[2]) I Cor. VII, 39. Ed. Knapp. *ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς, κ. τ. λ.*

[3]) Cod. Regius: *κἂν θέλει*. H. et R.

[4]) I Cor. VII, 40. Edd. N. T. *οὕτω μείνῃ*.

[5]) H. et R. in textu: *γὰρ τό· κατά κ. τ. λ.*, H. tamen ad marg., R. in notis: „scrib. *γὰρ τῷ· κατά κτλ.*

[6]) Deest h. l., cfr. pag. huj. not. 4., *δέ* in edd. H. et R.

στοῦ ἡ μήτηρ τοῦ λαοῦ, μὴ λαβοῦσα [1]) τὸ τῆς ἀποστασίας βιβλίον· ὕστερον δὲ, ὅτε εὑρέθη ἐν αὐτῇ ἄσχημον πρᾶγμα, καὶ οὐχ εὗρε χάριν ἐναντίον αὐτοῦ, ἐγράφη αὐτῇ βιβλίον ἀποστασίου· δυνάμει γὰρ ἡ καινὴ διαθήκη τοὺς ἀπὸ τῶν ἐθνῶν καλοῦσα εἰς τὴν οἰκίαν τοῦ τὴν προτέραν γυναῖκα ἀποβεβληκότος, τὸ βιβλίον τοῦ ἀποστασίου δέδωκε τῇ πρότερον ἀποστάσῃ τοῦ ἀνδρὸς, νόμου καὶ Λόγου. Διὸ καὶ αὐτὸς αὐτῆς ἀποστὰς ἔγημεν, ἵν' οὕτως ὀνομάσω, ἑτέραν, δοὺς εἰς τὰς χεῖρας τῆς προτέρας τὸ τοῦ ἀποστασίου βιβλίον· διὸ μηκέτι δύνανται πράσσειν τὰ κατὰ τὸν νόμον αὐτοῖς προστεταγμένα διὰ τὸ βιβλίον τοῦ ἀποστασίου. Καὶ σημεῖον τοῦ εἰληφέναι αὐτὴν βιβλίον ἀποστασίου, τό· Ἱερουσαλὴμ μὲν καθῃρῆσθαι μετὰ τοῦ κληθέντος ὑπ' ἐκείνων ἁγιάσματος ἐν αὐτῷ πεπιστευμένων γεγονέναι σεμνῶν, καὶ τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων, καὶ πάσης τῆς παρ' αὐτῷ λατρείας. Σημεῖον δὲ τοῦ βιβλίου τῆς ἀποστασίας καὶ τό· μήτε ἑορτάζειν αὐτοὺς δύνασθαι, κἂν, κατὰ τὸ γράμμα, τοῦ βουλήματος τοῦ νόμου προστάξαντος, [2]) ἐν τῷ τόπῳ ᾧ ἂν ἐκλέξηται κύριος ὁ θεὸς ἑορτάζειν αὐτούς· ἀλλὰ καὶ τό· πᾶσαν τὴν συναγωγὴν λιθοβολεῖν τοὺς τάδε ἡμαρτηκότας γενέσθαι μὴ δυναμένην· [3]) καὶ ἄλλα δὲ μυρία τῶν προστεταγμένων σημεῖόν ἐστι τοῦ βιβλίου τῆς ἀποστασίας, καὶ ὅτι „οὐκ ἔστιν [4]) ἔτι προφήτης,“ καὶ ὅτι λέγουσι· „σημεῖα [5]) οὐκ εἴδομεν ἔτι·“ „ἀφεῖλε [6]) γὰρ,“ — φησὶ κύριος, — „ἀπὸ τῆς Ἰουδαίας καὶ ἀπὸ

---

[1]) Ed. H. λαβοῦσαν, ed. R. λαβοῦσα.

[2]) Deuter. XII. XIV. et XVI.

[3]) H. et R. in textu: δυνάμενον, in notis: „lege δυναμένην.“

[4]) Psalm. LXXIV, 9. (LXXIII.)

[5]) Ibid. LXXIV, 9. (LXXIII.) coll. LXX. virorum versione.

[6]) Jes. III, 1. 2. 3. coll. LXX. interpretum versione.

τῆς Ἱερουσαλὴμ,“ — κατὰ τὸν τοῦ Ἠσαΐου λόγον, — „ἰσχύοντα, καὶ ἰσχύουσαν, γίγαντα κατισχύοντα,“ καὶ τὰ λοιπὰ, μέχρι „συνετοῦ ἀκροατοῦ.“ Δύναται δὲ ὁ μὲν εἰληφέναι γυναῖκα τὴν συναγωγὴν καὶ συνῳκηκέναι αὐτῇ ὁ Χριστὸς, ὕστερον δὲ ἐκείνην μὴ εὑρηκέναι χάριν ἐναντίον αὐτοῦ· ἡ δὲ αἰτία τοῦ μὴ εὑρηκέναι τὴν χάριν ἐναντίον αὐτοῦ, τὸ εὑρεθῆναι ἐν αὐτῇ ἄσχημον πρᾶγμα· τί γὰρ ἀσχημονέστερον τοῦ, προκειμένου ἀπολῦσαι ἐν τῇ ἑορτῇ ἕνα, ἀπολῦσαι μὲν αὐτοὺς ἠξιωκέναι Βαραββᾶν[1]) *τὸν λῃστὴν, καταδικάσαι δὲ Ἰησοῦν; Καὶ τί*[2]) *ἀσχημονέστερον τοῦ πάντας εἰρηκέναι ἐπ' αὐτῷ· „σταύρου,*[3]) *σταύρου αὐτὸν, καὶ αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον;“ Πῶς δὲ οὐκ ἂν ἄσχημον καὶ τό· „τὸ αἷμα*[4]) *αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν;“ Διὸ ἐκδικουμένου αὐτοῦ ἐκυκλώθη ὑπὸ στρατοπέδων Ἱερουσαλὴμ, καὶ ἐπέστη ἡ ἐρήμωσις αὐτῆς, καὶ ἀφείθη*[5]) *αὐτῆς ὁ οἶκος αὐτῶν, καὶ ἐγκαταλείφθη*[6]) *„ἡ θυγάτηρ Σιὼν, ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ, καὶ ὡς πόλις πολιορκουμένη.“ Κατὰ τὸν αὐτὸν δὲ, οἶμαι, καιρὸν τῇ μὲν προτέρᾳ γυναικὶ ἔγραφεν ὁ ἀνὴρ βιβλίον ἀποστασίου, καὶ ἔδωκεν εἰς τὰς χεῖρας αὐτῆς, καὶ ἐξαπέστειλεν αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ· τῆς δὲ ἀπὸ τῶν ἐθνῶν ἀπαλήλειπται τὸ χειρόγραφον, περὶ οὗ φησιν ὁ ἀπόστολος τό· „ἐξαλείψας*[7]) *τὸ χειρόγραφον*

---

[1]) H. et R. in textu: *Βαραβᾶν*, H. tamen ad marg., R. in notis: „lege *Βαραββᾶν*.“

[2]) Ed. H.: *καὶ τί ἄσχημονέστερον κ. τ. λ.*, in ed. R. deest *καί*.

[3]) Ev. Joann. XIX, 15. coll. pag. 308. not. 4.

[4]) Matth. XXVII, 25.

[5]) Jes. XXXII, 14.

[6]) Jes. I, 8. LXX. interpretes: *ἐν σικυηράτῳ, ὡς πόλις κ. τ. λ.*

[7]) Coloss. II, 14. Edd. N. T. *τὸ καθ' ἡμῶν χειρόγραφον κ. τ. λ.*

τοῖς δόγμασιν, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρκεν [1]) *ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυρῷ·" καὶ Παῦλος γὰρ εἰς τὴν ἀπὸ τῶν ἐθνῶν* [2]) *καὶ ἕτεροι προσήλυτοι ἐγίνοντο τοῦ Ἰσραήλ. Ἐξῆλθε τοίνυν ἡ προτέρα γυνὴ, ἡ μὴ εὑροῦσα χάριν ἐναντίον τοῦ ἀνδρὸς, τῷ εὑρῆσθαι ἐν αὐτῇ ἄσχημον πρᾶγμα, ἀπὸ τῆς οἰκίας τοῦ ἀνδρὸς, καὶ ἀπελθοῦσα γεγένηται ἀνδρὶ ἑτέρῳ, ᾧ ἑαυτὴν ὑπέταξεν, εἴτε Βαραββᾶν* [3]) *τὸν λῃστὴν χρὴ λέγειν τὸν ἄνδρα, ὄντα τροπικῶς τὸν διάβολον, εἴτε τινὰ δύναμιν πονηράν. Καὶ ἐπί τινων μὲν τῆς συναγωγῆς ἐκείνης συμβέβηκεν τὸ πρότερον ἐν τῷ νόμῳ γεγραμμένον, ἐφ᾿ ἑτέρων δὲ τὸ δεύτερον. Ὁ γὰρ ἔσχατος ἀνὴρ ἐμίσησε* [4]) *τὴν γυναῖκα, καὶ γράψει* [5]) *αὐτῇ ποτε ἐπὶ τέλει τῶν πραγμάτων βιβλίον ἀποστασίου, τοῦτο οἰκονομοῦντος τοῦ θεοῦ, καὶ δώσει εἰς τὰς χεῖρας αὐτῆς, καὶ ἐξαποστελεῖ αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ·* [6]) *ὡς γὰρ ἔχθραν* [7]) *ὁ ἀγαθὸς θεὸς θήσει ἀνὰ μέσον τοῦ ὄφεως καὶ τῆς γυναικὸς, καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτοῦ, καὶ ἀνὰ*

---

1) H. et R. *ἦρεν.*

2) H. in textu: *ἀπὸ τῶν ἐθνῶν * * προσήλυτοι*, in notis: „ita Codd. Holm. et Regius; locus tamen videtur hiulcus, ideoque asteriscos addidimus." R. in textu: *ἀπὸ τῶν ἐθνῶν καὶ ἕτεροι προσήλυτοι*, in notis: „„„ita Cod. habet (?) Regius, Cod. Anglican. autem omittit: *καὶ ἕτεροι.* Quamvis autem in neutro Mscr. Codice ullum appareat lacunae vestigium, locus tamen videtur (?) hiulcus, ideoque asteriscos addidit Huet." " Cfr. p. 312. lin. 2. a fine.

3) H. et R. h. quoque l., cfr. pag. 312. not. 1., in textu: *Βαραβᾶν*, H. tamen ad marg., R. in notis: „lege, ut supra, *Βαραββᾶν.*"

4) Deuter. XXIV, 3. coll. 1.

5) H. et R. in textu: *γράφει*, H. tamen ad marg., R. in notis: „lege *γράψει.*"

6) Ed. Huetii: *αὐτοῦ.*

7) Gen. III, 15.

μέσον τοῦ σπέρματος αὐτῆς, οὕτως οἰκονομήσει, ἵνα μισήσῃ αὐτὴν ὁ ἀνὴρ ὁ ἔσχατος.

20. *Εἰσὶ δὲ οἷς συμβέβηκε συνοικεῖν τὸν ἄνδρα μὴ μισήσαντα αὐτοὺς, τῷ παραμεῖναι ἐν τῷ οἴκῳ τοῦ ἐσχάτου* [1]) *ἀνδρὸς, καὶ λαβόντος αὐτῶν τὴν συναγωγὴν ἑαυτῷ γυναῖκα. Ἀλλὰ καὶ ἐπὶ τούτων ἀποθνήσκει ὁ ἔσχατος ἀνὴρ, τάχα ἡνίκα ἂν ὁ ἔσχατος ἐχθρὸς Χριστοῦ καταργῆται* [2]) *θάνατος. Ὁπότερον δὲ τούτων ἂν γένηται, εἴτε τὸ πρότερον, εἴτε τὸ τελευταῖον τῇ γυναικὶ, οὐ* [3]) „*δυνήσεται,* [4]) *φησὶν, ὁ ἀνὴρ ὁ πρότερος, ὁ ἐξαποστείλας αὐτὴν, ἐπαναστρέψας λαβεῖν αὐτὴν τῷ* [5]) *εἶναι ἑαυτῷ γυναῖκα, μετὰ τὸ μιανθῆναι αὐτὴν, ὅτε* [6]) *βδέλυγμα, φησὶν, ἐστὶν ἐναντίον κυρίου τοῦ θεοῦ σου.*“ *Ἀλλὰ ταῦτα δόξει μὴ κατάλληλα εἶναι τῷ·* „*ἐὰν* [7]) *τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, πᾶς Ἰσραὴλ σωθήσεται.*“ *Ὅρα δὲ, εἰ δύναται καὶ πρὸς τοῦτο λέγεσθαι, ὅτι πάντως, εἰ σωθήσεται, τῷ τὸν ἄνδρα αὐτῆς τὸν πρότερον ἐπαναστρέψαντα λαβεῖν αὐτὴν τῷ εἶναι αὐτῷ γυναῖκα, μετὰ τὸ μιανθῆναι αὐτὴν σωθήσεται. Ἱερεὺς μὲν οὖν πόρνην* [8]) *καὶ ἐκβεβλημένην οὐ λήψεται ἑαυτῷ γυναῖκα,* [9]) *ἄλλος*

---

[1]) H. in textu: *τοῦ ἀνδρός*, ad oram: „Cod. Reg.: *τοῦ ἐσχάτου ἀνδρός.*“ R. in textu: *τοῦ ἐσχάτου ἀνδρός*, in notis: „„sic habet uterque Codex, Regius et Anglicanus, licet Huetius in margine vocem *ἐσχάτου* soli Regio tribuat.““

[2]) H. et R. in textu: *καταργῇ*, H. ad oram: „scrib. *λελεγμένον,*“ (? Forsan ad seq. *πρότερον* pertinet), R. in notis: „„lege *καταργῆται.*““ Cfr. I Cor. XV, 26.

[3]) Deuter. XXIV, 4.

[4]) H. ad marg., R. in notis: „Cod. Reg.: *δύναται.*“

[5]) *τῷ εἶναι.* Desunt haec verba in versione LXX. virorum. Cfr. pag. 316. not. 4.

[6]) LXX. interpretes l. l. *ὅτι.* -

[7]) Rom. XI, 25. 26. coll. edd. N. T.

[8]) Levit. XXI, 14. coll. LXX. interpretum versione.

[9]) H. in textu: *γυναῖκα * δέ τις*, in notis: „leg.

δέ τις οὐ κωλύεται, ὡς ὑποβεβηκὼς τὸν ἱερέα, ποιῆσαι τὸ τοιοῦτον. Ἀλλ' ἐὰν περὶ τῆς τῶν ἐθνῶν κλήσεως τὴν[1]*) πόρνην ζητῇς, χρήσῃ τῷ· „λάβε*[2]*) σεαυτῷ γυναῖκα πορνείας, καὶ τέκνα πορνείας," καὶ τοῖς ἑξῆς· ὡς γὰρ οἱ ἱερεῖς*[3]*) ἐν τῷ ἱερῷ τὸ σάββατον βεβηλοῦντες ἀναίτιοί εἰσιν· οὕτως ἐν καιρῷ λαμβάνων γυναῖκα πορνείας ὁ ἐκβάλλων τὴν προτέραν γυναῖκα καὶ ἀναίτιός ἐστι, ποιήσας αὐτὸ κατὰ τὴν πρόσταξιν τοῦ, ὅτε δεῖ, εἰπόντος, καὶ ἕως ἐχρῆν τό· „γυναῖκα*[4]*) πόρνην οὐ λήψεται·" καὶ ὅτε εὔλογον ἦν, φησὶ τό· „λάβε*[5]*) σεαυτῷ γυναῖκα πορνείας." Ὡς γὰρ κύριός ἐστι τοῦ σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ οὐ δοῦλος τοῦ σαββάτου, ὡς ὁ λαός· οὕτως κύριός ἐστιν ὁ τὸν νόμον διδοὺς, διδόναι μὲν ἄχρι*[6]*) „καιροῦ διορθώσεως" καὶ ἀλλάσσειν νόμον, ἐπιστάντος δὲ τοῦ καιροῦ τῆς διορθώσεως, καὶ διδόναι μετὰ τὴν προτέραν ὁδὸν καὶ μετὰ τὴν προτέραν καρδίαν, ὁδὸν ἑτέραν καὶ καρδίαν ἑτέραν „καιρῷ*[7]*) δεκτῷ καὶ ἐν ἡμέρᾳ σωτηρίας." Καὶ ταῦτα μὲν κατὰ μίαν διήγησιν λελέχθω εἰς τὸν περὶ τοῦ βιβλίου τῆς ἀποστασίας νόμον.*

21. *Ζητήσαι δ' ἄν τις, εἰ δύναται ἡ ἀνθρωπίνη ψυχὴ τροπικῶς λέγεσθαι γυνὴ, καὶ ὁ προϊστάμενος αὐτῆς ἄγγελος καὶ ἄρχων αὐτῆς, πρὸς ὃν ἡ ἀναστροφὴ γίνεται αὐτῆς κατακυριεύοντα αὐτῆς, ἀνὴρ, ὡς κατὰ τοῦτο*

---

fort. *γυναῖκα, ἄλλος δέ τις,* vel quid simile. Codd. Holm. et Reg. consentiebant, nos asteriscum infersimus." Item R. in notis, omisso in textu asterisco.

[1]) Ed. Huetii *τό*, ed. R. *τήν*.

[2]) Hos. I, 2.

[3]) Matth. XII, 5.

[4]) Levit. XXI, 14. coll. pag. 314. not. 8.

[5]) Hos. I, 2.

[6]) Hebr. IX, 10.

[7]) II Cor. VI, 2.

ἕκαστον νομίμως συνοικεῖν[1]) τῇ ψυχῇ τῇ ἀξίᾳ προστασίας θείου ἀγγέλου· γένοιτο δ' ἂν ποτε μετὰ τὴν ἐπὶ πλεῖον διατριβὴν καὶ συνοίκησιν αἰτία ἐν ψυχῇ τοῦ μὴ εὑρίσκειν χάριν ἐναντίον τοῦ κυριεύοντος καὶ ἄρχοντος αὐτῆς ἀγγέλου, τὸ εὑρίσκεσθαι ἐν αὐτῇ ἄσχημον πρᾶγμα, καὶ γράφοιτο ἂν, ὡς γράφεται, χειρόγραφα, γράφοιτο δὲ βιβλίον ἀποστασίου, διδόμενον εἰς τὰς χεῖρας τῆς ἐκβαλλομένης, ἵνα μηκέτι οἰκεία ᾖ τοῦ προτέρου προστάτου ἡ ἐξαποστελλομένη ἐκ τῆς οἰκίας αὐτοῦ. Καὶ γένοιτο δ' ἂν ἡ ἀπελθοῦσα ἀπὸ τῆς προτέρας οἰκίας ἑτέρῳ ἀνδρὶ, καὶ ἀτυχήσῃ ἂν παρ' αὐτῷ, οὐ μόνον ὡς ἐπὶ τοῦ προτέρου μὴ εὑρίσκουσα χάριν ἐνώπιον αὐτοῦ, τοῦ εὑρίσκεσθαι ἐν αὐτῇ ἄσχημον πρᾶγμα, ἀλλὰ καὶ μισουμένη ὑπ' αὐτοῦ. Καὶ γράφοιτο δ' ἂν καὶ ἀπὸ τοῦ δευτέρου αὐτῇ βιβλίον ἀποστασίου, καὶ διδοῖτο[2]) ἂν εἰς τὰς χεῖρας αὐτῆς ἀπὸ τοῦ ἐσχάτου ἀνδρὸς, ἐξαποστέλλοντος αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ. Εἰ δὲ δύναται γενέσθαι μετάστασις ζωῆς τῆς σὺν ἀνθρώποις ἀγγέλων, ὡς τοιοῦτον εἶναι καὶ τὸν αὐτῶν, ὅσον πρὸς τὴν καθ' ἡμᾶς σχέσιν, θάνατον, τολμηρῶς μὲν, πλὴν ὅμως ζητήσαι τις ἄν· ὅπως δ' ἂν γένηται, ἡ ἅπαξ ἀποπεσοῦσα προτέρου ἀνδρὸς οὐκ ἐπανελεύσεται πρὸς αὐτόν· οὐ γὰρ „δυνήσεται[3]) ὁ ἀνὴρ ὁ πρότερος, ὁ ἐξαποστείλας αὐτὴν, ἐπαναστρέψας λαβεῖν αὐτὴν τοῦ εἶναι[4]) αὐτῷ γυναῖκα, μετὰ τὸ μιανθῆναι αὐτήν." Εἰ δὲ χρὴ τολμήσαντα καὶ ἀπό τινος, φερομένης μὲν ἐν τῇ[5]) ἐκκλησίᾳ γραφῆς, οὐ παρὰ πᾶσι δὲ ὁμολογουμένης εἶναι θείας,

---

[1]) H. ad marg., R. in notis: „Cod. Regius: συνοικεῖν τινι ψυχῇ κτλ."

[2]) H. et R. h. l. διδῶτο.

[3]) Deut. XXIV, 4. coll. pag. 314. not. 3. seqq.

[4]) H. et R. h. l., cfr. pag. 314. not. 5., τοῦ εἶναι αὐτῷ.

[5]) H. ad marg., R. in notis: „Cod. Regius: ταῖς ἐκκλησίαις."

τὸ τοιοῦτον παραμυθήσασθαι, ληφθείη ἂν τὸ ἀπὸ τοῦ Ποιμένος περί τινων ἅμα μὲν τῷ πιστεύειν ὑπὸ τῷ Μιχαὴλ γινομένων, διὰ δὲ φιληδονίαν ἀποπιπτόντων ἐκείνου, καὶ γινομένων ὑπὸ τὸν τῆς τρυφῆς, εἶτα ὑπὸ τὸν τῆς τιμωρίας, μεθ' ὃν ὑπὸ τὸν τῆς μετανοίας· ὁρᾷς γάρ, ὅτι οὐκέτι μὲν ἐπανέρχεται ἐπὶ τὸν πρῶτον ἄρχοντα ἡ ἅπαξ τρυφήσασα γυνή, ἤτοι ψυχή, ἀλλὰ καὶ μετὰ τιμωρίας ὑπό τινα ὑποδεέστερον γίνεται παρὰ τὸν Μιχαήλ· ὑποδεέστερος γὰρ ἐκείνου ὁ τῆς μετανοίας. Προσεκτέον οὖν ἡμῖν, μήποτε εὑρεθῇ ἐν ἡμῖν ἄσχημον πρᾶγμα, καὶ μὴ εὕρωμεν χάριν ἐνώπιον ἀνδρὸς τοῦ Χριστοῦ, ἢ τοῦ τεταγμένου ἐφ' ἡμῖν ἀγγέλου. Ἐὰν γὰρ μὴ προσέχωμεν, τάχα καὶ ἡμεῖς τὸ βιβλίον τοῦ ἀποστασίου ληψόμεθα, καὶ ἢ χηρεύσομεν προστάτου, ἢ ἐπὶ ἄνδρα ἕτερον ἐλευσόμεθα. Ἐγὼ δὲ ἡγοῦμαι, ὅτι οὐκ αἴσιον[1]) *τοῦτο, ἵν' οὕτως ὀνομάσω, ληψόμενοι ἀγγέλους πρὸς τὴν ἡμετέραν ψυχὴν γάμον.*

22. *Γενόμενος δὲ κατὰ τὸν τόπον εἴποιμ' ἄν, ὅτι ζητούμενόν τι κατὰ τὴν τοῦ ἀποστόλου περὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων νομοθεσίαν τάχα ἤδη νοῆσαι καὶ*[2]) *σαφῶς παραστῆσαι, δύσληπτον καὶ δυσθεώρητον τυγχάνον, δυνησόμεθα· οὐδένα γὰρ τῶν ἀπὸ τῆς ἐκ-*

---

[1]) H. et R., ut nos, in textu: *ἐγὼ δὲ — τοῦτο, —, ληψόμενοι ἀγγέλους κ. τ. λ.*, H. tamen non male in notis: „ita Codd. Holm. et Regius. A loci hujus manifesto mendosi correctione manum abstinuimus; cum tamen non infeliciter sic emendes: *ἐγὼ δὲ ἡγοῦμαι, ὅτι οὐκ αἴσιον τοῦτον, ἵν' οὕτως ὀνομάσω, ληψόμενοι ἀγγέλου πρὸς τὴν ἡμετέραν ψυχὴν γάμον.* Recte enim dici: *γάμον τινὸς λαμβάνειν*, docent Grammaticorum filii." In versione H. et R. haec offerunt: *ego vero inauspicato, et malis, ut ita dicam, avibus hoc cum angelo connubium nos animae nostrae conciliaturos puto.*

[2]) Desunt verba: *καὶ σαφῶς παραστῆσαι, δύσληπτον* in ed. Ruaei.

κλησίας, ὑπεροχήν τινα παρὰ τοὺς πολλοὺς ὡς ἐν συμβόλοις ἀνειληφότα, βούλεται ὁ Παῦλος δευτέρου πεπειρᾶσθαι γάμου. Περὶ μὲν γὰρ ἐπισκόπων νομοθετῶν ἐν τῇ πρὸς Τιμόθεον προτέρᾳ φησίν· „εἴ τις [1]) ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. Δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφάλιον, σώφρονα," καὶ τὰ ἑξῆς· περὶ δὲ διακόνων· „διάκονοι, [2]) φησὶν, ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες, τέκνων καλῶς προϊστάμενοι καὶ τῶν ἰδίων οἴκων," καὶ τὰ λοιπά. Καὶ χήρας δὲ καθιστάς· „χήρα, [3]) φησὶν, ἔστω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα, γεγονυῖα ἑνὸς ἀνδρὸς γυνή·" καὶ μετὰ ταῦτά φησι τὰ ἐπιφερόμενα, ὡς τούτου δεύτερα καὶ τρίτα. Ἐν δὲ τῇ πρὸς Τίτον· „τούτου, [4]) φησὶ, χάριν ἀπέλιπόν [5]) σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ, [6]) καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην· εἴ τις ἐστὶν ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνὴρ, τέκνα ἔχων πιστὰ" δηλαδὴ, καὶ τὰ ἑξῆς. Ἐπηποροῦμεν δὴ, ὁρῶντες δυνατὸν εἶναι βελτίους πολλῷ τυγχάνειν τινὰς διγάμους μονογάμων, τί δήποτε οὐκ ἐπιτρέπει ὁ Παῦλος διγάμους εἰς τὰς ἐκκλησιαστικὰς καθίστασθαι ἀρχάς· καὶ γὰρ ἐδόκει μοι ζητήσεως ἄξιον εἶναι τὸ τοιοῦτον, τῷ ἐνδέχεσθαι ἀτυχήσαντά τινα περὶ δύο γάμους, ἔτι νέον ὄντα ἀποβαλόντα τὴν δευτέραν, ἐγκρατέστατα καὶ καθαρώτατα βεβιωκέναι παρὰ τὸν λοιπὸν μέχρι γήρως χρόνον. Τίς

---

[1]) I Tim. III, 1. 2.

[2]) Ibid. III, 12.

[3]) Ibid. V, 9. Edd. N. T. *χήρα καταλεγέσθω μὴ — γεγονυῖα, ἑνὸς ἀνδρὸς γυνή.*

[4]) H. et R. male *τοῦτο*. Cfr. Tit. I, 5. 6.

[5]) Ed. Knapp. *κατέλιπόν σέ*, ed. Lachm. *ἀπέλιπόν σε κ. τ. λ.*

[6]) Ed. Huet. *ἐπιδιωρθώσῃ*, ed. Knapp., ut nos: *ἐπιδιορθώσῃ*, ed. Lachm. *ἐπιδιορθώσῃς*.

οὖν οὐκ ἂν εὐλόγως ἐπαπορήσειε,[1]) τί δήποτε, ζητουμένου τοῦ ἄρξοντος τῆς ἐκκλησίας, τὸν μὲν τοιόνδε δίγαμον οὐ καθίσταμεν[2]) διὰ τὰς τοῦ γάμου λέξεις, τὸν δὲ μονόγαμον, καὶ εἰ τύχοι μέχρι γήρως συμβιῶσαι τῇ γυναικὶ, κρατοῦμεν ἄρχοντα,[3]) ἔσθ' ὅτε μηδὲ γυμνασάμενον εἰς ἁγνείαν[4]) καὶ σωφροσύνην; Ἐκ δὲ τῶν εἰρημένων εἰς τὸν περὶ τοῦ βιβλίου τῆς ἀποστασίας[5]) νόμον ἐφίστημι, μήποτε, ἐπεὶ σύμβολόν ἐστι καὶ ὁ ἐπίσκοπος καὶ ὁ πρεσβύτερος καὶ ὁ διάκονος ἀληθινῶν κατὰ τὰ ὀνόματα ταῦτα πραγμάτων, ἐβουλήθη αὐτοὺς συμβολικῶς μονογάμους καταστῆσαι, ἵν' ὁ δυνάμενος ἐπιστῆσαι τοῖς πράγμασιν, εὕρῃ ἐκ τοῦ πνευματικοῦ νόμου ἀνάξιον ὄντα ἀρχῆς ἐκκλησιαστικῆς ἐκεῖνον, οὗ ἡ ψυχὴ οὐχ εὗρε[6]) χάριν ἐναντίον τοῦ[7]) ἀνδρὸς αὐτῆς, τῷ εὑρῆσθαι ἐν αὐτῇ ἄσχημον πρᾶγμα, καὶ ἀξίαν αὐτὴν γεγονέναι τοῦ τῆς ἀποστάσεως βιβλίου· δευτέρῳ γὰρ συνοικήσασα ἡ τοιαύτη ψυχὴ, καὶ παρὰ τῷ τοιούτῳ μισηθεῖσα, οὐκέτι δύναται μετὰ τὸ δεύτερον βιβλίον τοῦ ἀποστασίου ἐπανελθεῖν ἐπὶ τὸν πρότερον ἄνδρα. Εἰκὸς[8]) μὲν οὖν καὶ ἄλλους παρὰ τοῖς πολλῷ ἡμῶν σοφωτέροις, καὶ μᾶλλον βλέπειν τὰ τηλικαῦτα δυναμένοις, εὑρεθήσεσθαι λόγους, εἴτε εἰς τὸν περὶ τοῦ τῆς ἀποστασίας βιβλίου νόμον, εἴτε εἰς τὰ ἀποστολικὰ κωλύοντα διγάμους ἄρχειν τῆς ἐκκλησίας, ἢ προκαθέζεσθαι προ-

---

1) H. et R. in textu: ἐπαπορῇ, H. tamen ad marg., R. in notis: „Cod. Regius: ἐπαπορήσει."

2) H. et R. καθιστᾶμεν.

3) H. ad marg., R. in notis: „Cod. Reg.: ἀρέσκοντα."

4) H. ad marg., R. in notis: „Cod. Regius: εἰς ἀνδρείαν καί κτλ."

5) H. ad marg., R. in notis: „Cod. Reg.: ἀποστάσεως."

6) Ed. Huetii: οὐκ εὗρε κ. τ. λ."

7) Desideratur τοῦ in ed. Coloniensi.

8) H. et R. εἶκος μὲν οὖν κ. τ. λ.

τετιμημένους ἐν αὐτῇ· ἡμεῖς δὲ, ἕως εὑρεθῇ τὰ κρείττονα, καὶ δυνάμενα τῇ τοῦ τῆς γνώσεως φωτὸς πολλῇ ὑπεροχῇ ἀμαυρῶσαι τὰ ὑφ᾽ ἡμῶν εἰρημένα, εἴπομεν τὰ ὑποπεσόντα εἰς τοὺς τόπους ἡμῖν.

23. Εἰ καὶ ἐδόξαμεν δὲ βαθυτέρων ἢ κατὰ δύναμιν ἧφθαι εἰς τοὺς τόπους πραγμάτων, οὐδὲν ἧττον ἔτι διὰ τὴν λέξιν καὶ ταῦτα λεκτέον, ὅτι τινὲς τῶν νόμων ἐγράφησαν, οὐχ ὡς διαφέροντες, ἀλλ᾽ ὡς συμπεριφερόμενοι τῇ ἀσθενείᾳ τῶν νομοθετουμένων· τοιοῦτον γάρ τι δηλοῦται ἐν τῷ· „Μωσῆς[1]) πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρειψεν ὑμῖν[2]) ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν.“ Τὸ δὲ προηγούμενον καὶ διαφέρον νόμου τοῦ διὰ τὴν σκληροκαρδίαν γεγραμμένου δηλοῦται ἐν τῷ· „ἀπ᾽ ἀρχῆς[3]) δὲ οὐ γέγονεν οὕτως.“ Καὶ ἐν τῇ καινῇ δὲ διαθήκῃ ἐστί τινα νενομοθετημένα ἀνάλογον τῷ· „ὅτι[4]) Μωσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρειψεν ὑμῖν[5]) ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν·“ οἱονεὶ γὰρ πρὸς τὴν σκληροκαρδίαν ἡμῶν[6]) γέγραπται διὰ τὴν ἀσθένειαν τό· „διὰ[7]) δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω·“ καὶ τό· „τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλὴν ἀποδιδότω, ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί.“ Ἐπιφέρεται γοῦν αὐτοῖς· „τοῦτο[8]) δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ᾽ ἐπιταγήν. Ἀλλὰ καὶ

---

1) Matth. XIX, 8. coll. pag. 310. not 1.

2) Deest h. l., cfr. pag. huj. not. 5. coll. pag. 310. not. 1., *ὑμῖν* in edd. H. et R.

3) Matth. XIX, 8.

4) Ibid. XIX, 8. coll. pag. huj. not. 1.

5) Exstat h. l., cfr. pag. huj. not. 2., *ὑμῖν* in edd. H. et R.

6) H. et R. *ὑμῶν*. Cfr. pag. 321. not. 5.

7) I Cor. VII, 2. — 3. Ed. Lachm. *ὁμοίως (δὲ) καί κ. τ. λ.*

8) Ibid. VII, 6.

τό· „γυνὴ [1]) δέδεται ἐφ᾽ ὅσον χρόνον ζῇ [2]) ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ [3]) ἀνὴρ αὐτῆς, [4]) ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν κυρίῳ·" πρὸς τὴν σκληροκαρδίαν ἢ ἀσθένειαν ἡμῖν [5]) παρὰ Παύλῳ εἴρηται, τοῖς μὴ βουλομένοις ζηλοῦν [6]) τὰ χαρίσματα τὰ μείζονα, καὶ μακαριωτέρους [7]) γενέσθαι. Ἤδη δὲ παρὰ γεγραμμένα καί τινες τῶν ἡγουμένων τῆς ἐκκλησίας ἐπέτρεψάν τινα, ὥστε ζῶντος τοῦ ἀνδρὸς γαμεῖσθαι γυναῖκα, παρὰ τὸ γεγραμμένον μὲν ποιοῦντες, ἐν ᾧ λέλεκται· „γυνὴ [8]) δέδεται [9]) ἐφ᾽ ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς·" καὶ τό· „ἄρα [10]) οὖν μοιχαλὶς χρηματίσει ἡ γυνὴ γενομένη ἀνδρὶ ἑτέρῳ ζῶντος τοῦ ἀνδρός·" οὐ μὴν πάντη ἀλόγως, εἰκὸς γὰρ τὴν συμπεριφορὰν ταύτην συγκρίσει χειρόνων ἐπιτρέπεσθαι παρὰ τὰ ἀπ᾽ ἀρχῆς νενομοθετημένα καὶ γεγραμμένα.

24. Τάχα δὲ τῶν τολμώντων τις Ἰουδαϊκὸς ἀνὴρ ἐναντιοῦσθαι τῇ τοῦ Σωτῆρος ἡμῶν διδασκαλίᾳ φήσει,

---

[1]) I Cor. VII, 39. coll. pag. 310. not. 2.

[2]) H. et R. h. l., cfr. pag. huj. not. 9. coll. pag. 310. not. 2., χρόνον ὁ ἀνὴρ αὐτῆς ζῇ.

[3]) Deest ὁ in ed. Ruaei.

[4]) Cfr. de voc. αὐτῆς pag. huj. not. 2. 8. et 9. coll. pag. 310. not. 2.

[5]) Cfr. pag. 320. not. 6.

[6]) I Cor. XII, 31.

[7]) H. et R. μακαριωτέροις.

[8]) I Cor. VII, 39. coll. pag. huj. not. 1. 2. 4. et 9.

[9]) H. et R. in textu: γυνὴ δὲ ἐφ᾽ ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς, in notis tamen: „sic mendose habet Cod. Holmiensis. Lege: γυνὴ δέδεται ἐφ᾽ ὅσον χρόνον κ. τ. λ."

[10]) Rom. VII, 3. Edd. N. T. ἄρα οὖν ζῶντος τοῦ ἀνδρὸς μοιχαλὶς χρηματίσει, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ. Cfr. pag. 323. not. 2.

ὅτι καὶ ὁ Ἰησοῦς εἰπών· „ὃς[1]) ἂν ἀπολύσει[2]) τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι·“ ἐπέτρεψεν ἀπολῦσαι τὴν γυναῖκα, ὁμοίως Μωσεῖ, ὃν εἶπε πρὸς τὴν σκληροκαρδίαν τοῦ λαοῦ νενομοθετηκέναι, καὶ ταὐτόν γε φήσει εἶναι τῷ λόγῳ τῆς πορνείας, δι' ὃν εὐλόγως ἂν γυνὴ ἐκβληθείη ἀπὸ ἀνδρὸς, τό· „ὅτι εὗρεν[3]) ἐν αὐτῇ ἄσχημον πρᾶγμα.“ Ἀλλὰ λεκτέον πρὸς αὐτὸν, ὅτι εἴπερ ἡ κατὰ τὸν νόμον μοιχωμένη[4]) λιθοβοληθήσεται, δηλονότι οὐ κατὰ τοῦτο νοεῖται τὸ ἄσχημον πρᾶγμα. Οὐ γὰρ ἐπὶ μοιχείᾳ δεῖ γράφειν βιβλίον ἀποστασίου, καὶ διδόναι εἰς τὰς χεῖρας τῆς γυναικὸς, ἤ τινι τηλικαύτῃ ἀσχημοσύνῃ· ἀλλὰ γὰρ τάχα Μωσῆς πᾶν ἁμάρτημα, ἄσχημον εἶπε πρᾶγμα, ὅπερ ἐὰν εὑρεθῇ ὑπὸ τοῦ ἀνδρὸς ἐν γυναικὶ, μὴ εὑρισκούσῃ χάριν ἐνώπιον τοῦ ἀνδρὸς, γράφεται τὸ τοῦ ἀποστασίου βιβλίον, καὶ ἐξαποστέλλεται ἐκ τῆς οἰκίας τοῦ ἀνδρὸς ἡ γυνή· „ἀπ' ἀρχῆς[5]) δὲ οὐ γέγονεν οὕτως.“ Μετὰ ταῦτά φησιν ὁ Σωτὴρ ἡμῶν, μηδαμῶς ἐπιτρέπων ἐπ' ἄλλῳ ἁμαρτήματι διαλύειν γάμους, ἢ μόνῃ πορνείᾳ εὑρισκομένῃ ἐν τῇ γυναικὶ, τό· „ὃς[6]) ἂν ἀπολύσει[7]) τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι.“ Ζητηθείη δ' ἂν, εἰ διὰ τοῦτο κωλύει τὴν γυναῖκα ἀπολῦσαι, ἐὰν μὴ ἐπὶ πορνείᾳ μὲν

---

[1]) Matth. V, 32. Ed. Knapp. ἀπολύσῃ, et μοιχᾶσθαι pro μοιχευθῆναι, ed. Lachm. πᾶς ὁ ἀπολύων τ. γυναῖκα αὐτοῦ παρεκτὸς — αὐτὴν μοιχευθῆναι. — H. in notis: „hunc locum, qui exstat etc., confundit cum eo altero, Matth. XIX, 9., de quo agendum erat.“

[2]) H. et R. constanter ἀπολύσει.

[3]) Deuter. XXIV, 1.

[4]) H. ad marg., R. in not.: „Cod. Reg.: μοιχευομένη.“

[5]) Matth. XIX, 8.

[6]) Ibid. V, 32. coll. pag. huj. not. 1.

[7]) H. et R. h. quoque l., cfr. pag. huj. not. 2., et paulo post, cfr. pag. 323. not. 1., ἀπολύσει.

ἁλῷ, φέρε δ' εἰπεῖν, ἐπὶ φαρμακείᾳ, ἢ ἀναιρέσει, παρὰ τὴν ἀποδημίαν τοῦ ἀνδρὸς, τοῦ γενηθέντος αὐτοῖς παιδίου, ἢ ἐφ' οἱῳδήποτε φόνῳ. Εἰ δὲ καὶ ὑφαιρουμένη καὶ συλῶσα τὴν οἰκίαν εὑρεθείη τοῦ ἀνδρὸς, μὴ πορνεύουσα δὲ, ζητήσαι τις ἂν, εἰ εὐλόγως τὴν τοιαύτην ἀποβαλεῖ, ὡς τοῦ Σωτῆρος κωλύοντος παρεκτὸς λόγου πορνείας ἀπολῦσαί τινα τὴν ἑαυτοῦ γυναῖκα. Ἑκατέρως γὰρ ἐμφαίνεταί τι ἄτοπον, οὐκ οἶδα δὲ εἰ ἀληθῶς ἄτοπον· τηλικούτων γὰρ ἀνέχεσθαι ἁμαρτημάτων ἃ ἔοικεν εἶναι χείρονα μοιχείας καὶ πορνείας, ἄλογον εἶναι δόξει. Πάλιν τ' ἂν ποιῆσαι παρὰ τὸ βούλημα τῆς διδασκαλίας τοῦ Σωτῆρος, πᾶς ἂν ὁμολογήσαι ἀσεβὲς τυγχάνειν. Ἐφίστημι τοίνυν διὰ τί μὲν οὐκ εἶπε· μηδεὶς ἀπολυέτω τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας. Φησὶ δέ· „ὃς [1]) ἂν ἀπολύσει τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι.“ Ποιεῖ μὲν γὰρ ὁμολογουμένως τὸ ὅσον ἐφ ἑαυτῷ μοιχευθῆναι τὴν γυναῖκα, ὁ ἀπολύων αὐτὴν οὐ πορνεύσασαν· εἰ γὰρ „ζῶντος [2]) τοῦ ἀνδρὸς μοιχαλὶς χρηματίσει, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ,“ ἀπολύσας δὲ αὐτὴν πρόφασιν αὐτῇ δίδωσι δευτέρου γάμου, δηλονότι παρὰ τοῦτο ποιεῖ αὐτὴν μοιχευθῆναι. Τὴν δὲ ἁλοῦσαν φαρμακίδα, ἢ φόνον δράσασαν, ἀπολογίαν ἔχειν [3]) ἢ μὴ, καὶ σὺ ζητήσαις ἄν· δύναται γὰρ καὶ παρ' ἄλλας αἰτίας, παρὰ τὴν ἀπόλυσιν, ποιεῖν ὁ ἀνὴρ μοιχευθῆναι τὴν ἑαυτοῦ γυναῖκα, οἷον πέρα τοῦ δέοντος ἐπιτρέπων αὐτῇ πράττειν ἃ βούλεται, καὶ εἰς φιλίαν συγκαταβαίνειν ἀνδράσιν οἷς βούλεται· πολλάκις γὰρ ἐξ ἁπλότητος τῶν ἀνδρῶν τοιαῦτα πταίσματα συμβαίνει [4]) γυναιξίν· ἀλλ' εἰ ἔστιν

---

[1]) Matth. V, 32. coll. pag. 322. not. 6. et 7.

[2]) Rom. VII, 3. coll. pag. 321. not. 10.

[3]) H. ad marg., R. in notis: „forte scribend. ἔχει.“

[4]) H. et R. in textu: συμβαίνειν, H. tamen ad oram: „scrib.,“ R. in notis: „„forte scribendum: συμβαίνει.““

ἀπολογίας τόπος, ἢ μὴ, τοῖς τοιούτοις ἀνδράσιν ἐπὶ τοῖς τοιούτοις συμπτώμασιν, ἐπιμελῶς ζητήσας ἀποφανεῖς καὶ εἰς τὰ ἐπηπορημένα ἡμῖν κατὰ τὸν τόπον. Καὶ ἀποστερῶν δὲ ἀπὸ τῆς γυναικὸς ἑαυτὸν, ποιεῖ αὐτὴν πολλάκις μοιχευθῆναι, μὴ ἐκπληρῶν αὐτῆς τὰς ὀρέξεις, κἂν φαντασίᾳ πλείονος σεμνότητος καὶ σωφροσύνης τὸ τοιοῦτο ποιῇ. Καὶ τάχα μᾶλλον οὗτος ἐπίληπτος ὁ τὸ ὅσον ἐφ' ἑαυτῷ ποιῶν αὐτὴν μοιχευθῆναι, μὴ ἐκπληρῶν αὐτῆς τὰς ὀρέξεις, ἢ ὁ ἀπολύσας αὐτὴν παρεκτὸς λόγου μὲν πορνείας, ἐπὶ φαρμακείᾳ δὲ, ἢ φόνῳ, ἤ τινι τῶν βαρυτάτων ἁμαρτημάτων. Ὥσπερ δὲ μοιχαλίς ἐστι γυνὴ, κἂν δοκῇ γαμεῖσθαι ἀνδρὶ, ἔτι ζῶντος τοῦ προτέρου· οὕτως καὶ ἀνὴρ δοκῶν γαμεῖν ἀπολελυμένην, οὐ γαμεῖ, κατὰ τὴν τοῦ Σωτῆρος ἡμῶν ἀπόφασιν, ὅσον μοιχεύει.

25. *Μετὰ δὲ ταῦτα κατανοήσαντες οἱ τοῦ Χριστοῦ μαθηταὶ ὅσα δύναται γενέσθαι συμπτώματα ἐν γάμοις, ὧν ἀνέχεσθαι δεῖ τὸν ἄνδρα, καὶ κατὰ τοῦτο ἀπαλλάσσειν σκληρότατα, ἢ μὴ ἀνεχόμενον παρανομεῖν εἰς τοὺς Χριστοῦ λόγους, φασὶν αὐτῷ, ἐπὶ εὐχερέστερον*[1]) *τὴν ἀγαμίαν καταφεύγοντες, καὶ μᾶλλον συμφέρον ἢ ὡς δοκεῖ συμφέρειν γάμος· „εἰ οὕτως*[2]) *ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικὸς, οὐ συμφέρει γαμῆσαι.“ Πρὸς τοῦτο δὲ εἶπεν αὐτοῖς ὁ Σωτὴρ, διδάσκων ἡμᾶς, δῶρον εἶναι τὸ διδόμενον ἀπὸ θεοῦ τὴν παντελῆ καθάρευσιν,*[3]) *καὶ οὐ μόνον ἀσκήσει παραγινόμενον, ἀλλὰ μετ' εὐχῶν ὑπὸ θεοῦ διδόμενον, τό· „οὐ πάντες*[4]) *χωροῦσι τὸν λόγον, ἀλλ' οἷς δέδοται.“ Εἶτ' ἐπεί τινες συκοφαντοῦσι τό· „οἷς δέδοται“ ὡς ἐχόντων ἀπολο-*

---

[1]) H. ad marg., R. in not.: „Cod. Reg.: *εὐτυχέστερον.*“

[2]) Matth. XIX, 10.

[3]) H. ad marg., R. in textu: „Cod. Reg.: *κάθαρσιν.*“

[4]) Matth. XIX, 11. Ed. Knapp. *τὸν λόγον τοῦτον*, ed. Lachm. *τὸν λόγον* (*τοῦτον*).

γίαν τῶν βουληθέντων μὲν καθαρεῦσαι ἐν ἀγαμίᾳ, νικηθέντων δὲ ὑπὸ τῶν ὀρέξεων, λεκτέον, ὅτι εἴπερ πιστεύομεν τοῖς γεγραμμένοις, τί δήποτε ἐπιλαμβανόμεθα μὲν τοῦ· „ἀλλ' οἷς[1]) δέδοται·“ οὐκέτι δὲ προσέχομεν τῷ· „αἰτεῖτε,[2]) καὶ δοθήσεται ὑμῖν·“ καὶ τῷ ἐπιφερομένῳ αὐτῷ· „πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει.“ Εἰ γὰρ χωροῦσι[3]) τὸν περὶ τοῦ παντελῶς καθαρεύειν λόγον οἷς δέδοται, ὁ βουλόμενος αἰτείτω, πειθόμενος καὶ πιστεύων τῷ λέγοντι· „αἰτεῖτε,[4]) καὶ δοθήσεται ὑμῖν·“ καὶ μὴ ἀμφιβάλλων περὶ τοῦ· „πᾶς ὁ αἰτῶν λαμβάνει.“ Ἔνθα δὲ γενόμενος ζητήσεις, τίς ὁ αἰτῶν· οὐδεὶς γὰρ τῶν μὴ λαμβανόντων, εἰ καὶ ἔδοξεν ᾐτηκέναι, ᾔτησεν, ἐπεὶ οὐ θεμιτὸν φάσκειν, ψεῦδος εἶναι τό· „πᾶς[5]) ὁ αἰτῶν λαμβάνει.“ Τίς οὖν ὁ αἰτῶν, ἢ ὁ πεισθεὶς τῷ Ἰησοῦ λέγοντι· „ἐὰν[6]) στήκητε προσευχόμενοι, πιστεύετε ὅτι λαμβάνετε, καὶ λήψεσθε;“ Χρὴ δὲ τὸν αἰτοῦντα ποιεῖν πάντα τὰ παρ' αὐτὸν, ἵνα προσεύχηται πνεύματι, προσεύχηται δὲ καὶ τῷ νοΐ, καὶ ἀδιαλείπτως προσεύχεσθαι, μεμνημένον καὶ τοῦ· „ἔλεγε[7]) δὲ παραβολὴν αὐτοῖς, πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι αὐτοὺς, καὶ μὴ ἐκκακεῖν, λέγων· κριτής τις ἦν ἔν τινι πόλει,“ καὶ τὰ ἑξῆς. Χρήσιμον δὲ εἰς τὸ γινώσκειν, τί τὸ αἰτεῖν καὶ τὸ λαβεῖν ἐστι, καὶ τί τό· „πᾶς[8]) ὁ αἰτῶν λαμβάνει·“ καὶ τό· „λέγω[9]) ὑμῖν, εἰ καὶ οὐ δώσει αὐτῷ ἀναστὰς, διὰ

---

1) Matth. XIX, 11.
2) Ibid. VII, 7. — 8.
3) Ibid. XIX, 11.
4) Ibid. VII, 7. — 8.
5) Ibid. VII, 8.
6) Marc. XI, 24. 25. coll. edd. N. T. et Matth. XXI, 22.
7) Luc. XVIII, 1. 2. Ed. Knapp. vers. 1. ἔλεγε δὲ καὶ παραβολὴν αὐτοῖς κτλ., omisso αὐτούς post verb. προσεύχεσθαι, ed. Lachm. ἐγκακεῖν habet pro ἐκκακεῖν.
8) Matth. VII, 8.
9) Luc. XI, 8. Edd. N. T. διὰ τὸ εἶναι αὐτοῦ φίλον et δώσει αὐτῷ ὅσων χρῄζει.

τὸ εἶναι φίλον αὐτοῦ, διά γε τὴν ἀναίδειαν αὐτοῦ ἐγερθεὶς δώσει ὅσων[1]) *χρῄζει·*" *ἐπιφέρεται*[2]) *γοῦν· „κἀγὼ*[3]) *ὑμῖν λέγω· αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν,*" *καὶ τὰ ἑξῆς. Ἔτι προτρεπτικὸν διὰ τό· „οὐ πάντες*[4]) *χωροῦσι τὸν λόγον, ἀλλ' οἷς δέδοται·*" *εἰς τὸ αἰτεῖν ἀξίως τοῦ λαβεῖν, καὶ τό· „τίς*[5]) *δὲ ἐξ ὑμῶν τὸν πατέρα υἱὸς αἰτήσει ἰχθὺν,*[6]) *μὴ ἀντὶ ἰχθύος ὄφιν ἐπιδώσει αὐτῷ;*" *καὶ τὰ ἑξῆς. Δώσει οὖν τὸ ἀγαθὸν δόμα, τὴν παντελῆ καθάρευσιν ἐν ἀγαμίᾳ καὶ ἁγνείᾳ, ὁ θεὸς τοῖς ἐξ ὅλης ψυχῆς, καὶ μετὰ πίστεως, καὶ ἀδιαλείπτως ἐν προσευχαῖς αἰτοῦσιν αὐτόν.*

---

[1]) H. in textu: *ὅσων χρῄζει*, in notis: „Cod. Holmiensis: *ὅσον χρῄζει;*" R. in textu: *ὅσον χρῄζει*, in notis: „„„Cod. Anglicanus: *ὅσον χρῄζει.*""

[2]) Ed. Coloniensis in textu minus recte: *ἀποφέρεται γοῦν*, pro *ἐπιφέρεται γοῦν*, (ut recte habet ea, quae Rothomagi prodiit a. 1668., ed. Huetii), ad oram: „Cod. Regius: *ἐπιφέρει.*" R. in textu: *ἐπιφέρεται γοῦν*, ad marginem: „„Cod. Regius: *ἐπιφέρει γοῦν.*""

[3]) Luc. XI, 9.

[4]) Matth. XIX, 11. coll. pag. 324. not. 4.

[5]) Luc. XI, 11. coll. edd. N. T.

[6]) Ed. Rothomag., item edd. Ruaei et Knapp. *ἰχθῦν*, ed. Coloniensis, itemq. ed. Lachm. *ἰχθύν*.

ΩΡΙΓΕΝΟΥΣ

ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ

ΜΑΤΘΑΙΟΝ

ΕΞΗΓΗΤΙΚΩΝ

Τόμος ιε΄.

Περὶ διαφορᾶς εὐνούχων.

1. „Εἰσὶ[1]) γὰρ εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτως·“ ἕως τοῦ· „ὁ δυνάμενος χωρεῖν, χωρείτω.“ Δύο ἐσομένας περὶ τὸν τόπον τοῦτον παρεκδοχὰς, πρὸ τῆς φαινομένης ἡμῖν ἀληθοῦς εἰς τὸν τόπον διηγήσεως ἐκθέμενοι, καὶ μετὰ τοῦτο ὡς δυνατὸν ἡμῖν ἀνατρέψαντες αὐτὰς, ἵν᾽ ὅσον ἐπὶ τοῖς λεχθησομένοις πᾶν σφάλμα φυλαξάμενοι, τὸ ἀληθὲς βούλημα τῶν κατὰ τόπον ἐὰν χωρῶμεν, τὸ κρεῖττον βιώσωμεν, οὕτως ἥκωμεν ἐπὶ τὸ προκείμενον. Τινὲς μὲν γὰρ, ὡς ἀκόλουθον τῇ ἐνεργείᾳ τῶν κατὰ τὸ σωματικὸν ὁρωμένων δύο εὐνουχισμῶν, καὶ τὸν τρίτον σωματικὸν νομίσαντες, ἐτόλμησαν ἑαυτοὺς παρασχεῖν, ἀπὸ φόβου μὲν τοῦ πρὸς θεὸν, ἀνεπιστημόνως δὲ, εὐνουχισμῷ ὁμογενεῖ τοῖς δύο προτέροις· καὶ ἑαυτοὺς ὑποβεβλήκασιν ὀνειδισμῷ, τάχα δὲ καὶ αἰσχύνῃ, οὐ παρὰ μόνοις τοῖς ἀλλοτρίοις τῆς πίστεως, ἀλλὰ καὶ παρὰ τοῖς πᾶσι μᾶλλον

[1]) Matth. XIX, 12.

τοῖς ἀνθρωπίνοις πράγμασι συγγινώσκουσι, ἢ[1]) τῷ[2]) φαντασίᾳ φόβῳ θεοῦ, καὶ σωφροσύνης ἀμέτρῳ ἔρωτι, γεννήσαντι πόνους καὶ σώματος ἀκρωτηριασμὸν, καὶ εἴ τι ἕτερον πάθοι ἂν ὁ τηλικούτῳ ἑαυτὸν παρασχὼν πράγματι. Ἕτεροι δὲ καὶ οὐ πολλοὶ οὕτω νενοήκασι, μὴ βασανίσαντες τρόπον ἀκολουθίας λόγων· τοὺς μὲν προτέρους δύο αὐτόθεν[3]) καὶ σωματικῶς ἐξειλήφασιν εἰρῆσθαι τῷ Σωτῆρι, ὡς οὐδὲν πλέον τῶν αἰσθητῶν ἐμφαίνοντι· τὸν δὲ τρίτον οὐκέτι κατὰ τὴν λέξιν λελέχθαι νενομίκασιν, ἀλλ' εὐνουχισμὸν ἡγήσαντο τὸν ἀπὸ λόγου ἐν τῷ τρίτῳ σημαίνεσθαι, ὅτε προθέσει τῆς τῶν οὐρανῶν βασιλείας, τῷ τμητικωτάτῳ[4]) λόγῳ ἐκτεμόντες τὸ τῶν τοιούτων ἐπιθυμητικὸν, καταπεφρονήκασι τῶν ὕβρεων τοῦ σώματος, μὴ δυναμένων ἔτι νικῆσαι ψυχὴν τῷ λόγῳ ἐκτετμηκυῖαν τὴν ἐπιθυμίαν. Χρὴ δὲ εἰδέναι, ὅτι οἱ μὲν πρότεροι τοῦ εὐαγγελικοῦ γενόμενοι φίλοι γράμματος, καὶ μὴ ἐπιστήσαντες, ὅτι καὶ ταῦτα ἐν παραβολαῖς ἐλάλησεν ὁ Ἰησοῦς, καὶ πνεύματι εἴρηται, ἀκολουθότερον μὲν νενοήκασι τὰ κατὰ τὸν τόπον τοῖς ὁμολογοῦσι, τοὺς προτέρους δύο εὐνουχισμοὺς σωματικῶς λελέχθαι· ἐξωμάλισαν γὰρ ἀκολούθως τοῖς προτέροις δύο τὸν τρίτον, οὐ πταίοντες μὲν ὡς πρὸς τὸ ἀκόλουθον τοῖς τρισὶν, ἀναγκαίως δὲ πταίσαντες τῷ τὴν ἀρχὴν τῶν κατὰ τὸν τόπον παρεωρακέναι. Τῷ γὰρ σω-

---

[1]) H. et R. in textu: παρὸ ἢ τῷ κ. τ. λ., in notis: „Cod. Regius vocem παρό non agnoscit." Neque ego agnosco, quippe qui, verba: παρὸ ἢ voci μᾶλλον adjuncta legi, nullo probare possim exemplo.

[2]) H. in notis: „leg. fortasse τῷ ἐν φαντασίᾳ φόβῳ Θεοῦ." Quibus R. haec addit: „ „alius autem legebat: ἢ τῷ φαντασίᾳ φόβου Θεοῦ." "

[3]) Cod. Regius (item H. ad marg.): αὐτόθεν, Cod. Anglicanus (itemq. H. in textu): αὐτό. R.

[4]) Hebr. IV, 12.

ματικῶς λελέχθαι τοὺς δύο ἕπεται [1]) καὶ τὸ τρίτον εἶναι σωματικόν. Οἱ δὲ δεύτεροι τῷ μὲν τρίτῳ ὑγιῶς ἐπιβεβλήκασι, τὴν ἀπὸ λόγου νομίσαντες δηλοῦσθαι ἐκτομὴν τοῦ παθητικοῦ ἀπὸ τῆς ψυχῆς· οὐκέτι δὲ τεθεωρήκασιν, ὅτι ἁρμόζον ἦν τῇ τοιαύτῃ ἐκδοχῇ, καὶ τοὺς προτέρους δύο εὐνουχισμοὺς ὁμοίως τῷ τρίτῳ ἀλληγορῆσαι, ἢ ἐξομαλίσαι παραπλησίως τοῖς προτέροις δυσὶ καὶ τὸ τρίτον. Εἴπερ οὖν ἐπ' ἄλλων τινῶν, οὐ μόνον τῆς διαθήκης τῆς παλαιᾶς ῥητῶν, ἀλλὰ καὶ τῆς καινῆς ἁρμόζει λέγειν· „τὸ [2]) γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζῳοποιεῖ·“ τοῦτο δὲ καὶ ἐπὶ τῶν [3]) κατὰ τὸν προκείμενον τόπον [4]) ὁμολογητέον· τηρηθὲν γὰρ τὸ γράμμα τῶν δύο εὐνουχισμῶν εἴποι τις ἄν, ὅτι ἀπέκτεινε τοὺς ἀκολούθως τοῖς προτέροις τὸν τρίτον νοήσαντας, καὶ τολμήσαντας εἰπεῖν, ὡς κατὰ τὸν λόγον τοῦ κυρίου χωροῦντας αὐτὸ ποιεῖν, ἐπὶ τῷ· „διὰ [5]) τὴν βασιλείαν τῶν οὐρανῶν·“ ὁμοίως τοῖς προτέροις, εὐνουχισθεῖσιν, εὐνουχίσθαι ἑαυτούς.

2. *Εἰ δὲ βούλεταί τις καὶ ἄλλα παραδείγματα λαβεῖν τῆς καινῆς διαθήκης, ἐχούσης γράμμα ἀποκτεῖνον, ἀκουέτω παραδείγματος χάριν, τίνα τρόπον ὁ Σωτὴρ πρὸς τοὺς ἀποστόλους εἶπεν· „ὅτε [6]) ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ πήρας καὶ ὑποδημάτων, μή τινος ὑστερήσατε;“ οἷς ἐπιφέρεται τό· „οἱ δὲ εἶπον· οὐδενός.“ Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· „ἀλλὰ [7]) νῦν, ὁ ἔχων βα-*

---

[1]) H. et R. *ἕπεται.*

[2]) II Cor. III, 6.

[3]) Aegre desideratur *τῶν* in ed. R.

[4]) H. et R. in textu *τρόπον*, H. tamen in notis: „ita Codd. Holm. et Regius. Legendum fortasse *τόπον.*“ Idem ad oram: „scrib. *τόπον.*“ R. in notis: „„legend. fort. *τόπον.*““

[5]) Matth. XIX, 12.

[6]) Luc. XXII, 35. Ed. Lachm. *βαλλαντίου.*

[7]) Luc. XXII, 36. Ed. Lachm. *βαλλάντ.* et *ἱμάτ. αὐτοῦ.*

λάντιον, ἀράτω, ὁμοίως καὶ πήραν· καὶ ὁ μὴ ἔχων, πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν.“ Εἴ τις γὰρ, διὰ τὸ ταῦτα εἰρηκέναι τὸν Ἰησοῦν, μὴ ἐνιδὼν τῷ[1]) βουλήματι τῶν λελεγμένων πωλήσει τὸ αἰσθητὸν ἑαυτοῦ ἱμάτιον, καὶ ἀγοράσει μάχαιραν ἀνδροφόνον, ὡς λαβὼν μάχαιραν τοιαύτην, καὶ παρὰ τὸ βούλημα τοῦ Ἰησοῦ ποιήσας, παρεκδεξάμενος αὐτοῦ τὸν λόγον ἀπολεῖται μέν· τάχα δὲ καὶ ἐν μαχαίρᾳ ἀπολεῖται· ποδαπὴ δὲ ἡ μάχαιρα, οὐ τοῦ παρόντος ἐστὶ καιροῦ διηγήσασθαι. Ἀλλὰ καὶ τό· „μηδένα[2]) κατὰ τὴν ὁδὸν ἀσπάζησθε“ εἴ τις μὴ ἐξετάσας, τί βουλόμενος ὁ Ἰησοῦς τοῦτο προσέταξεν, ὡς ζηλῶν ἀποστολικὸν βίον μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσοιτο, ἀπάνθρωπος ἂν εἶναι δόξαι τοῖς θεωροῦσιν αὐτὸν τοιοῦτον· οἵτινες τὴν αἰτίαν τοῦ οὕτως νοήσαντος ἐὰν ἀναφέρωσιν ἐπὶ τὸν λόγον, δι' ὃν ἐκεῖνος ἔδοξε τοῦτο πράττειν, ἐναχθεῖεν ἂν πρὸς τὸ μισεῖν τὸν λόγον τοῦ θεοῦ, ὡς ἀγρίους καὶ ἀπανθρώπους κατασκευάζοντα τοὺς ἐν αὐτῷ. Καὶ τούτου τὴν αἰτίαν λαβὼν ὁ μηδένα κατὰ τὴν ὁδὸν ἀσπαζόμενος, πάθοι ἂν προφάσει τοῦ γράμματος θάνατον, τοῦ γράμματος αὐτὸν ἀποκτείνοντος. Εἰ δὲ καὶ τὸν δεξιὸν ὀφθαλμόν τις ἐκκόπτοι, ὡς αἴτιον τοῦ κακῶς βλέπειν, ἢ τὴν δεξιὰν τοῦ σώματος χεῖρα, ἢ τὸν δεξιὸν κατὰ σάρκα πόδα, πάθοι ἂν μετὰ τῶν ἀποκτιννυμένων διὰ τὸ γράμμα, ὡς καὶ αὐτὸς μείνας ἐπὶ τοῦ γράμματος, δέον ἀναβαίνειν αὐτὸν ἐπὶ τὸ πνεῦμα τοῦ λεγομένου. Ἄλλοι μὲν οὖν τῶν πρὸ ἡμῶν οὐκ ὤκνησαν ἰδίοις συγγράμμασιν ἀφορμὰς παρασχεῖν τοῦ τὸν τρίτον εὐνουχισμὸν τολμῆσαί τινας παθεῖν, προφάσει βασιλείας οὐρανῶν, παραπλήσιον ὄντα τοῖς προτέροις δυσίν.[3])

---

[1]) Desideratur τῷ in ed. Ruaei.

[2]) Luc. X, 4. Edd. N. T. ἀσπάσησθε.

[3]) R. in notis: „post δυσίν Cod. Holmiensis habebat“ (itemq. ed. Huet. in textu, uncis tamen inclusa) „haec

3. Ἡμεῖς δὲ Χριστὸν Θεοῦ, τὸν Λόγον τοῦ Θεοῦ, κατὰ σάρκα καὶ κατὰ τὸ γράμμα ποτὲ νοήσαντες, νῦν οὐκέτι γινώσκοντες, οὐκ εὐδοκοῦμεν ὡς καλῶς ἐξειληφόσι τοῖς καὶ τὸν τρίτον εὐνουχισμὸν ἑαυτοῖς προφάσει τῆς βασιλείας τῶν οὐρανῶν ἐπάγουσι· καὶ οὐκ ἂν ἐπὶ πλεῖον προσδιετρίψαμεν τῇ ἀνατροπῇ τοῦ τὸν τρίτον παραπλησίως τοῖς προτέροις δυσὶ σωματικῶς ἐκλαβεῖν θέλοντος, εἰ μὴ καὶ ἑωράκειμεν τοὺς τολμήσαντας, καὶ ἐντετεύχοιμεν τοῖς δυναμένοις θερμοτέραν κινῆσαι ψυχὴν, καὶ πιστὴν μὲν, οὐ λογικὴν δὲ, πρὸς τὸ τοιοῦτον τόλμημα. Φησὶ δὲ Σέξτος ἐν ταῖς γνώμαις, βιβλίῳ φερομένῳ παρὰ πολλοῖς ὡς δοκίμῳ· „πᾶν μέρος τοῦ σώματος τὸ ἀναπεῖθόν σε μὴ σωφρονεῖν, ῥίψον· ἄμεινον γὰρ χωρὶς τοῦ μέρους ζῆν σωφρόνως, ἢ μετὰ τοῦ μέρους ὀλεθρίως.“ Καὶ πάλιν προβὰς ἐν τῷ αὐτῷ βιβλίῳ ἀφορμὴν διδοὺς ἐπὶ τὸ παραπλήσιον, λέγει· „ἀνθρώπους ἴδοις ἂν ὑπὲρ τοῦ τὸ λοιπὸν τοῦ σώματος ἔχειν ἐῤῥωμένον ἀποκόπτοντας αὐτῶν καὶ ῥίπτοντας μέρη· πόσῳ βέλτιον ὑπὲρ τοῦ σωφρονεῖν;“ Καὶ Φίλων δὲ ἐν πολλοῖς τῶν εἰς τὸν Μωσέως νόμον συντάξεων αὐτοῦ εὐδοκιμῶν καὶ παρὰ συνετοῖς ἀνδράσι, φησὶν ἐν βιβλίῳ ᾧ οὕτως[1]) ἐπέγραψεν· „ἐπὶ τοῦ τὸ χεῖρον τῷ κρείττονι φιλεῖν ἐπιτίθεσθαι·“ ὅτι „ἐξευνουχισθῆναι

οἶμαι αἰνίττεσθαι αὐτὸν τὸ περὶ αὐτοῦ ἱστορούμενον, ὡς ἄρα διὰ τὸν λόγον τῆς εὐσεβείας ἢ τὸν τῆς σωφροσύνης ἔρωτα εὐνουχισμῷ σωματικῷ ἑαυτὸν ἐπιδέδωκεν. Sed recte monet Huetius; etc.“ — H. in notis: „„nulli non liquere puto, id esse additamentum, quod in contextum ex ora irrepsit; eo Cod. Regius deformatus non erat. Una itaque serie legendum est: τοῖς προτέροις δυσίν. Ἡμεῖς δέ κ. τ. λ. Pro ἔρωτα legebatur: ἔρωγον. Supra pag. 328. lin. 2.: καὶ σωφροσύνης ἀμέτρῳ ἔρωτι.“ “

[1]) Cod. Anglicanus (item ed. Huet. ad oram): οὕτως, ed. Huet. (in textu) οὗτος. R.

μὲν ἄμεινον, ἢ πρὸς συνουσίας ἐννόμους λυττᾷν.“ Ἀλλ᾽ οὐ πιστευτέον αὐτοῖς, μὴ τὸ βούλημα τῶν ἱερῶν γραμμάτων περὶ τούτων ἐξειληφόσιν· εἰ γὰρ ἐν τοῖς καρποῖς τοῦ πνεύματος κατείλεκται μετὰ ἀγάπης καὶ χαρᾶς καὶ μακροθυμίας, καὶ[1]) *τῶν λοιπῶν, καὶ ἡ ἐγκράτεια, καρποφορητέον μᾶλλον τὴν ἐγκράτειαν, καὶ τὸ δεδομένον ἀπὸ θεοῦ σῶμα ἄῤῥεν τηρητέον, ἤπερ ἄλλο τι τολμητέον, ἵνα καὶ παραβαίνῃ τις τὸ καὶ ὡς πρὸς τὸ ῥητὸν χρησίμως λέγον·*[2]) *„οὐ φθερεῖς*[3]) *τὴν ὄψιν τοῦ πώγωνός σου.“ Χρήσιμον εἰς ἀποτροπὴν θερμῶν μὲν τῇ πίστει νεωτέρων, οἷς ὁμολογεῖν χρὴ, ὅτι ἔρωτα σωφροσύνης ἔχουσιν, ἀλλ᾽ „οὐ*[4]) *κατ᾽ ἐπίγνωσιν,“ καὶ τό· „ἐὰν δὲ μάχωνται ἄνθρωποι ἐπὶ τὸ αὐτὸ, ἄνθρωπος μετὰ τοῦ ἀδελφοῦ ἑαυτοῦ,“ καὶ τὰ ἑξῆς, ἕως τοῦ· „οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ᾽ αὐτῇ.“ Εἰ γὰρ ἀποκόπτεται χεὶρ ἐπιλαβομένη διδύμων ἀνδρὸς, πῶς οὐχὶ καὶ ὁ ἑαυτὸν δι᾽ ἄγνοιαν ὁδοῦ, φερούσης ἐπὶ σωφροσύνην, τοιαύτῃ περιστάσει ἐπιδεδωκώς; Ἐπιλογισάσθω οὖν ὁ μέλλων τὸ τοιοῦτον τολμᾷν, ἃ πείσεται ὑπὸ τῶν ὀνειδιζόντων, καὶ συγχρωμένων τῷ· „οὐκ*[5]) *εἰσελεύσεται θλαδίας, καὶ ἀποκεκομμένος εἰς ἐκκλησίαν κυρίου·“ συναριθμούντων αὐτὸν τοῖς ἀποκεκομμένοις τὸν ἄνδρα. Οὔπω*[6]) *λέγω καὶ ἃ πάθοι ἄν τις παρὰ καιρὸν ἐμποδισθέντων τῶν, ὡς ἰατρῶν παῖδές φασιν, ἀπὸ κεφαλῆς καταβαινόντων ἐπὶ τοὺς ἄῤῥενας τόπους σπερμάτων,*

---

[1]) Desideratur *καί* in ed. Huetii.

[2]) Cod. Anglicanus (itemq. ed. H. ad marg.) *λέγον*, ed. Huet. (in textu) *λέγων*. R.

[3]) Levit. XIX, 27. LXX. viri: *οὐδὲ φθερεῖτε τ. ὄψιν τ. πώγωνος ὑμῶν.*

[4]) Rom. X, 2. — Deut. XXV, 11. 12. LXX. viri vers. 11. *ἀδελφοῦ αὐτοῦ.*

[5]) Deut. XXIII, 1. LXX. interpretes *οὐδέ* pro *καί.*

[6]) Ed. Coloniensis male: *οὔτω.*

καὶ ἐν τῷ καταβαίνειν διά τινων περὶ τὰς παρειὰς φλεβῶν, τῇ φυσικῇ τῶν καταβαινόντων θερμότητι τρίχας ποιούντων φύειν τοὺς ἄνδρας περὶ τὰ γένεια· ὧν τριχῶν στέρονται καὶ οἱ νομίζοντες ἑαυτοὺς δεῖν σωματικῶς εὐνουχίζειν διὰ [1]) τὴν τῶν οὐρανῶν βασιλείαν. Τίνα δ' ἂν πάθοιεν, ἢ καρηβαρίας καὶ σκοτώσεις, ἔσθ' ὅτε φθανούσας καὶ ἐπὶ τὸ ἡγεμονικὸν, καὶ ταραττούσας τὸ φανταστικὸν, ἀλλόκοτα φαντασιούμενον ἀπὸ τῆς τοιᾶσδε ὕλης; Πρὶν δὲ ἔλθω ἐπὶ τὴν διήγησιν τῶν κατὰ τὸν τόπον, λεκτέον ὅτι, εἴπερ τι ἀκόλουθον ἑαυτῷ ὁ Μαρκίων πεποίηκε, φάσκων μὴ δεῖν ἀλληγορεῖν τὴν γραφὴν, καὶ τοὺς τόπους τούτους ἠθέτησεν [2]) ὡς οὐχ ὑπὸ τοῦ Σωτῆρος εἰρημένους, νομίσας δεῖν ἤτοι παραδέξασθαι, μετὰ τοῦ φάσκειν τὸν Σωτῆρα ταῦτα εἰρηκέναι, τὸ καὶ ἐπὶ τὰ τοιαῦτα τολμᾷν ἑαυτὸν παραδιδόναι πεισόμενον τὸν πεπιστευκότα, ἢ μὴ ἂν εὐλόγως τολμήσαντα τὰ τηλικαῦτα, ἐσόμενα εἰς δυσφημίαν τὴν κατὰ τοῦ λόγου, μηδὲ πιστεύειν, εἶναι τοῦ Σωτῆρος τοὺς λόγους, εἴγε μὴ ἀλληγοροῦνται.

4.) Ἡμεῖς δὲ οἱ βουλόμενοι τὴν ἀκολουθίαν σώζειν τῶν τριῶν εὐνουχισμῶν, καὶ εὐδοκοῦντες τῇ τροπολογίᾳ τοῦ τρίτου, τοιαῦτα φήσομεν καὶ περὶ τῶν προτέρων δύο. Εὐνοῦχοι τροπικῶς νῦν, οἱ ἀργοὶ πρὸς ἀφροδίσια λέγοιντ' ἂν, καὶ μὴ ἐπιδιδόντες ἑαυτοὺς ταῖς κατὰ ταῦτα ἀσελγείαις, καὶ ἀκαθαρσίαις, ἢ τὰ παραπλήσια αὐτοῖς. Εἰσὶ δὲ τῶν πρὸς ταῦτα ἀργούντων διαφοραὶ, οἶμαι, τρεῖς. Οἱ μὲν γὰρ ἐκ κατασκευῆς εἰσι τοιοῦτοι, περὶ ὧν λέγοιτ' ἂν τό· „εἰσὶν [3]) εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτως·“ οἱ δὲ ἐκ λόγων μὲν ἀσκοῦσι προτραπέντες τὴν τῶν ἀφροδισίων

---

[1]) Matth. XIX, 12.

[2]) H. et R. in textu: ἠθέλησεν, H. tamen ad marg., R. in notis: „lege ἠθέτησεν.“

[3]) Matth. XIX, 12.

ἀποχὴν, καὶ πάσης τῆς περὶ τὸν τόπον ἀκολασίας· οὐ μὴν τὸ γεννῆσαν αὐτοῖς τὴν τοιαύτην πρόθεσιν, καὶ ἄσκησιν, καὶ τὴν, ἵν᾽ οὕτως ὀνομάσω, κατόρθωσιν λόγος γέγονε θεοῦ, ἀλλὰ ἀνθρώπινοι λόγοι, εἴτε τῶν φιλοσοφησάντων παρ᾽ Ἕλλησιν, εἴτε τῶν „κωλυόντων[1]) γαμεῖν, ἀπέχεσθαι βρωμάτων" ἐν ταῖς αἱρέσεσιν. Οὗτοι δή μοι δοκοῦσι δηλοῦσθαι ἐν τῷ· „εἰσὶν[2]) εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων." Τὸ δ᾽ ἀποχῆς ἄξιον, εἰ τὸν λόγον τις ἀναλαβὼν τὸν ζῶντα,[3]) καὶ ἐνεργῆ, καὶ τομώτερον ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ τὴν, ὡς ὠνόμασεν ὁ Ἀπόστολος, μάχαιραν τοῦ πνεύματος, ἐκτέμνοι τὸ τῆς ψυχῆς παθητικὸν, μὴ ἁπτόμενος τοῦ σώματος, καὶ τοῦτο ποιοῖ καὶ νοήσας βασιλείαν οὐρανῶν, καὶ μέγιστον συμβαλλόμενον πρὸς τὸ κληρονομῆσαι βασιλείαν οὐρανῶν τὸ ἐκτεμεῖν λόγῳ τὸ[4]) παθητικὸν τῆς ψυχῆς αὐτοῦ. Τοῖς δὲ τοιούτοις ἁρμόζοι ἂν, καὶ οὐχ ὡς οἴονται οἱ σωματικῶς τὰ κατὰ τὸν τόπον ἐξειληφότες, τό· „εἰσὶν[5]) εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν."

5. Μεγάλη δὲ δύναμις τὸ χωρῆσαι τὸν ἀπὸ λόγου τῆς ψυχῆς εὐνουχισμὸν, ὃν οὐ πάντες χωροῦσιν, ἀλλ᾽ οἷς δέδοται· δίδοται δὲ πᾶσι τοῖς αἰτήσασιν ἀπὸ θεοῦ τὴν λογικὴν μάχαιραν, καὶ δεόντως αὐτῇ χρησαμένοις, ἵν᾽ εὐνουχίσωσιν ἑαυτοὺς διὰ τὴν τῶν οὐρανῶν βασιλείαν. Εἰ δὲ χρὴ καὶ ἱστοριῶν ἐφάψασθαι τῶν κατὰ τὰς γραφὰς, μετὰ τῆς ὑποφαινομένης ἡμῖν εἰς αὐτὰς ἀναγωγῆς φήσωμεν, ὅτι εἰσί τινες εὐνοῦχοι τοῦ Φαραὼ, ἄγονοι παντὸς καλοῦ, ἵν᾽ οἰνοχοῶσιν[6]) αὐτῷ, καὶ σιτο-

---

[1]) I Tim. IV, 3.
[2]) Matth. XIX, 12.
[3]) Hebr. IV, 12. — Ephes. VI, 17.
[4]) Deest τό in ed. Coloniensi.
[5]) Matth. XIX, 12.
[6]) Genes. XL, 1.

ποιῶσιν εὐνουχισθέντες· εἰσὶ δὲ καὶ τοῦ θεοῦ ἄνθρωποι, διὰ τοῦτο εὐνοῦχοι, ἵν' οἰκοδομήσωσι πεσοῦσαν τὴν Ἱερουσαλήμ. Περὶ μὲν οὖν τῶν προτέρων, ἐν τῇ Γενέσει γέγραπται· τῶν δὲ δευτέρων παράδειγμα ὁ ἐν τῇ δευτέρᾳ[1]) Ἔζρα γεγραμμένος, ὅς φησι· „καὶ[2]) ἐγὼ ἤμην εὐνοῦχος τῷ βασιλεῖ. Καὶ[3]) ἐγένετο ἐν μηνὶ Νισὰν ἔτους εἰκοστοῦ Ἀρσαθερθᾶ βασιλεῖ," καὶ τὰ ἑξῆς, ἕως τοῦ· „καὶ ἠγαθύνθη ἐνώπιον τοῦ βασιλέως, καὶ ἀπέστειλέ με." Καὶ σὺ δὲ ἐντυγχάνων τῷ[4]) δευτέρῳ Ἔζρα εὑρήσεις ὅλα τὰ κατὰ τὸν τόπον, καὶ ἐπιστήσεις, διὰ τί ἅγιός ἐστιν εὐνοῦχος γενόμενος ἀρχηγὸς τοῦ ἀνοικοδομηθῆναι τὸν ναὸν τοῦ θεοῦ. Φασὶ δὲ Ἑβραίων παῖδες, τὸν Δανιὴλ καὶ τοὺς τρεῖς σὺν αὐτῷ, Ἀνανίαν, Ἀζαρίαν, Μισαὴλ, ἐν Βαβυλῶνι εὐνουχίσθαι, πληρουμένης τῆς πρὸς τὸν Ἐζεκίαν εἰρημένης προφητείας ὑπὸ Ἡσαΐου ἐν τῷ· „ἀπὸ[5]) τοῦ σπέρματός σου λήψονται, καὶ ποιήσουσι σπάδοντας ἐν τῷ οἴκῳ τοῦ βασιλέως Βαβυλῶνος." Φασὶ δὲ, ὅτι περὶ τούτων καὶ Ἡσαΐας προεφήτευσε φάσκων· „μὴ[6]) λεγέτω ὁ ἀλλογενὴς ὁ προσκείμενος κυρίῳ· ἀφοριεῖ με ἄρα κύριος ἀπὸ τοῦ λαοῦ αὐτοῦ," καὶ τὰ ἑξῆς, ἕως τοῦ· „κρείττονα υἱῶν καὶ θυγατέρων." Καλὸν οὖν, ὡς πρὸς τὸν μυστικὸν τόπον, τὸ μὴ γεννᾷν ἐν Βαβυλῶνι, ἀλλὰ ἄγονον εἶναι πρὸς τὴν Βαβυλῶνα, ὡς ὁ Δανιὴλ, ἵνα γεννήσωμεν, συλλαβόντες ἀπὸ τοῦ θείου πνεύματος, ὡς ἐκεῖνος, καὶ οἱ

---

[1]) Sic H. et R. in textu; R. tamen in notis: „lege: ὁ ἐν τῷ δευτέρῳ. Sic infra (cfr. pag. huj. lin. 9.) ἐντυγχάνων τῷ δευτέρῳ Ἔζρα.

[2]) Nehem. I, 11. (II Esdr.) LXX. interpretes recte οἰνοχόος pro εὐνοῦχος.

[3]) Ibid. II, 1. 6. LXX. viri v. 1. rectius: Ἀρθασασθά.

[4]) Cfr. pag. huj. not. 1.

[5]) Jes. XXXIX, 7. coll. LXX. interprett. vers. editionibus.

[6]) Ibid. LVI, 3. 5. coll. LXX. virorum vers. edd.

σὺν αὐτῷ, ὁράματα καὶ προφητείας. Δεῖ δὲ εἰδέναι, ὅτι οὐκ ὀλίγας εὕροι ἂν πιθανότητας εἰς κατασκευὴν τοῦ τοὺς τρεῖς σωματικοὺς εἶναι εὐνουχισμοὺς ὁ βουλόμενος παραστῆναι τῷ λόγῳ, καὶ συναγορεῦσαι καὶ τοῖς προειρημένοις, καὶ διὰ τῶν συγγραμμάτων τοῦτο διδάξασιν. Οὐκ ἐβουλήθημεν δὲ ἐκθέσθαι αὐτὰς, μὴ γυμνασίας εἵνεκεν τιθέντες τοὺς λόγους, καὶ τὴν λύσιν ἑκάστου ἐκθέμενοι, πρόφασις γενώμεθα τοῖς μὴ ὡς βούλεται ὁ Ἰησοῦς χωροῦσι τὸν περὶ εὐνουχίας λόγον, πρὸς τὸ ἐν ἑτέρῳ δεῖ νοεῖν τὸ „χωρεῖν," καὶ σωματικῶς αὐτὸ ὑπολαμβάνειν,[1]) δέον πνεύματι ζῶντα, καὶ πνεύματι στοιχοῦντα, καὶ τοὺς τρεῖς εὐνουχισμοὺς πνευματικῶς πεπεῖσθαι λελέχθαι.

Περὶ τῶν προσενεχθέντων παιδίων τῷ Ἰησοῦ, ἵνα ἐπιθῇ τὰς χεῖρας αὐτοῖς.

6. „Τότε[2]) προσηνέχθησαν αὐτῷ παιδία," καὶ τὰ ἑξῆς, ἕως τοῦ· „καὶ ἐπιθεὶς[3]) τὰς χεῖρας αὐτοῖς, ἐπορεύθη ἐκεῖθεν." Τότε μὲν ἡ ἀναγεγραμμένη ἱστορία γέγονε, τῷ καὶ προσενηνέχθαι[4]) παιδία τῷ Ἰησοῦ, βουλομένων τῶν προσφερόντων ἐπιθεῖναι αὐτοῦ τὰς χεῖρας αὐτοῖς, καὶ προσεύξασθαι. Ἰστέον δὲ, ὅτι οὐκ ἔστιν ὅτε οὐ προσφέρεται παιδία[5]) τῷ Ἰησοῦ, ἐφ' οἷς

---

[1]) Ed. Coloniensis minus recte: προλαμβάνειν.

[2]) Matth. XIX, 13. Ed. Knapp. προσηνέχθη.

[3]) Matth. XIX, 15. Ed. Knapp. καὶ ἐπιθεὶς αὐτοῖς τ. χεῖρας κ. τ. λ.

[4]) Ed. H. προσενηνέχθαι, ed. R. προσενέχθαι.

[5]) H. et R. in textu: οὐ προσφέρεται παιδία τὴν ψυχὴν τῷ Ἰησοῦ, H. tamen in notis: „quamvis id habeant Codd. Holm. et Regius, nihilominus, quin ea vox, τὴν ψυχήν, e limbo in contextum irrepserit, nullus dubito. Vetus interpres: *sciendum quoniam non est quando non offeruntur pueri Jesu.* Infra, cfr. pag. 337. lin. 13. et 14., τὰ τοιαῦτα δὴ παιδία προσηνέχθη τότε, καὶ ἀεὶ προσάγεται τῷ Ἰησοῦ."

λέγοι ἂν, ὡς παρακαταθήκην αὐτὰ ἀπὸ θεοῦ λαβὼν, τό· „ἰδοὺ [1]) ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεός·“ καὶ ἀπὸ τῶν παιδίων γε τούτων τινὰ μὲν χρηματιζέτω νήπια, ἄλλα δὲ λεγέσθω θηλάζοντα, ὡς τῶν νηπίων ὑποδεέστερα, καὶ ὁ κύριος ἡμῶν ἐκ στόματος ἀμφοτέρων καταρτίζετω αἶνον, ἵνα ᾐσθημένοι τῆς τοιαύτης αὐτοῦ εἰς τὰ παιδία εὐεργεσίας λέγωμεν τό· „ἐκ στόματος [2]) νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον.“ Παιδία δὲ λεκτέον τοὺς ἐν Χριστῷ σαρκίνους, καὶ νηπίους, ὁποίους Κορινθίους ἐπιστάμενος ὁ ἀπόστολος Παῦλος ἔλεγε· „κἀγὼ [3]) οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ᾽ ὡς σαρκίνοις, [4]) ὡς νηπίοις ἐν Χριστῷ.“ Τὰ τοιαῦτα δὴ παιδία προσηνέχθη τότε, καὶ ἀεὶ προσάγεται τῷ Ἰησοῦ. Σημεῖον δὲ τῆς τῶν νηπίων προσαγωγῆς, οἱ πολλοὶ τῆς ἐκκλησίας ἐν Χριστῷ νήπιοι, καὶ θηλάζοντες, χρείαν ἔχοντες γάλακτος, οὐ στερεᾶς τροφῆς, πρὸς οὓς λέγοι ἂν, ὡς ἂν τροφὸς [5]) θάλπουσα τὰ ἑαυτῆς τέκνα θάλπων αὐτοὺς, τό· „γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα· οὔπω γὰρ ἠδύνασθε.“ Εἶτ᾽ ἐπεὶ οἱ μνησθέντες εὐαγγελισταὶ τῶν κατὰ τὸν τόπον, ὅτι μὲν, ὡς ὁ Ματθαῖός φησι, προσηνέχθη [6]) παιδία τῷ Ἰησοῦ, ἢ [7])

---

[1]) Hebr. II, 13. coll. Jes. VIII, 18.

[2]) Psalm. VIII, 2.

[3]) I Cor. III, 1. Edd. N. T. λαλῆσαι ὑμῖν.

[4]) Ed. Knapp. l. l. ὡς σαρκικοῖς.

[5]) I Thess. II, 7. — I Cor. III, 2.

[6]) Matth. XIX, 13. — H. et R. h. l., cfr. pag. 336. not. 2., προσηνέχθη.

[7]) H. et R. in textu: ἢ ὡς ὁ Μάρκος, προσέφερον αὐτῷ καὶ βρέφη; H. tamen in notis: „Verba Marco tribuit, quae Lucae sunt (XVIII, 15.), ea tamen infra (cfr. pag. 338. lin. 20. seqq.) accurate distinguit: κατὰ δὲ τὸν Μάρκον· — Λουκᾶν· ἵνα αὐτῶν ἅπτηται. Lacunosum magis locum crediderim, qui sic fortasse“ (cf. textum nostrum,) „resarciendus est.“

ὡς ὁ Μάρκος· „προσέφερον[1]) αὐτῷ παιδία·" ἢ ὡς ὁ Λουκᾶς· „προσέφερον αὐτῷ καὶ βρέφη·" ἀνέγραψαν, ὑπὸ τίνος δὲ προσηνέχθη, ἢ τίνες προσέφερον ἅμα παραλελοίπασιν, ἡμῖν καταλιπόντες ἐξετάζειν τὸ παραλελειμμένον, ἄξιον ἰδεῖν, πότερον κατὰ συντυχίαν ὑπὸ τῶν τριῶν τὸ τοιοῦτον παραλέλειπται, δυναμένων ἀναγράψαι, προσηνέχθη αὐτῷ ἀπὸ τῶν γονέων, ἢ ἀπὸ τῶν μητέρων, ἢ προσέφερον αὐτῷ βρέφη ἢ παιδία αἱ μητέρες αὐτῶν· ἢ γνώσεως λογισμῷ καὶ σοφίᾳ τὸ τοιοῦτον πεποιήκασιν, εἰς παράστασιν τοῦ, ὅτι προσελθόντες[2]) ἄγγελοι τῷ Ἰησοῦ καὶ διακονοῦντες αὐτῷ, αὐτοὶ νῷ θειοτέρῳ τὰς τῶν παιδίων ὁρῶντες διαφορὰς, ἢ βρεφῶν, οἴδασι τίνας προσφέρειν δεῖ τῷ Ἰησοῦ, ἵνα προσενεχθέντες αὐτῷ χειροτονηθῶσιν ὑπ' αὐτοῦ, καὶ πότε. Οἴδασι δὲ καὶ τίνας οὐ χρὴ, ἢ ὅτι[3]) ἐπί τινα χρόνον οὐ χρή· οὐ γὰρ ἄτερ ἡγοῦμαι ἀγγελικῆς οἰκονομίας τὰ τοσαῦτα παιδία προσέρχεσθαι τῷ Ἰησοῦ. Τὸ δὲ βούλημα τῶν προσφερόντων τὰ παιδία ἐστὶ, κατὰ μὲν τὸν Ματθαῖον· „ἵνα[4]) τὰς χεῖρας ἐπιθῇ αὐτοῖς ὁ Ἰησοῦς, καὶ[5]) προσεύξηται·" κατὰ δὲ τὸν Μάρκον· „ἵνα[6]) ἅψηται αὐτῶν·" κατὰ δὲ τὸν εἰπόντα, βρέφη αὐτὰ εἶναι, Λουκᾶν· „ἵνα[7]) αὐτῶν ἅπτηται·" τῇ γὰρ προσευχῇ τοῦ Ἰησοῦ, καὶ τῇ ἀφῇ αὐτοῦ, τὰ παιδία καὶ τὰ βρέφη, οὐ δυνάμενα ἀκούειν, ἅπερ ἀκούουσιν οἱ ἤδη πνευματικοὶ, ἀρκεῖται εἰς βοήθειαν, καὶ ἣν χωρεῖ ὠφέλειαν. Ἅπτεται γὰρ αὐτῶν ἡ δύναμις Ἰησοῦ, μόνον χεῖρας ἐπιθέντος τὰς τῆς ἑαυτοῦ ἐπισκοπῆς αὐτοῖς, καὶ οὐκέτι αὐτῶν ἅπτεταί τι

---

[1]) Marc. X, 13. — Luc. XVIII, 15.
[2]) Matth. IV, 11.
[3]) H. et R. ἢ ὅτι ἐπὶ τίνα χρόνον κ. τ. λ.
[4]) Matth. XIX, 13.
[5]) Deest καί in ed. Coloniensi.
[6]) Marc. X, 13. coll. pag. 337. not. 7.
[7]) Luc. XVIII, 15.

τῶν χειρόνων. Τάχα δὲ καὶ, ὡς πρὸς τὸ ῥητὸν, τὸ βούλημα τῶν προσφερόντων αὐτῷ βρέφη καὶ παιδία τοιοῦτον ἦν, διαλαβόντων ὅτι οὐχ οἷόν τε ἦν, ἁψαμένου Ἰησοῦ βρεφῶν ἢ παιδίων, καὶ δύναμιν διὰ τῆς ἀφῆς ἐναφιέντος αὐτοῖς, σύμπτωμα, ἢ δαιμόνιον, ἤ τι ἅψασθαι οὗ φθάσας ὁ Ἰησοῦς ἥψατο.

7. Οἶμαι δ' ὅτι καὶ, ἐπεὶ πολλαὶ πονηραὶ δυνάμεις περὶ τὴν ἀνθρωπίνην ψυχὴν ἀρχῆθεν ἀσχολοῦνται ποικίλως αὐτῇ ἐπιβουλεύουσαι, διὰ τοῦτο, ὡς ἤδη ἐκ τῶν προτέρων τὴν δύναμιν αὐτοῦ μαθόντες οἱ προσφέροντες τῷ Σωτῆρι τὰ βρέφη, τοῦτ' ἐποίουν, ἵνα διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν αὐτοῦ, καὶ τῆς περὶ παιδίων καὶ τῶν βρεφῶν εὐχῆς, διὰ τῆς ἀφῆς ἀπελαύνηται μὲν τὰ χείρονα, δύναμις δὲ ἐγγινομένη διαφέρουσα καὶ πρὸς τὰ ἑξῆς διαρκῇ, ὡς κωλυτικὴ τυγχάνουσα ἐπαφῆς τῶν ἐναντίων. Καὶ ὁ Σωτὴρ οὖν οὐχ [1]) ἁπλοῦν τι καὶ ἀκέραιον ἐπιστάμενος τὸ τοιοῦτον, ἀλλὰ σωτήριον τοῖς ὑπ' αὐτοῦ χειροθετουμένοις ὧν ἥπτετο, φησὶ τοῖς ἐπιτιμῶσι μαθηταῖς, καὶ διὰ τοῦ ἐπιτιμᾷν κωλύουσιν προσφέρεσθαι τὰ παιδία, τό· „ἄφετε [2]) τὰ παιδία, καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με.“ Εἰ μὲν οὖν ἔχει λόγον τὰ ἀποδεδομένα περὶ τοῦ, ὑπὸ τίνων προσηνέχθη, ἢ τίνες προσέφερον, ἀκολούθως ἂν ἐκείνοις μαθηταί τινες ἐξαίρετοι νοοῖντο [3]) τοῦ Ἰησοῦ δυνάμεις ἅγιαι μεμαθητευμέναι τῷ υἱῷ τοῦ θεοῦ· φθάνειν γὰρ καὶ ἐπὶ τοιαύτας τὸ τῶν μαθητῶν Ἰησοῦ ὄνομα εὔλογον, ἵνα μὴ μόνον οἱ ἄνθρωποι αὐτῷ μαθητεύωνται, ἀλλὰ καὶ οἱ ἄγγελοι οἷς ὤφθη, καὶ εἴ τις αὐτῷ πιστεύειν βούλεται ἀπὸ „παντὸς [4]) ὀνόματος ὀνομαζομένου οὐ μόνον ἐν τῷ αἰῶνι

---

[1]) H. et R. in textu: οὐχ ἁπλῶς τι, in notis: „legendum fortasse: οὐχ ἁπλοῦν τι.“

[2]) Matth. XIX, 14.

[3]) H. et R. in notis, ille: „Cod. Holm.,“ hic: „„Cod. Anglicanus: νοεῖν τό.“ “

[4]) Ephes. I, 21.

τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι.“ Εἰ μέντοι το τοιοῦτόν τις βίαιον νομίζοι, θέλων μὴ ἐπ' ἄλλων τάσσεσθαι ἢ ἀνθρώπων τὸ τῶν μαθητῶν ὄνομα, ἐπιτιμώντων τοῖς προσφέρουσι τῷ Ἰησοῦ τὰ βρέφη καὶ τὰ παιδία, εἶεν ἂν οἱ τῶν διδάσκειν τὸν λόγον ἐπιχειρούντων ἁπλούστεροι, καὶ μέχρι παιδίων, λόγον ἔχοντες γάλακτι ἐοικότα, ποτίζοντες τοὺς γάλακτος χρήζοντας, προσφέροντες τῷ Ἰησοῦ βρέφη καὶ παιδία· οὐ γὰρ δύνανται λογικώτεροι τῆς τούτων καταστάσεως πείθειν, ὡς ὁ δυνάμενος λέγειν· „Ἕλλησί[1]) τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί.“ Τούτων δὲ προσφερόντων τῷ Ἰησοῦ βρέφη καὶ παιδία λογικώτεροι νομίζοντες εἶναι τῶν διδασκόντων, καὶ διὰ τοῦτο μαθηταὶ χρηματίζοντες Ἰησοῦ, πρὶν μάθωσι τὰ περὶ τῶν βρεφῶν καὶ τῶν παιδίων, ἐπιτιμῶσι τοῖς ἁπλούστερον διδάσκουσι καὶ παιδία προσφέρουσι. Σαφῶς δὲ τὸ τοιοῦτον νοήσεις, ἐπιστήσας τῷ· „βλέπετε[2]) γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοί, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς· ἀλλὰ[3]) τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ.“ Βλεπέτω τις οὖν τινα τῶν ἐπαγγελλομέ-

---

[1]) Rom. I, 14.

[2]) I Cor. I, 26. 27. 28. coll. edd. N. T.

[3]) Ita fortasse legendum est, quomodo habetur I Cor. I, 26. 27. 28. ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς, ἵνα τοὺς σοφοὺς καταισχύνῃ (ed. Lachm. ἵνα καταισχύνῃ τ. σοφούς)· καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς, ἵνα καταισχύνῃ τὰ ἰσχυρά· καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεὸς, καὶ τὰ μὴ ὄντα, ἵνα κ. τ. λ., cum praesertim hunc Origenis locum id proxime sequatur: προσφέροντα τὰ μωρὰ τοῦ κόσμου, καὶ τὰ ἐξουδενωμένα, καὶ τὰ ἀγενῆ, et sic habeat vetus interpres: *elegit Deus, et quae infirma, et quae ignobilia, et quae non sunt, ut ea quae sunt destrueret.* Huetius.

των κατήχησιν ἐκκλησιαστικὴν καὶ διδασκαλίαν, προσφέροντα τὰ μωρὰ τοῦ κόσμου, καὶ τὰ ἐξουδενωμένα, καὶ τὰ ἀγενῆ, καὶ διὰ τοῦτο λεχθησόμενα ἂν καὶ παιδία, καὶ βλέπων ἐπιτιμάτω, ὡς ἀκρίτως ποιοῦντι, τῷ προσφέροντι τηλικούτῳ Σωτῆρι καὶ διδασκάλῳ βρέφη καὶ παιδία. Καὶ πρόσχες, εἰ μὴ ἁρμόζει ἀναφέρειν τὰ νῦν ἐξεταζόμενα ἐπὶ τὰ τοιαῦτα, τῶν μὲν προσφερόντων παιδία, ἵνα τὰς χεῖρας αὐτοῖς ἐπιθῇ Ἰησοῦς, καὶ προσεύξηται, τῶν δὲ μαθητῶν ἐπιτιμώντων αὐτοῖς. Εἴποι δ' ἂν πρὸς τοὺς ἐπιτιμῶντας ἐπὶ παιδίοις προσαγομένοις [1]) τῷ Ἰησοῦ διδάσκαλος, καὶ Σωτὴρ, καὶ κύριος· „ἄφετε τὰ παιδία, καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με.“ Εἶτα προτρέπων [2]) τοὺς μαθητὰς ὄντας ἄνδρας συγκαταβαίνειν τῇ ὠφελείᾳ τῶν παιδίων, ὅπως γένωνται τοῖς παιδίοις παιδία, ἵνα τὰ παιδία κερδήσωσι, [3]) λεγέτω ὁ Σωτὴρ τό· „τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν·“ καὶ γὰρ αὐτὸς ἐν μορφῇ [4]) θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγησάμενος [5]) τὸ εἶναι ἴσα θεῷ, γέγονε παιδίον, ὥστε λελέχθαι τοῖς μάγοις ὑπὸ τοῦ Ἡρώδου περὶ αὐτοῦ· „πορευθέντες [6]) ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παιδίου·“ καὶ ὑπὸ τοῦ Ματθαίου· „ὅτι [7]) ὁ ἀστὴρ, ὃν εἶδον ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτοὺς, ἕως [8]) οὗ ἐλθὼν ἐστάθη οὗ ἦν τὸ παιδίον·“ καὶ

---

[1]) Ed. Huetii προαγομένοις. — Matth. XIX, 14.

[2]) H. et R. in notis, ille: „Codd. Holm. et Reg.,“ hic: „„Codd. Regius et Anglicanus: προτρέπον.“ “

[3]) Cfr. I Cor. IX, 22. — Matth. XIX, 14.

[4]) Philipp. II, 6.

[5]) H. ad marginem: „Cod. Regius: ἡγήσατο.“ R. minus accurate in notis: „„Cod. Reg.: ἡγησάμενος.“ “

[6]) Matth. II, 8. Ed. Lachm. ἐξετάσατε ἀκριβῶς κτλ.

[7]) Matth. II, 9. Edd. N. T. καὶ ἰδοὺ ὁ ἀστὴρ, ὃν — αὐτούς.

[8]) Ed. Knapp. l. l. ἕως ἐλθὼν ἔστη ἐπάνω οὗ ἦν κτλ., ed. Lachm. ἕως ἐλθὼν ἐστάθη ἐπάνω οὗ ἦν κτλ.

μετ᾽ ὀλίγα· „ἐλθόντες,[1]) φησὶν, εἰς τὴν οἰκίαν, εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ.“ Καὶ ὁ φανεὶς δὲ τῷ Ἰωσὴφ ἄγγελος, παιδίον ἐκάλεσε τὸν τηλικοῦτον ἡμῶν Σωτῆρα, εἰπών· „ἐγερθεὶς[2]) παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον.“ Πάλιν τε αὖ τελευτήσαντος τοῦ[3]) Ἡρώδου ἄγγελος κυρίου κατ᾽ ὄναρ φαίνεται τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ, λέγων· „ἐγερθεὶς παράλαβε[4]) τὸ παιδίον, καὶ τὴν μητέρα αὐτοῦ.“ Καὶ ὁ Ἰησοῦς οὖν οὐ μόνον κατὰ τὴν ἱστορίαν, ἀλλὰ καὶ κατὰ τὴν ἀναγωγὴν ἐταπείνωσεν ἑαυτὸν ὡς παιδίον, ὥστ᾽ ἂν εἰπεῖν, ὡς τό· „μάθετε[5]) ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς[6]) τῇ καρδίᾳ“ οὕτως καὶ τό· μάθετε ἀπ᾽ ἐμοῦ γενομένου ὡς παιδίον, πῶς λέγω τό· „τῶν[7]) γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν·“ τοιούτων ὁποῖά ἐστι τὰ παιδία, περὶ ὧν οὐκ ἐπιτρέπει τοὺς μαθητὰς ἐπιτιμᾷν τοῖς προσφέρουσιν αὐτά. Καὶ Παῦλος δὲ, ὡς ἐπιστάμενος τό· „τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν·“ δυνάμενος ἐν βάρει[8]) εἶναι, ὡς Χριστοῦ ἀπόστολος, ἐγένετο νήπιος, καὶ παραπλήσιος τροφῷ θαλπούσῃ τὸ ἑαυτῆς παιδίον, καὶ λαλούσῃ λόγους ὡς παιδίον διὰ τὸ παιδίον.

8. *Τούτων δὲ ἐπιμελῶς ἀκουστέον, ἵνα μὴ φαντασίᾳ σοφίας, καὶ τοῦ διαβεβηκέναι, καταφρονῶμεν ὡς*

---

1) Matth. II, 10.

2) Ibid. II, 13.

3) Desideratur *τοῦ* in ed. Coloniensi.

4) H. et R. in notis, ille: „Cod. Holmiensis,“ hic: „„Cod. Anglicanus: *παράλαβε τὴν μητέρα καὶ τὸ παιδίον αὐτοῦ.*““ Cfr. Matth. II, 20.

5) Matth. XI, 29. Ed. Knapp. *πρᾷός εἰμι*, ed. Lachm. *πραΰς εἰμι*. Edd. H. et R. *πρᾷός εἰμι*.

6) H. et R. minus accurate: *τάπεινος*.

7) Matth. XIX, 14.

8) I Thess. II, 7.

μεγάλοι τῶν ἐν τῇ ἐκκλησίᾳ μικρῶν,[1]) *καὶ παιδίων, ἀλλ' εἰδότες, πῶς εἴρηται τό· „τῶν*[2]) *γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν·" τοιοῦτοι γενώμεθα, ἵνα καὶ δι' ἡμῶν σώζηται τὰ παιδία. Οὐ μόνον δὲ οὐκ ἀφιέντες τὰ παιδία προσφέρεσθαι τῷ Ἰησοῦ, οὐδὲ μόνον μὴ κωλύοντες αὐτὰ προσφέρεσθαι αὐτῷ, ἀλλὰ καὶ αὐτοὶ μετὰ τῶν παιδίων γενόμενοι παιδία, τὸ βούλημα τοῦ Σωτῆρος ποιήσωμεν, ἵνα σωζομένων καὶ δι' ἡμᾶς τοιούτους γενομένους τῶν παιδίων, ὡς ταπεινώσαντες ἑαυτοὺς ὑπὸ τοῦ θεοῦ ὑψωθῶμεν. Καὶ τοιοῦτον γάρ τι δύναται*[3]) *νοεῖσθαι εἰς τό· „πᾶς*[4]) *ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται·" μάλιστα ἐπεὶ ἐν τοῖς ἀνωτέρω γέγραπται τό· „ὅστις*[5]) *οὖν ταπεινώσει ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὗτός ἐστιν ὁ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν." Καὶ ταῦτα μὲν ἔστω χρήσιμα πρὸς τοὺς ἐπιτιμῶντας μαθητὰς παιδίων προσφερομένων τῷ Ἰησοῦ τοῖς προσφέρουσιν. Ἴστω δὲ τὰ παιδία, κἂν μὴ πᾶσιν ὡς παιδία παρακολουθεῖν δύνηται τοῖς λεγομένοις, ὅτι ἐπέθηκε μὲν τοῖς παιδίοις ὁ Ἰησοῦς τὰς χεῖρας, ἐπιθεὶς δὲ ἐπορεύθη ἐκεῖθεν, καὶ δύναμιν ἐναφεὶς τοῖς παιδίοις διὰ τῆς ἀφῆς, ἐπορεύθη ἀπὸ τῶν παιδίων, μὴ δυνηθέντων ὁμοίως τοῖς μαθηταῖς ἀκολουθεῖν τῷ Ἰησοῦ. Εἴπερ δὲ λόγια*[6]) *κυρίου ἐστὶ καὶ τὰ εὐαγγελικά, καὶ λόγια ἁγνά, καὶ ἀργύριον πεπυρωμένον, δοκίμιον, ἀπεσταλμένον τῇ γῇ, καὶ ἄκρως*[7]) *κεκαθαρμένον, καὶ ἑπτα-*

---

[1]) H. ad marg., R. in notis: „Cod. Regius: *μικρῶν παιδίων.*"

[2]) Matth. XIX, 14.

[3]) H. et R. in textu: *δύνασθαι*, H. tamen in notis: „ita Codd. Holm. et Reg. Lege (it. R. in notis) *δύναται.*"

[4]) Luc. XIV, 11. coll. edd. N. T.

[5]) Matth. XVIII, 4. Ed. Knapp. *ταπεινώσῃ.*

[6]) Psalm. XII, 6. (XI, 7.)

[7]) H. ad marg., R. in notis: „Cod. Regius: *ἀκριβῶς κεκαθαρισμένον.*"

πλασίως, ὀφείλει[1]) τις εἶναι εὔλογος αἰτία, δι' ἣν ἐκτιθέμενος τὰ κατὰ τὸν τόπον ὁ Ματθαῖος, δύο μὲν εἶπε τὰ βουλήματα τοῦ προσενηνέχθαι τῷ Ἰησοῦ τὰ παιδία, οὐκέτι δὲ πρὸς τὰ δύο τὰ ἑξῆς ἐπιφέρει· προσενηνέχθη[2]) μὲν γὰρ τὰ παιδία, οὐκέτι ἵνα μόνον τὰς χεῖρας αὐτοῖς ἐπιθῇ ὁ Ἰησοῦς, ἀλλὰ πρὸς τούτῳ, ἵνα καὶ προσεύξηται.

9. Γέγραπται δὲ, ὅτι „καὶ[3]) ἐπιθεὶς τὰς χεῖρας αὐτοῖς, ἐπορεύθη ἐκεῖθεν·" οὐ γὰρ προσέθηκε „καὶ προσευξάμενος·" ἠδύνατο γὰρ λελέχθαι· καὶ ἐπιθεὶς τὰς χεῖρας καὶ προσευξάμενος αὐτοῖς, ἐπορεύθη ἐκεῖθεν. Ὅρα οὖν, εἰ δύνασαι μείζοσι μὲν τῶν παιδίων τηρεῖν τὴν προσευχὴν τοῦ Ἰησοῦ, δυναμένοις χωρῆσαι καὶ τὴν ἐπίθεσιν τῶν χειρῶν αὐτοῦ ἐπ' αὐτοὺς, καὶ τὴν περὶ αὐτῶν πρὸς τὸν πατέρα εὐχήν· τοῖς δὲ παιδίοις ἀρκεῖν λέγειν τὴν ἐπίθεσιν τῶν χειρῶν αὐτοῦ. Εἰς δὲ τὰ ἀποδεδομένα περὶ τοῦ· „τῶν[4]) γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν·" προτρεπόμενα καὶ τὸν σοφώτατον, μὴ ὑπερηφανεῖν τοὺς ἐν τῇ ἐκκλησίᾳ μικροὺς, μηδὲ καταφρονεῖν τῶν παιδίων καὶ νηπίων ἐν Χριστῷ, χρήσιμον παραλαβεῖν ἀπὸ τοῦ κατὰ Λουκᾶν τό· „ἀμὴν[5]) λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον·" ὃ οὐ παιδίον μὲν ὢν, ἀλλὰ ἀνὴρ τὰ[6]) τοῦ νηπίου καταργήσας, γινόμενος δὲ τοῖς παιδίοις παιδίον, καὶ λέγων αὐτοῖς· „οὐκ[7]) ἐδυνήθην ὑμῖν λαλῆ-

---

[1]) H. et R. ὀφείλει τίς εἶναι — τὰ ἑξῆς ἐπιφέρει; προσενηνέχθη κ. τ. λ.

[2]) H. ad marg., R. in notis: „Cod. Regius: προσηνέχθη γὰρ αὐτοῖς τὰ παιδία."

[3]) Matth. XIX, 15. coll. pag. 336. not. 3.

[4]) Matth. XIX, 14.

[5]) Luc. XVIII, 17. Ed. Lachm. ὃς ἂν μὴ δέξηται κτλ.

[6]) I Cor. XIII, 11.

[7]) Ibid. III, 1. 2. coll. pag. 337. not. 3. et 4.

σαι ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκίνοις, ὡς νηπίοις ἐν Χριστῷ. Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα.“ Ὅλη[1]) γοῦν ἡ σύμφρασις τοῦ κατὰ Λουκᾶν τοιαύτη ἐστίν· „προσέφερον[2]) δὲ αὐτῷ καὶ βρέφη, ἵνα αὐτῶν ἅπτηται,“ καὶ τὰ ἑξῆς, ἕως τοῦ· „ὃς[3]) ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν.“ Σχεδὸν δὲ ταῖς αὐταῖς λέξεσι καὶ ὁ Μάρκος, μάλιστα τὰ τελευταῖα, ὡσαύτως ἐξέθετο.

Περὶ τοῦ ἐπηρωτήσαντος πλουσίου τὸν Ἰησοῦν, καὶ εἰπόντος· „διδάσκαλε[4]) ἀγαθὲ,“ καὶ τὰ ἑξῆς.

10. „Καὶ[5]) ἰδοὺ εἷς προσελθὼν, εἶπεν αὐτῷ· διδάσκαλε, τί ἀγαθὸν ποιήσω, ἵνα σχῶ[6]) ζωὴν αἰώνιον;“ καὶ τὰ ἑξῆς, ἕως τοῦ· „πολλοὶ[7]) δὲ ἔσονται πρῶτοι ἔσχατοι· καὶ ἔσχατοι πρῶτοι.“ Ἐν μὲν Ψαλμοῖς γέγραπται, ὡς δυναμένου τοῦ ἀνθρώπου ποιεῖν ἀγαθὸν, ὅτι „ὁ θέλων[8]) ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθὰς, παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον· ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν.“ Ἐνταῦθα δὲ ὁ Σωτὴρ πρὸς τὸν εἰπόντα· „τί[9]) ἀγαθὸν ποιήσω, ἵνα ζωὴν αἰώνιον κληρονομήσω;“

---

[1]) Ὅλη γοῦν ἡ σύμφρασις. Postrema ea vox in Codd. Holm. et Reg. deformata erat, etc. Huetius.

[2]) Luc. XVIII, 15. Edd. N. T. καὶ τὰ βρέφη.

[3]) Ibid. XVIII, 17. coll. pag. 344. not. 5.

[4]) Matth. XIX, 16. In ed. Lachm., cfr. pag. huj. not. 5., ἀγαθέ deest.

[5]) Matth. XIX, 16. Ed. Knapp. προσελθὼν, εἶπεν αὐτῷ· διδάσκαλε ἀγαθὲ, —, ἵνα ἔχω κτλ., ed. Lachm. προσελθὼν αὐτῷ εἶπεν· διδάσκαλε, τί — ἵνα σχῶ κτλ.

[6]) H. ad marg., R. in notis: „Cod. Regius: ζωὴν αἰώνιον κληρονομήσω.“

[7]) Matth XIX, 30.

[8]) Psalm. XXXIV, 12. 13. 14. (XXXIII.)

[9]) Matth. XIX, 16. coll. pag. huj. not. 5. et 6.

εἶπεν, ὡς τοῦ κυρίως ἀγαθοῦ ἐπὶ μηδένα ἀναφερομένου ἢ τὸν θεὸν, τό· „τί[1]) με ἐρωτᾷς περὶ τοῦ ἀγαθοῦ; εἷς ἐστιν ὁ ἀγαθός.“ Χρὴ δὲ εἰδέναι, ὅτι ἐνταῦθα μὲν κυρίως τὸ ἀγαθὸν ἐπὶ τοῦ θεοῦ τέτακται μόνου· ἐν ἄλλοις δὲ καταχρηστικῶς, καὶ ἐπὶ ἔργων ἀγαθῶν, καὶ ἐπὶ ἀνθρώπου ἀγαθοῦ, καὶ ἐπὶ δένδρου ἀγαθοῦ, καὶ σὺ δ᾽ ἂν εὕροις καὶ ἐπὶ ἄλλων πλειόνων τασσόμενον τὸ ἀγαθόν. Οὐ νομιστέον οὖν μάχεσθαι τό· „ποίησον[2]) ἀγαθόν·“ πρὸς τό· „τί[3]) με ἐρωτᾷς περὶ τοῦ[4]) ἀγαθοῦ; εἷς ἐστιν ὁ ἀγαθός·“ λελεγμένον πρὸς τὸν πυθόμενον[5]) καὶ εἰπόντα· „διδάσκαλε,[6]) τί ἀγαθὸν ποιήσω;“ Ὁ μὲν οὖν Ματθαῖος, ὡς περὶ ἀγαθοῦ ἔργου ἐρωτηθέντος τοῦ Σωτῆρος ἐν τῷ· „τί ἀγαθὸν ποιήσω;“ ἀνέγραψεν· ὁ δὲ Μάρκος καὶ Λουκᾶς φασι τὸν Σωτῆρα εἰρηκέναι· „τί[7]) με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς, ὁ θεός·“ ὡς τὸ τεταγμένον „ἀγαθὸς“ ὄνομα ἐπὶ τοῦ θεοῦ μὴ ἂν ταχθῆναι καὶ ἐφ᾽ ἑτέρου τινός· οὐ γὰρ ᾗ ἀγαθὸς ὁ θεὸς, ταύτῃ λέγοιτ᾽ ἂν ἀγαθὸς[8]) ἄνθρωπος, ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ προφέρων τὰ ἀγαθά. Καὶ ὁ Σωτὴρ δὲ, ὥς ἐστιν „εἰκὼν[9]) τοῦ θεοῦ τοῦ ἀοράτου,“ οὕτως καὶ τῆς ἀγαθότητος αὐτοῦ εἰκών. Καὶ παντὸς δὲ τοῦ ὑποδεεστέρου ᾧ ἐφαρ-

---

[1]) Matth. XIX, 17. Ed. Knapp. *τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς, ὁ Θεός.*

[2]) Psalm. XXXIV, 14. (XXXIII.)

[3]) Matth. XIX, 17. coll. pag. huj. not. 1.

[4]) Deest h. l., cfr. pag. huj. not. 1., *τοῦ* in edd. H. et R.

[5]) H. et R. in textu: *τὸν πειθόμενον κτλ.*, in notis: „sic habent Codd. Holm. et Regius, perperam; lege: *τὸν πυθόμενον κτλ.*“ Cfr. pag. 348. lin. 17. 19. et 22.

[6]) Matth. XIX, 16. coll. pag. 345. not. 4. et 5.

[7]) Marc. X, 18. et Luc. XVIII, 19.

[8]) Matth. XII, 35. et Luc. VI, 45.

[9]) Coloss. I, 15. — Sap. Salom. VII, 26.

μόζεται ἡ „ἀγαθὸν“ φωνὴ, ἄλλο σημαινόμενον ἔχει τὸ ἐπ᾽ αὐτοῦ λεγόμενον, εἴπερ ὡς μὲν πρὸς τὸν πατέρα εἰκών ἐστιν ἀγαθότητος, ὡς δὲ πρὸς τὰ λοιπὰ, ὅπερ ἡ τοῦ πατρὸς ἀγαθότης πρὸς [1]) αὐτόν· ἢ καὶ μᾶλλόν ἐστί τινα ἀναλογίαν προσεχῆ ἰδεῖν ἐπὶ ἀγαθότητος τοῦ θεοῦ πρὸς τὸν Σωτῆρα, ὄντα εἰκόνα τῆς ἀγαθότητος αὐτοῦ, ἤπερ ἐπὶ τοῦ Σωτῆρος πρὸς ἀγαθὸν ἄνθρωπον, καὶ ἀγαθὸν ἔργον, καὶ ἀγαθὸν δένδρον· πλείων [2]) γὰρ ἡ ὑπεροχὴ [3]) πρὸς τὰ ὑποδεέστερα ἀγαθὰ ἐν τῷ Σωτῆρι, καθό ἐστιν εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ τοῦ θεοῦ, ἤπερ ἡ ὑπεροχὴ τοῦ θεοῦ, ὄντος ἀγαθοῦ, πρὸς τὸν εἰπόντα Σωτῆρα· „ὁ πατὴρ, [4]) ὁ πέμψας με, μείζων μου ἐστίν“ ὄντα πρὸς ἑτέρους καὶ εἰκόνα τῆς ἀγαθότητος τοῦ θεοῦ. Τάχα δὲ τοῦ βουλήματος ἔχεται τῶν λελεγμένων [5]) πρὸς τό· „τί [6]) ἀγαθὸν ποιήσω;“ — λέλεκται [7]) δὲ πρὸς αὐτό· „τί με ἐρωτᾷς περὶ τοῦ ἀγαθοῦ; εἷς ἐστιν ὁ ἀγαθός“ — τό· „ὅταν [8]) ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, ὀφείλετε λέγειν, ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν· ὃ ὠφείλομεν [9]) ποιῆσαι, πεποιήκαμεν.“ Ἐὰν γὰρ ποιήσωμεν

[1]) H. et R. in textu: εἰς αὐτόν, H. tamen ad marg., R. in notis: „Cod. Regius: πρὸς αὐτόν.“

[2]) H. et R. in textu: πλεῖον, H. tamen ad marg., R. in notis: „lege πλείων.“

[3]) H. ad marg., R. in notis: „Cod. Reg. ὑποδοχή.“

[4]) Ev. Joann. XIV, 28. coll. ed. nostrae Tom. II. pag. 45. not. 1., pag. 68. not. 9. et pag. 473. not. 2.

[5]) H. ad marg., R. in notis: „Cod. Reg.: λεγομένων.“

[6]) Matth. XIX, 16.

[7]) H. et R. in textu: λελέχθαι, H. tamen ad marg., R. in notis: „lege λέλεκται.“ — Matth. XVI, 17. coll. pag. 346. not. 1.

[8]) Luc. XVII, 10. Ed. Knapp. pro verbis: ὀφείλετε — ὠφείλομεν, haec habet: λέγετε· ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν· ὅτι ὃ ὠφείλομεν, ed. autem Lachm. haec: λέγετε· δοῦλοι ἀχρεῖοί ἐσμεν, ὃ ὠφείλομεν.

[9]) H. et R. ὀφείλομεν.

πάντα τὰ διαταχθέντα, οὐδ᾽ οὕτως, ὡς πρὸς τὰς ἐνθάδε λέξεις, ἀγαθόν τι πεποιήκαμεν· οὐκ ἂν γὰρ ἀγαθῶν ὄντων ὧν ποιοῦμεν, ἐλέλεκτο δεῖν λέγειν ἐπὶ τῷ γεγονέναι τὰ διαταχθέντα, τό· „δοῦλοι [1]) ἀχρεῖοί ἐσμεν.“ Ἔστι δὲ καταχρηστικῶς αὐτὰ εἰπεῖν εἶναι ἀγαθὰ, ὁμοίως τῷ· „ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν.“ Οἶμαι δ᾽ ὅτι ὁ ποιῶν τὸ προστεταγμένον ἐν τῷ· „ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν“ ὡς μὲν πρὸς τὰ ὑπὸ τῶν λοιπῶν ἀνθρώπων ἐπιτελούμενα ποιεῖ ἀγαθόν· ὡς δὲ πρὸς τὸ ἀληθῶς ἀγαθὸν, ὥσπερ οὐ δικαιωθήσεται [2]) ἐνώπιον τοῦ θεοῦ πᾶς ζῶν, πάσης ἀνθρωπίνης δικαιοσύνης ἐλεγχομένης ὡς οὐ δικαιοσύνης, ἐπὰν θεωρηθῇ ἡ τοῦ θεοῦ δικαιοσύνη· οὕτως οὐδὲ ἀγαθὸς χρηματίσειεν ἐνώπιον τοῦ ἀγαθοῦ θεοῦ πᾶς [3]) ὃς πρὸς τὰ ὑποδεέστερα συγκρίσει ἐκείνων ἀγαθὸς ἂν λεχθείη.

11. Λέγοιτο δ᾽ ἂν ὑπό τινος, ὡς ἄρα γινώσκων ὁ Σωτὴρ τὴν τοῦ πυνθανομένου ἕξιν, καὶ προαίρεσιν, πάνυ ἀποδέουσαν τοῦ ποιεῖν τὸ ἐφικτὸν ἀνθρώποις ἀγαθὸν, εἶπεν αὐτῷ πυνθανομένῳ· „τί [4]) ἀγαθὸν ποιήσω;“ τό· „τί με ἐπερωτᾷς [5]) περὶ τοῦ ἀγαθοῦ;“ ὡσεὶ ἔλεγε· μὴ παρεσκευασμένος ὢν πρὸς τὰ λεχθησόμενα ἂν περὶ τοῦ ἀγαθοῦ, πυνθάνῃ, τί ἀγαθὸν ποιήσας ζωὴν αἰώνιον κληρονομήσεις. Εἶτα διδάσκει ὅτι ἀληθῶς ἀγαθὸς εἷς ἐστι, περὶ οὗ καὶ ὁ νόμος λέγει τό· „ἄκουε [6]) Ἰσραὴλ, κύριος ὁ θεὸς ἡμῶν κύριος εἷς ἐστι“ κυρίως γὰρ ὁ Σωτὴρ,

---

[1]) Luc. XVII, 10. — Psalm. XXXIV, 14. (XXXIII.)

[2]) Psalm. CXLIII, 2. (CXLII.)

[3]) Ita ad oram habebat Ms. Holm., at in contextu: πᾶς ὁ, quemadmodum et Cod. Regius. Huet. Item fere R. in notis: „ita ad oram habet Cod. Anglican., at“ etc.

[4]) Matth. XIX, 16. — 17. coll. pag. 346. not. 1.

[5]) H. et R. h. l., cfr. pag. 347. not. 7. coll. pag. 346. not. 1. et 3., ἐπερωτᾷς.

[6]) Deuteron. VI, 4. — H. et R. in textu: κύριός ἐστι, H. tamen ad marginem: „scrib. κύριος εἷς ἐστι.“

καὶ κυρίως κύριος, καὶ κυρίως ἀγαθὸς οὗτός ἐστιν, ὃν πείθομαι πάντα ὡς ἀγαθὸν ποιεῖν. Ζητήσεις δὲ, πῶς τῆς ἀγαθότητος αὐτοῦ πνεῖ καὶ τὰ μὴ νοούμενα ὑπὸ τῶν τὸ[1]) ὅσον ἐφ' ἑαυτοῖς συκοφαντούντων τὸν τοῦ νόμου θεὸν, καὶ κατηγορούντων αὐτοῦ ἃ οὐδὲ περὶ ἀνθρώπου τάχα[2]) λέγειν εὔκολόν ἐστι· πείθομαι γὰρ θεοῦ ἀγαθότητος πνεῖν καὶ τό· „ἐγὼ[3]) ἀποκτενῶ·" οὐκ ἔλαττον τοῦ· „καὶ ζῆν ποιήσω·" ὁμοίως δὲ καὶ τό· „πατάξω·" οὐχ ἧττον τοῦ· „κἀγὼ ἰάσομαι." Εἰ δὲ καὶ αὐτὸς ἀλγεῖν ποιεῖ, ἰστέον ὅτι πολλάκις καὶ ἰατρὸς ἀλγεῖν ποιεῖ. Ποιήσας δὲ ἀλγεῖν[4]) ὁ θεὸς, πάλιν ἀποκαθίστησιν. Οὕτω δὲ καὶ ἀπὸ ἀγαθότητος οὓς ἔπαισεν, ἔπαισεν· ὡς γὰρ υἱοῖς τοῖς παιδευομένοις „προσφέρεται[5]) ὁ θεός. Τίς γὰρ υἱὸς ὃν οὐ παιδεύει πατήρ;" Ἀλλὰ καὶ „πᾶσα[6]) παιδεία πρὸς μὲν[7]) τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης." Διόπερ ὡς ἔπαισεν ὁ θεὸς, οὕτως καὶ ἰάσατο· ἀληθὲς γὰρ τό· „ἔπαισε,[8]) καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο." Εἰ καὶ παράδοξον δὲ τὸ λεχθησόμενον, ὅμως λεχθήσεται· ἀγαθοῦ θεοῦ ὀνομαζόμενος θυμὸς, ἔργον σωτήριον ποιεῖ ἐλέγχων, καὶ ἡ λεγομένη ὀργὴ αὐτοῦ, ἐπεί ἐστιν ἀγαθοῦ θεοῦ, παιδεύει. Πολλὰ δ' ἂν λέγοιτο πρὸς τοὺς δυναμένους μὴ βλάπτεσθαι, περὶ ἀγαθότητος θεοῦ, καὶ τοῦ πλήθους[9]) τῆς χρηστότητος αὐτοῦ, ἣν εὐλόγως ἔκρυψε

---

[1]) Desideratur τό in ed. R.

[2]) H. et R. in textu: ταχέως, H. tamen ad margin., R. in notis (adjectis verbis: *non male*): „Cod. Reg.: τάχα."

[3]) Deut. XXXII, 39. LXX. interpretes: ἀποκτείνω.

[4]) Job. V, 18.

[5]) Hebr. XII, 7. Ed. Knapp. τίς γάρ ἐστιν υἱός κτλ.

[6]) Hebr. XII, 11.

[7]) Desideratur μέν in edd. H. et R.

[8]) Job. V, 18.

[9]) Psalm. XXXI, 19. (XXX.)

τοῖς φοβουμένοις αὐτὸν, ἵνα μὴ τοῦ πλούτου [1]) τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονήσαντες, κατὰ τὴν ἑαυτῶν σκληρότητα, καὶ ἀμετανόητον καρδίαν, θησαυρίσωσιν ἑαυτοῖς ὀργὴν πλείονα, ἣν οὐκ ἂν ἐθησαύριζον κρυπτομένου τοῦ πλήθους τῆς χρηστότητος τοῦ θεοῦ αὐτοῖς. Περὶ μὲν οὖν τοῦ· τίς ὁ ἀγαθός· καὶ πρὸς τό· „τί [2]) ἀγαθὸν ποιήσω;“ λελέχθω ἃ δεδυνήμεθα εἰς τὸν τόπον ἰδεῖν.

12. Ἑξῆς δέ ἐστι θεωρῆσαι, πῶς εἴρηται τό· „εἰ δὲ θέλεις [3]) εἰς τὴν ζωὴν εἰσελθεῖν, τήρησον τὰς ἐντολάς·“ ἐν ᾧ πρόσχες, ὅτι, ὡς ἔξω τῆς ζωῆς ἔτι τυγχάνοντι, τῷ πυνθανομένῳ περὶ τοῦ ἀγαθοῦ φησι τό· „εἰ δὲ [4]) θέλεις εἰς τὴν ζωὴν εἰσελθεῖν.“ Ἔνθα δὴ [5]) προσεχῶς ἐστι νοῆσαι τὸ „ἔξω τῆς ζωῆς εἶναι,“ καὶ τὸ „εἰσελθεῖν εἰς τὴν ζωήν.“ Μήποτε οὖν καθ᾽ ἕνα μὲν τρόπον ἔξω τῆς ζωῆς ἐστιν ὁ ἔξω τυγχάνων τοῦ εἰπόντος· „ἐγώ [6]) εἰμι ἡ ζωή·“ καὶ ἀλλότριος ὢν αὐτοῦ. Καθ᾽ ἕτερον δὲ πᾶς ὁ ἐπὶ γῆς, κἂν δικαιότατος ᾖ, δύναται μὲν εἶναι ἐν τῇ σκιᾷ τῆς ζωῆς, λέγων· „πνεῦμα [7]) προσώπου ἡμῶν Χριστὸς κύριος, οὗ εἴπομεν· ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσιν·“ οὐ μὴν ἐν αὐτῇ τῇ ζωῇ, ἅτε σῶμα θανάτου περικείμενος, καὶ λέγων· „τίς [8]) με ῥύσεται ἐκ τοῦ σώματος τοῦ

---

[1]) Rom. II, 4. 5.

[2]) Matth. XIX, 16.

[3]) Ibid. XIX, 17. Ed. Knapp. εἰσελθεῖν εἰς τ. ζωὴν, τήρησον κτλ., ed. Lachm. εἰς τ. ζωὴν εἰσελθεῖν, τήρει κτλ.

[4]) Deest h. l., cfr. pag. huj. not. 3.. δέ in edd. H. et R.

[5]) Cod. Regius: ἔνθα δὴ ζητῶ προσεχῶς ἐστι νοῆσαι. Sed τὸ „ζητῶ“ παρέλκει. Vel legendum: ζητοῦντι. Huetius.

[6]) Ev. Joann. XI, 25. et XIV, 6.

[7]) Thren. IV, 20. LXX. viri: πνεῦμα — κύριος συνελήφθη ἐν ταῖς διαφθοραῖς αὐτῶν, οὗ εἴπαμεν κτλ.

[8]) Rom. VII, 24

θανάτου τούτου;“ καὶ καθήμενος[1]) ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, καὶ μηδέπω ἐλθὼν ἐπὶ τὴν τῶν ζώντων γῆν· καὶ γὰρ ἡ ζωὴ, οὐ μόνον τῶν φαύλων, ἀλλὰ καὶ τοῦ ἐπὶ γῆς Παύλου, καὶ τῶν ἀποστόλων, κεκρυμμένη ἦν ἐν τῷ θεῷ. Φησὶ γοῦν· „ἡ ζωὴ[2]) ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ· ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ.“ Τηρήσεις δὲ πάντα τὰ περὶ τοῦ „ἔσω,“ καὶ τοῦ „ἔξω,“ ἵνα ἀναλέξῃ τὰ κατάλληλα τῷ· „εἰ δὲ[3]) θέλεις εἰς τὴν ζωὴν εἰσελθεῖν·“ οἷον· „δεήθητε[4]) οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ἵνα ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ·“ ζητήσεις γὰρ, ἐκβάλῃ πόθεν;[5]) καὶ εἴπερ ἐνθάδε εἰσὶν οἱ ἐργάται ἐκβεβλημένοι εἰς τὸν θερισμὸν τοῦ κυρίου, ἔξω εἰσὶν οὗ ἐξεβλήθησαν χωρίου· καὶ τὰ τοῦ θερισμοῦ καλῶς ποιήσαντες ἔργα εἰσελεύσονται εἰς τὴν ζωὴν, καθαρισθέντες μὲν ἀπὸ νεκρῶν ἔργων, τὰ δὲ ἐναντία ἐκείνοις πράττοντες ἔργα ζῶντα· καὶ μηκέτι μὲν νεκρὰ λαλοῦντες, λέγοντες δὲ κατὰ τὸν ζῶντα[6]) λόγον τοῦ θεοῦ καὶ ἐνεργῆ. Οὕτω δέ ἐστιν ἀνάλογον ῥήμασι ζωῆς αἰωνίου ἐναντία λογισμοῖς τοῖς κατηγοροῦσιν, ὅτε „τῶν λογισμῶν[7]) κατηγορούντων, ἢ καὶ ἀπολογουμένων“ ἐν ἡμέρᾳ κρίσεως, σωθήσεται μὲν ἐκεῖνος οὗ οἱ λογισμοὶ ἀπολογοῦνται, ἀπολεῖται δὲ οὗ οἱ λογισμοὶ γίνονται κατήγοροι. Εἰ τοίνυν καὶ ἡμεῖς

---

[1]) Matth. IV, 16.

[2]) Coloss. III, 3. 4.

[3]) Deest h. quoque l., cfr. pag. 350. not. 4., δέ in edd. II. et R. — Cfr. Matth. XIX, 17. coll. p. 350. not. 3.

[4]) Matth. IX, 38. Edd. N. T. ὅπως pro ἵνα. In fine vers. ed. Knapp. αὑτοῦ pro αὐτοῦ.

[5]) Codd. Holm. et Reg. πόθεν παροξυτόνως habent, quod interrogationem notat. Sed si βαρύτονον sit, non male (?) cum seqq. cohaerebit. Huetius.

[6]) Hebr. IV, 12.

[7]) Rom. II, 15.

θέλομεν εἰς τὴν ζωὴν εἰσελθεῖν, ἀκούσωμεν τοῦ λέγοντος Ἰησοῦ· „εἰ δὲ[1]) θέλεις εἰς τὴν ζωὴν εἰσελθεῖν, τήρησον τὰς ἐντολάς·“ καὶ κατὰ τὴν ἀναλογίαν γε τῆς τῶν ἐντολῶν τηρήσεως εἰς τὴν ζωὴν εἰσελευσόμεθα,[2]) γινόμενοι αὐτῆς ἤτοι εἰς τὰ ἐνδότατα καὶ μακαριώτατα, ἢ ὅπου ποθ᾽ ἡμᾶς φέρει τῆς ζωῆς ἡ ἐλαττόνων καὶ ἀμυδροτέρων τῶν ἐντολῶν τήρησις.

13. Ὁ δὲ ἀκούσας· „τήρησον[3]) τὰς ἐντολάς·“ λέγει· „ποίας;“ ἵνα μάθωμεν, ποίας μάλιστα τηρεῖν ἡμᾶς ἐντολὰς ὁ Ἰησοῦς βούλεται· εἶπε γὰρ πρὸς τό· „ποίας;“ τό· „οὐ μοιχεύσεις·[4]) οὐ φονεύσεις· οὐ κλέψεις· οὐ ψευδομαρτυρήσεις· τίμα τὸν πατέρα καὶ τὴν μητέρα·“ καί· „ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.“ Καὶ τάχα ἀρκεῖ πρὸς τὸ, ἵν᾽ οὕτως ὀνομάσω, εἰς[5]) τὴν ἀρχὴν τῆς ζωῆς εἰσελθεῖν, οὐκ ἀρκοῦντα πρὸς τελειότητα, ταῦτα καὶ τὰ τούτοις[6]) παραπλήσια, ὡς τὸν ἔνοχον[7]) μιᾶς τούτων τῶν ἐντολῶν, μηδὲ εἰς τὴν ἀρχὴν τῆς ζωῆς εἰσελθεῖν δύνασθαι. Καθαρευτέον οὖν τῷ κἂν ἐλθεῖν βουλομένῳ εἰς τὴν ζωὴν, ἀπὸ μοιχείας, καὶ φόνου, καὶ πάσης κλοπῆς· ὡς γὰρ μοιχὸς καὶ φονεὺς οὐκ εἰσελεύσεται

---

[1]) Deest h. quoque l., cfr. pag. 350. not. 4., δέ in edd. H. et R. — Cfr. Matth. XIX, 17. coll. pag. 350. not. 3.

[2]) H. et R. in textu: εἰσελευσώμεθα, H. tamen ad oram: „scrib.,“ R. in notis: „„forte scribendum: εἰσελευσόμεθα.““

[3]) Matth. XIX, 17. coll. p. 350. not. 3. — Vers. 18.

[4]) Ibid. XIX, 18. 19. Edd. N. T. vers. 18. οὐ φονεύσεις· οὐ μοιχεύσεις· κτλ. Cfr. Exod. XX, 12. seqq. coll. Deuter. V, 17. seqq.

[5]) εἰς τὴν ἀρχὴν τῆς ζωῆς. Desunt haec h. l., cfr. pag. huj. not. 6., in ed. R.

[6]) Ed. R. h. l., cfr. pag. huj. not. 5., τούτοις εἰς τὴν ἀρχὴν ζωῆς παραπλήσια.

[7]) H. et R. in textu: ἔνοχον παραπλήσια, R. tamen in notis: „παραπλήσια forte redundat, nec male deleveris.“

εἰς τὴν ζωὴν, οὕτως οὐδὲ ὁ κλέπτων. Τῇ τοιαύτῃ δὲ ἁμαρτίᾳ πολλοὶ τῶν λεγομένων πιστεύειν τῷ Χριστῷ ἔνοχοί εἰσιν, ἐλεγχόμενοι ἐν ταῖς πραγματείαις τοῦ βίου, καὶ οἷς πιστεύονται χρηματικοῖς, καὶ ταῖς μέσαις τέχναις ἃς ἐργάζονται, ὡς οὐ καθαροὶ κλοπῆς. Οὐ μόνος δὲ ὁ κλέπτης οὐκ εἰσελεύσεται εἰς τὴν ζωὴν, ἀλλὰ καὶ ὁ κοινωνὸς αὐτοῦ, καὶ ὁ συντρέχων αὐτῷ· ἐν μὲν γὰρ τῷ Ἡσαΐᾳ γέγραπται· „κοινωνοὶ[1]) κλεπτῶν ἀγαπῶντες δῶρα.“ Ἐν δὲ[2]) τεσσαρακοστῷ ἐννάτῳ ψαλμῷ κωλύεται διηγεῖσθαι[3]) τὰ δικαιώματα τοῦ θεοῦ, καὶ ἀναλαμβάνειν ἐπὶ χειλέων ἑαυτοῦ τὴν διαθήκην αὐτοῦ, ὁ ἐλεγχόμενος ἐν τῷ· „εἰ[4]) ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ·“ καὶ ὥσπερ πρῶτον εἴρηται τοῦ·[5]) „μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις·“ καὶ οὔτε κλέπτην, οὔτε μοιχὸν εἶπε τὸν τοιοῦτον, ἀλλὰ συντρέχοντα μὲν κλέπτῃ, μετὰ μοιχῶν δὲ τιθέντα ἑαυτοῦ τὴν μερίδα. Τὸν δὲ ἐλευσόμενον εἰς τὴν ζωὴν οὐδὲ ψευδομαρτυρεῖν δεῖ· ἐκβάλλεται δὲ τῆς ζωῆς καὶ ὁ μὴ πληρῶν τὴν λέγουσαν ἐντολήν· „τίμα[6]) τὸν πατέρα καὶ τὴν μητέρα.“ Ἀλλὰ τούτων μὲν ἴσως κρατῆσαι τῶν ἐντολῶν οὐ πάνυ χαλεπόν· ἔργον δέ ἐστιν ὡς μεῖζον, καὶ χρήσιμον τοῖς[7]) διὰ

---

[1]) Jes. I, 23.

[2]) H. et R. ἐν δὲ μθ'. ψαλμῷ (i. e. *in Psalmo autem* XLIX.).

[3]) Psalm. L, 16. (XLIX.)

[4]) Ibid. L, 18. (XLIX.)

[5]) Ed. R. τό. — Psalm. L, 18. (XLIX.)

[6]) Matth. XIX, 19.

[7]) H. et R. in textu: τοῖς διὰ τῶν προτέρων εἰσαχθέντων εἰς αὐτήν, H. tamen in notis: „jurare ausim sic scripsisse Origenem: τοῖς διὰ τῶν προτέρων εἰσαχθεῖσιν εἰς αὐτήν. Vetus interpres: *opus autem est omnibus qui per mandata praecedentia inducuntur, quasi majus et utilius.* Ad προτέρων subaudi: ἐντολῶν, ad αὐ-

των προτέρων εἰσαχθέντων εἰς αὐτὴν, τό· „ἀγαπήσεις[1]) τὸν πλησίον σου ὡς[2]) σεαυτόν·“ πληρῶσαι. Ἐπεὶ δὲ καὶ κατὰ τὸν Ἀπόστολον τό· „οὐ φονεύσεις·[3]) οὐ μοιχεύσεις· οὐ κλέψεις· καὶ εἴ τις ἑτέρα ἐντολὴ, ἐν τῷ λόγῳ τούτῳ ἀνακεφαλαιοῦται, ἐν τῷ· ἀγαπήσεις[4]) τὸν πλησίον σου ὡς σεαυτόν·“ τέλειος δὲ ὁ πᾶσαν πληρώσας ἐντολὴν, δηλονότι τέλειος ἂν εἴη ὁ πληρώσας τήν· „ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν·“ ἐντολήν.

14. Εἰ δὲ τέλειος οὗτος, ζητήσαι τις ἂν, πῶς τοῦ νεανίσκου εἰπόντος· „ταῦτα[5]) πάντα ἐφυλαξάμην ἐκ νεότητός μου· τί ἔτι ὑστερῶ;“ ἀπεκρίνατο ὁ Σωτὴρ, ὡς μὴ τελείου ὄντος τοῦ ταῦτα πάντα πεποιηκότος, καὶ ὡς συγκατατιθέμενος τῷ· ταῦτα πάντα ἐποίησα, τό· „εἰ θέλεις[6]) τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι.“ Πρόσχες οὖν, εἰ δυνάμεθα πρὸς τὴν προκειμένην ζήτησιν καθ' ἕνα μὲν τρόπον οὕτως ἀπαντῆσαι, ὅτι μήποτε τό· „ἀγαπήσεις[7]) τὸν πλησίον σου ὡς σεαυτόν·“ ὑπονοεῖσθαι δύναται, ὡς οὐχ ὑπὸ τοῦ Σωτῆρος ἐνταῦθα παρειλῆφθαι, ἀλλ' ὑπό τινος, τὴν ἀκρίβειαν μὴ νοήσαντος τῶν λεγομένων, προστεθεῖσθαι. Συναγορεύσει δὲ τῇ ὑπονοήσει τοῦ προστεθεῖσθαι ἐνταῦθα

τήν subaudi: ζωήν. Codd. tamen Holm. et Reg. habent εἰσαχθέντων.“

[1]) Matth. XIX, 19.

[2]) H. et R. h. l., cfr. pag. huj. not. 4. coll. pag. 352 not. 4., ὡς ἑαυτόν.

[3]) Rom. XIII, 9. coll. edd. N. T., Exod. XX, 12. seqq. et Deut. V, 17. seqq.

[4]) Matth. XIX, 19.

[5]) Matth. XIX, 20. Ed. Knapp. πάντα ταῦτα ἐφυλαξάμην, ed. Lachm. ταῦτα πάντα ἐφύλαξα κτλ.

[6]) Matth. XIX, 21. Ed. Lachm. τοῖς πτωχοῖς.

[7]) Matth. XIX, 19. H. et R. h. quoque l., cfr. pag huj. not. 2., ὡς ἑαυτόν.

τό· „ἀγαπήσεις[1]) τὸν πλησίον σου ὡς σεαυτόν·“ ἡ τῶν ὁμοίων παρὰ τῷ Μάρκῳ καὶ τῷ Λουκᾷ ἔκθεσις, ὧν οὐδέτερος προστέθεικε ταῖς κατὰ τὸν τόπον ὑπὸ τοῦ Ἰησοῦ[2]) παραληφθείσαις ἐντολαῖς τό· „ἀγαπήσεις[3]) τὸν πλησίον σου ὡς σεαυτόν.“ Καὶ φήσει γε ὁ κρατύνων τὸ περὶ τοῦ προσεῤῥίφθαι ἀκαίρως τήν·[4]) „ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν·“ ἐντολὴν, ὅτι εἰ τὰ αὐτὰ διαφόροις λέξεσι παρὰ τοῖς τρισὶν ἀναγέγραπται, οὐκ ἂν τό· „ἕν[5]) σοι ὑστερεῖ·“ ἤ· „ἔτι ἕν σοι λείπει·“ εἰρήκει ὁ Ἰησοῦς τῷ ἐπαγγειλαμένῳ πεπληρωκέναι τήν· „ἀγαπήσεις[6]) τὸν πλησίον σου ὡς[7]) σεαυτόν·“ ἐντο-

---

1) Matth. XIX, 19. H. et R. h. l. et seqq., cfr. pag. 354. not. 2. et 7., ὡς σεαυτόν.

2) H. ad marg., R. in notis: „Cod. Reg.: σωτῆρος.“

3) Matth. XIX, 19. coll. pag. huj. not. 1.

4) H. et R. τό. Cfr. Matth. XIX, 19. coll. pag. huj. not. 1. et 3.

5) Marc. X, 21. — Luc. XVIII, 22.

6) Matth. XIX, 19. coll. pag. huj. not. 4.

7) H. et R. in textu: εἰρήκει — ὡς σεαυτόν. Ἀλλ᾽ ἐπεὶ καὶ κατὰ τὸν Μάρκον, — ἔοικε συγκατατεθεῖσθαι — ἃ ἐπηγγείλατο πεπληρωκέναι. [ἐντολήν. Μάλιστα εἰ κατὰ τον ἀπόστολον τό· οὐ φονεύσεις, καὶ τό· εἴ τις ἑτέρα ἐντολὴ ἐν τῷ λόγῳ τούτῳ ἀνακεφαλαιοῦται, τῷ· ἀγαπήσεις — ὡς σεαυτόν.] Ἐνατενίσας γὰρ αὐτοῦ κτλ., H. tamen in notis haec habet: „locum hunc intactum reliquimus, quem tamen insigni trajectione deformatum esse, ex veteris interpretationis, et ex sententiae obscuritate liquet; quanquam hic, ut in aliis fere omnibus, consentiant Codd. nostri, ut ex eodem fonte utrumque profluxisse non vana suspicio sit. Hunc ergo locum sic sanaveris: εἰρήκει ὁ Ἰησοῦς τ. ἐπαγγ. πεπληρ. τὴν, ἀγαπήσ. τ. πλησίον σου ὡς σεαυτὸν, ἐντολὴν, μάλιστα εἰ κατὰ τὸν ἀπόστ. τό· οὐ φονεύσεις, καὶ εἴ τις ἑτέρα ἐντολὴ, ἐν τ. λόγῳ τούτῳ ἀνακεφαλαιοῦται, τῷ· ἀγαπήσεις — ὡς σεαυτόν· ἀλλ᾽ ἐπεὶ καὶ κατὰ τὸν Μάρκον· ἐμβλέψας —

λὴν, μάλιστα εἰ κατὰ τὸν Ἀπόστολον τό· „οὐ[1]) φονεύσεις·“ καὶ τὰ ἑξῆς· „καὶ εἴ τις ἑτέρα ἐντολὴ, ἐν τῷ λόγῳ τούτῳ ἀνακεφαλαιοῦται, ἐν τῷ· ἀγαπήσεις[2]) τὸν πλησίον σου ὡς σεαυτόν.“ Ἀλλ' ἐπεὶ καὶ κατὰ τὸν Μάρκον, ἐμβλέψας[3]) τῷ πλουσίῳ τούτῳ εἰπόντι· „πάντα ταῦτα ἐφύλαξα ἐκ νεότητός μου“ ἠγάπησεν αὐτὸν, ἔοικε συγκατατεθεῖσθαι τῷ πεποιηκέναι ἃ ἐπηγγείλατο πεπληρωκέναι· ἐνατενίσας γὰρ αὐτοῦ τῇ διανοίᾳ, εἶδεν ἄνθρωπον εὐσυνειδήτως[4]) ἐπαγγειλάμενον πεπληρωκέναι τὰς προκειμένας ἐντολάς. Οὐκ ἂν δὲ εἰρημένου πρὸς ταῖς ἑτέραις ἐντολαῖς καὶ τοῦ· „ἀγαπήσεις[5]) τὸν πλησίον σου ὡς σεαυτόν“ τὴν κεφαλαιωδεστέραν καὶ διαφέρουσαν παρέλιπον ἐντολὴν ὁ Μάρκος καὶ ὁ Λουκᾶς· ἐὰν μὴ ἄρα τις ὅμοια μὲν φήσαι εἶναι τὰ γεγραμμένα, οὐ περὶ τοῦ αὐτοῦ δὲ[6]) λελέχθαι. Πῶς δὲ καὶ ὡς οὐδέπω τελείῳ

εἰπόντι· πάντα — νεότητός μου, —, ἔοικε — ἃ ἐπηγγείλατο πεπληρωκέναι· ἐνατενίσας γὰρ αὐτοῦ κ. τ. λ. Vetus interpres: dixisset domino ...... ei qui professus est, se implevisse mandatum, quod ait: diliges proximum tuum sicut te ipsum, maxime si secundum Apostolum, quod dicitur: non occides, et caetera, et si quod aliud est mandatum, in hoc verbo recapitulatur: diliges proximum tuum sicut te ipsum. Nam secundum Marcum sic dicit: intendens in eum qui dixerat: omnia servavi a juventute mea, dilexit eum, vel, osculatus est eum. Videtur enim affirmasse professionem ejus qui dixit se omnia implevisse. Intendens enim etc.“

[1]) Rom. XIII, 9. coll. pag. 354. not. 3.

[2]) Matth. XIX, 19.

[3]) Marc. X, 21. — Vers. 20. Ed. Knapp. ταῦτα πάντα ἐφυλαξάμην κ. τ. λ.

[4]) H. ad marg., R. in notis: „Cod. Regius: εὐσυνειδότως.“

[5]) Matth. XIX, 19.

[6]) Desideratur δέ in editione R.

τῷ πρὸς ἑτέροις ἐπαγγειλαμένῳ[1]) καὶ τήν· „ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν·“ ἐντολὴν πεπληρωκέναι[2]) ἔφη ὁ Ἰησοῦς τό· „εἰ θέλεις[3]) τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς,“ καὶ τὰ ἑξῆς: Καὶ εἰ μὲν μὴ καὶ περὶ ἄλλων πολλῶν διαφωνία ἦν πρὸς ἄλληλα τῶν ἀντιγράφων, ὥστε πάντα τὰ κατὰ Ματθαῖον μὴ συνᾴδειν ἀλλήλοις, ὁμοίως δὲ καὶ τὰ λοιπὰ εὐαγγέλια, κἂν ἀσεβής τις ἔδοξεν εἶναι ὁ ὑπονοῶν ἐνταῦθα προσεῤῥίφθαι, οὐκ εἰρημένην ὑπὸ τοῦ Σωτῆρος πρὸς τὸν πλούσιον, τήν· „ἀγαπήσεις[4]) τὸν πλησίον σου ὡς σεαυτόν·“ ἐντολήν. Νυνὶ δὲ δηλονότι πολλὴ γέγονεν ἡ τῶν ἀντιγράφων διαφορά, εἴτε ἀπὸ ῥαθυμίας τινῶν γραφέων, εἴτε ἀπὸ τόλμης τινῶν μοχθηρᾶς τῆς διορθώσεως τῶν γραφομένων, εἴτε καὶ ἀπὸ τῶν τὰ ἑαυτοῖς δοκοῦντα ἐν τῇ διορθώσει προστιθέντων ἢ ἀφαιρούντων. Τὴν μὲν οὖν ἐν τοῖς ἀντιγράφοις τῆς παλαιᾶς διαθήκης διαφωνίαν, θεοῦ διδόντος, εὕρομεν ἰάσασθαι, κριτηρίῳ χρησάμενοι ταῖς λοιπαῖς ἐκδόσεσιν· τῶν γὰρ ἀμφιβαλλομένων παρὰ τοῖς Ἑβδομήκοντα διὰ τὴν τῶν ἀντιγράφων διαφωνίαν, τὴν κρίσιν ποιησάμενοι ἀπὸ τῶν λοιπῶν ἐκδόσεων, τὸ συνᾷδον ἐκείναις ἐφυλάξαμεν, καί τινα μὲν ὠβελίσαμεν ἐν τῷ ἑβραϊκῷ μὴ κείμενα, οὐ τολμήσαντες αὐτὰ πάντη περιελεῖν· τινὰ δὲ μετ᾽ ἀστερίσκων προσεθήκαμεν, ἵνα δῆλον ᾖ, ὅτι μὴ κείμενα παρὰ τοῖς Ἑβδομήκοντα ἐκ τῶν λοιπῶν ἐκδόσεων συμφώνως τῷ ἑβραϊκῷ προσεθήκαμεν· καὶ ὁ μὲν βουλόμενος πρόηται αὐτά· ᾧ δὲ προσκόπτει τὸ τοιοῦτον, ὃ βούλεται περὶ τῆς παραδοχῆς αὐτῶν, ἢ μή, ποιήσῃ. Ὁ τοί-

---

[1]) ἐπαγγειλαμένῳ. Sic uterque Cod. Msc. Editio autem Huetii: ἀπαγγειλαμένῳ. R. — Matth. XIX, 19.

[2]) H. et R. in textu πεπληρωκότι, R. tamen in notis: „forte legendum: πεπληρωκέναι.“

[3]) Matth. XIX, 21. coll. pag. 354. not. 6.

[4]) Ibid. XIX, 19.

νυν θέλων μὴ παρεῤῥίφθαι ἐνταῦθα τήν· „ἀγαπήσεις[1]) τὸν πλησίον σου ὡς σεαυτόν“ ἐντολὴν, ἀλλ' ἀληθῶς ὑπὸ τοῦ κυρίου μετὰ τὰς προτέρας εἰρῆσθαι τότε, ἐρεῖ, ὅτι ἠρέμα καὶ ἀμέσως ἐλέγξαι βουλόμενος ὁ Σωτὴρ ἡμῶν τὸν πλούσιον ἐκεῖνον, ὡς οὐκ ἀληθεύοντα ἐν τῷ εἰρηκέναι καὶ τήν· „ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν“ ἐντολὴν τετηρηκέναι, ἔφη αὐτῷ τό· „εἰ θέλεις[2]) τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς“ οὕτως γὰρ φανήσῃ ἀληθεύων περὶ[3]) τοῦ, τήν· „ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν“ ἐντολὴν τετηρηκέναι.

15. Ἐὰν δέ τις, τῇ ἀνθρωπίνῃ ἐνορῶν ἀσθενείᾳ, καὶ τῷ δυσκόλως ἄν τινα τὸ τοιοῦτον ὑπὲρ τῆς ἐν θεῷ τελειότητος ποιῆσαι, καταφρονῇ μὲν τῆς λέξεως, τράπηται δὲ ἐπ' ἀλληγορίας, δυσωπηθήσεται ἔκ τινων καὶ ἑλληνικῶν ἱστοριῶν, ἐν οἷς διὰ τὴν παρ' Ἕλλησι σοφίαν ἱστοροῦνταί τινες τὸ ἐνταῦθα τῷ πλουσίῳ ὑπὸ τοῦ Σωτῆρος εἰρημένον πεποιηκέναι· Κράτητα γὰρ τὸν Θηβαῖον, ἑλόμενον δι' ἐλευθερίαν καὶ παράδειγμα εὐτελοῦς βίου, καὶ ὡς ᾤετο μακάριον ἑαυτὸν παραστῆσαι βουλόμενον τοῖς Ἕλλησι, μηδενὸς χρήζοντα, φασὶν ἀποδόμενον πᾶσαν τὴν οὐσίαν τῷ Θηβαίων δήμῳ δεδωρῆσθαι, μετὰ τοῦ εἰρηκέναι· „ὅτι σήμερον ὁ Κράτης Κράτητα ἐλευθεροῖ.“ Εἴπερ δὲ δι' ἑλληνικὴν σοφίαν, καὶ δόγματα ἑλόντα τὴν ψυχὴν ἀνθρώπου, τὸ τοιοῦτόν τις πεποίηκε, πῶς οὐχὶ μᾶλλον δυνατὸν, τὸ τοιοῦτον πρᾶξαί τινα μνώμενον ἑαυτῷ τὴν τελειότητα; Εἰ δὲ καὶ ἀπὸ τῆς θείας γραφῆς πεισθῆναί τις βούλεται περὶ τοῦ πρᾶγμα[4]) δυνα-

---

[1]) Matth. XIX, 19.

[2]) Ibid. XIX, 21. coll. pag. 354. not. 6.

[3]) H. et R. in textu: περὶ τοῦ, ἀγαπήσεις κ. τ. λ., R. tamen in notis: „forte legendum: περὶ τοῦ, τήν, ἀγαπήσεις.“ Matth. XIX, 19.

[4]) H. et R. in textu: σπέρμα, H. tamen ad oram: „fortasse: πρᾶγμα, vel, χρῆμα.“ Idem in notis: „vetus

τὸν εἶναι τὸ τοιοῦτον, ἀκουσάτω τῶν ἱστορουμένων ὑπὸ τοῦ Λουκᾶ ἐν ταῖς τῶν ἀποστόλων Πράξεσι περὶ τῶν προτραπέντων ὑπὸ τῆς ἐν τοῖς ἀποστόλοις δυνάμεως πιστεύειν, καὶ βιοῦν τελείως κατὰ τὸν Ἰησοῦ λόγον. Οὕτως δ' ἔχει τὰ ῥητά [1]) „πάντες [2]) δὲ οἱ πιστεύσαντες ἐπὶ τὸ αὐτὸ, εἶχον ἅπαντα κοινὰ," καὶ τὰ ἑξῆς, ἕως τοῦ· „αἰνοῦντες τὸν θεὸν, καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν λαόν." Καὶ μετ' ὀλίγα πάλιν ἐν τῇ αὐτῇ γέγραπται βίβλῳ, ὅτι „τοῦ πλήθους [3]) τῶν πιστευόντων ἦν καρδία καὶ ψυχὴ μία," καὶ τὰ ἑξῆς, ἕως τοῦ· „ἤγαγε [4]) τὸ χρῆμα, καὶ ἔθηκε παρὰ τοὺς ἀποστόλους." Εἶτα ἐπιφέρεται τούτοις τὰ περὶ τοῦ Ἀνανίου καὶ τῆς Σαπφείρας, ἀποδομένων μὲν κτῆμα ἑαυτῶν, νοσφισαμένων δὲ ἀπὸ τῆς τιμῆς, καὶ οὐχ ὅλον, ἀλλὰ μέρος ἀποθεμένων παρὰ τοῖς τῶν ἀποστόλων ποσὶ, [5]) καὶ διὰ τοῦτο ἐπὶ ἁμαρτίᾳ παθόντων τὰ ἀναγεγραμμένα· ἄξιοι γὰρ ἦσαν τοῦ ἐκ θείας ἐπισκοπῆς ἀπολαβεῖν ἐνταῦθα τὸ ἡμαρτημένον διὰ τὸν [6]) νοσφισμὸν, ἵνα καθαρώτεροι ἀπαλλαγῶσιν ἀπὸ τοῦ βίου, τιμωρηθέντες τῇ ἀπαντησάσῃ αὐτοῖς παιδεύσει ἐν κοινῷ θανάτῳ, διὰ τὸ καὶ πεπιστευ-

---

interpres: *si autem et de divinis scripturis placari quis vult, quoniam possibile est quod praecepit Christus.* Pro, σπέρμα, legendum foret: πρᾶγμα, vel χρῆμα, vel aliquid ejusmodi."

[1]) H. ad marg., R. in notis: „Cod. Reg.: ῥήματα."

[2]) Act. II, 44. Edd. N. T. πάντες δὲ οἱ πιστεύοντές ἦσαν ἐπὶ τὸ αὐτὸ, καὶ εἶχον κ. τ. λ. — Vers. 47.

[3]) Ibid. IV, 32. Ed. Knapp. τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία, ed. Lachm τῶν πιστευσάντων ἦν καρδία καὶ ψυχὴ μία.

[4]) Act. IV, 37. Edd. N. T. ἤνεγκε τὸ — παρὰ τοὺς πόδας τῶν ἀποστόλων. Cfr. de verbis παρὰ τοὺς πόδας κ. τ. λ. pag. huj. not. 5. et pag. 360. not. 1.

[5]) Cfr. pag. huj. not. 4. et pag. 360. not. 1.

[6]) Desideratur τόν in ed. R.

κέναι, καὶ μέρος τι παρὰ[1]) τοὺς πόδας τῶν ἀποστόλων τεθηκέναι. Δοκεῖ δέ μοι, ὅτι ἀκούων Ἀνανίας τοὺς λόγους τούτους, διὰ τοῦτο πεσὼν[2]) ἀπέψυξεν, ἐπεὶ οὐκ ἤνεγκε τὸν ἔλεγχον, ἀλλὰ βασανιζόμενος τοσοῦτον ἐκολάσθη, καὶ ὡς ἐκψύξαι, καθικομένων τῶν λόγων Πέτρου τῆς ψυχῆς αὐτοῦ. Καὶ οὐ Πέτρον γε νομιστέον ἐνταῦθα ἀνῃρηκέναι τὸν Ἀνανίαν, ἀλλ' ἐκεῖνον μὴ ὑπομεμενηκέναι τὴν σφοδρότητα τοῦ εἰπόντος πρὸς αὐτὸν Πέτρου· „διὰ[3]) τί ἐπλήρωσεν ὁ σατανᾶς τὴν καρδίαν σου;" καὶ τὰ ἑξῆς, ἕως τοῦ· „καὶ ἐγένετο φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας." Εἰκὸς δὲ πρὸς τὴν τοῦ Ἀνανίου ἀπόδοσιν, ἐν ᾗ περὶ τοῦ Πέτρου ἀπελογησάμεθα, ἐνστήσασθαί[4]) τινα διὰ τὴν[5]) Σάπφειραν, ἐπεὶ αὕτη „μὴ εἰδυῖα[6]) τὸ γεγονὸς εἰσῆλθε, καὶ ἀπεκρίθη πρὸς αὐτὴν ὁ Πέτρος λέγων· εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε; Εἰπούσης δὲ[7]) αὐτῆς· τοσούτου· ὁ Πέτρος πρὸς αὐτήν φησι· τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ πνεῦμα κυρίου; Ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ[8]) θύρᾳ, καὶ ἐξοίσουσί σε· ἔπεσε γὰρ παραχρῆμα καὶ αὐτὴ πρὸς τοὺς πόδας αὐτοῦ, καὶ ἐξέψυξεν." Ἀλλὰ λεχθείη ἄν, ὅτι κἀκείνη ἐπιπλησσομένη καὶ βαρηθεῖσα τὴν ψυχήν, πὴ[9]) μὲν ὑπὸ τοῦ ἐπὶ τῇ ἁμαρτίᾳ ἐλέγχου, πὴ δὲ ἐπὶ τῇ τοῦ ἀνδρὸς συμφορᾷ, καὶ λύπῃ τῇ περὶ αὐτοῦ, πὴ δὲ ἐπὶ τῇ κατὰ τὸν θεὸν λύπῃ, ἐξέψυξε, προεωρακότος τοῦ Πέτρου τῷ πνεύματι τὸ ἀπαντησόμενον

---

[1]) Cfr. pag. 359. not. 4 et 5.

[2]) Act. V, 5.

[3]) Ibid. V, 3. — 5. Ed. Knapp. ἀκούοντας ταῦτα.

[4]) H. et R. in textu ἐνστήσασθαι, H. tamen ad marg., R. in notis: „forte legendum: ἐνστήσεσθαι."

[5]) Desideratur τήν in ed. R.

[6]) Act. V, 7—10. coll. edd. N. T.

[7]) Deest δέ in edd. H. et R.

[8]) H. ad marg., R. in notis: „Cod. Reg.: τὴν θύραν."

[9]) H. et R. πῇ μέν, et bis πῇ δέ.

αὐτῇ. Ταῦτα δὲ ἡμῖν ὅλα εἴρηται, βουλομένοις κατασκευάσαι τὸ δυνατὸν εἶναι, βουληθέντα τινὰ τέλειον γενέσθαι, πεισθῆναι τῷ Ἰησοῦ λέγοντι· „ὕπαγε, [1]) πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς.“ Γενναίων δ' οἶμαι, καὶ ἐχόντων τὰ χαρακτηρίζοντα τὸν ἐπίσκοπον πάντα, ἔργον ἦν, προτρέψασθαι τοὺς καὶ δυναμένους, καὶ πειθομένους τῇ προτροπῇ, καὶ διὰ τοῦ παρέχειν ἐκ τοῦ κοινοῦ αὐτοῖς τὰ ἐφόδια καὶ ἄλλους ἐπὶ τοῦτο παρακαλεῖν· ἐγένετο γὰρ ἂν εἰκών τις τοῦ κατὰ τοὺς ἀποστόλους τῆς συμφωνίας τῶν πιστευόντων βίου.

16. Ζητήσαι δ' ἄν τις, ὅτι εἴπερ τέλειός ἐστιν ὁ [2]) πάσας ἔχων τὰς ἀρετὰς, καὶ μηκέτι ἀπὸ κακίας πράττων, πῶς τέλειος γένοιτ' ἂν ὁ πωλήσας ἑαυτοῦ τὰ ὑπάρχοντα, καὶ δοὺς τοῖς [3]) πτωχοῖς. Ἔστω γάρ τινα τοῦτο πεποιηκέναι, πῶς [4]) ἂν καὶ ἀόργητος γένοιτ' ἂν ἀθρόως, εἰ τύχοι εὐέμπτωτος ὢν εἰς ὀργήν; πῶς δὲ καὶ ἄλυπος, καὶ κρείττων παντὸς οὑτινοσοῦν [5]) συμβῆναι δυναμένου, τὴν λύπην προκαλουμένου; πῶς δὲ καὶ ἔξω φόβου πάντη ἔσται, τοῦ περὶ πόνων, ἢ θανάτου, ἢ τῶν ὅσα δύναται τὴν ἔτι ἀτελεστέραν ψυχὴν φοβῆσαι; τίνα δὲ τρόπον ὁ ἀποδόμενος τὰ ὑπάρχοντα καὶ διαδοὺς πτωχοῖς, [6]) ἐκτὸς ἔσται πάσης ἐπιθυμίας; λέγοι γὰρ ἄν τις, ὅτι δυνατὸν παρ' αὐτὸ τὸ ἀποδίδοσθαι πάντα τὰ ὑπάρχοντα, παθόντα τι ἀνθρώπινον ὑπὸ τῆς πενίας, μετανοῆσαι μὲν ἐπὶ τῷ τετολμημένῳ, ἐπιθυμῆσαι δὲ τῆς παραπλησίου κτήσεως. Εἰ δὲ καὶ ἡ λεγομένη ἡδονὴ, ἄλογος οὖσα ἔπαρσις τῆς ψυχῆς, πάθος ἐστὶ, πῶς ἄν τις

---

1) Matth. XIX, 21. coll. pag. 354. not. 6.
2) Desideratur ὁ in ed. Coloniensi.
3) H. et R. h. l., cfr. pag. huj. not. 1., τοῖς πτωχοῖς.
4) H. ad marg., R. in notis: „Cod. Reg.: πῶς δ' ἄν.“
5) Ed. H. οὑτινοσοῦν, ed. R. οὐ τινὸς οὖν.
6) Edd. Huetianae minus recte: πτωχῶς.

ἅμα τε ἀποδοῖτο [1]) πάντα τὰ ὑπάρχοντα, καὶ διδώῃ πτωχοῖς, ἅμα δὲ ἀπαλλαγείη τοῦ ἀλόγως ἐπαίρεσθαι; Προσθείη δ' ἄν τις τῇ ἐπαπορήσει, ὅτι πῶς δύναται παρὰ τὸ ἀποδεδόσθαι τὰ ὑπάρχοντα, καὶ πτωχοῖς τις διαδεδωκέναι, σοφὸς γενέσθαι τὴν τοῦ θεοῦ σοφίαν, ὥστε λόγον διδόναι παντὶ τῷ ἐρωτῶντι αὐτὸν περὶ τῆς ἐν αὐτῷ πίστεως, περὶ ἑκάστου τῶν πεπιστευμένων, καὶ περὶ τῶν ἐν ταῖς ἱεραῖς γραφαῖς κεκρυμμένως εἰρημένων. Ὅρα δὲ, ὅτι γενική ἐστιν ἡ ἐπαπόρησις, ἤτοι [2]) γενναία καὶ οὐκ εὔλυτος· εἴτε γὰρ παρ' αὐτὸ τοῦτο μόνον φήσομέν τινα τέλειον γεγονέναι, κἂν μὴ ἀναλαβὼν ᾖ ἃ ἐξεθέμεθα, ἀτόπῳ περιπεσούμεθα λέγοντες εἶναί τινα καὶ τέλειον ἅμα καὶ ἁμαρτωλόν· ἁμαρτωλὸς γὰρ ὁ ὀργίλος, καὶ ὁ τὴν τοῦ κόσμου λύπην λυπούμενος, καὶ ὁ τὰ ἐπίπονα καὶ θάνατον φοβούμενος, καὶ ἐπιθυμῶν τῶν ἀπόντων, καὶ ἀλόγως ἐπαιρόμενος τὴν ψυχὴν, ὡς ἐπ' ἀγαθοῖς, τοῖς οὐκ ἀγαθοῖς. Εἴτε ἅμα τῷ ἀποδόσθαι τινὰ τὴν οὐσίαν, καὶ διαδοῦναι πτωχοῖς, φήσομεν αὐτὸν ὡσπερεὶ θεόληπτον γενόμενον πάσας τὰς ἀρετὰς ἀνειληφέναι, καὶ πᾶσαν κακίαν ἀποτεθεῖσθαι, πιστῶς μὲν, ἵνα κοινότερον ὀνομάσω, ἐροῦμεν, οὐκ οἶδα δὲ εἰ ἀληθῶς· καὶ τάχα καταγελάσονται ἡμῶν, ὡς οὐ φρόνιμα λεγόντων, οἱ ἀκούσαντες τοιαύτης λύσεως προσαγομένης τῷ ἐπηπορημένῳ.

17. Φρονιμώτερον οὖν τις δόξαι ἂν τηρῶν τὰ τῆς λέξεως, καὶ μηδαμῶς τροπολογῶν τὰ κατ' αὐτὴν, οὕτως ἀπαντῶν, [3]) ὡς πιστὸς μὲν, εἰ δὲ καὶ ἀξίως τῶν [4]) κατὰ τὸν τόπον νοῶν [5]) τὰ λεγόμενα, ἢ μὴ, καὶ αὐτὸς κρινεῖς.

---

[1]) H. et R. ἀποδῷτο.

[2]) ἤτοι — εὔλυτος. Verba haec in contextum irrepsisse probat Cod. Regius, qui ea non agnoscit. Huetius.

[3]) H. et R. in notis: „forte legendum: ἀπαντᾷν."

[4]) Deest τῶν in ed. Coloniensi.

[5]) Editio Ruaei: νοῶ.

Φήσει οὖν, ὅτι εἴπερ βοηθεῖται ὁ τοῖς πένησι μεταδιδοὺς, ὑπὸ τῆς ἐκείνων εὐχῆς, πρὸς τὴν ἑαυτοῦ σωτηρίαν λαμβάνων τὸ ἐν τοῖς δεομένοις τῶν χρηματικῶν ἐν πνευματικοῖς περίσσευμα, εἰς τὸ ἑαυτοῦ ὑστέρημα, ὡς ὑπέφηνεν ὁ Ἀπόστολος ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ, [1]) *τίς ἂν ἄλλος τοῦτο πάθοι, καὶ μεγάλην βοήθειαν βοηθηθείη, ἐπακούοντος τοῦ θεοῦ ταῖς τῶν τοσούτων πενήτων ἀναπεπαυμένων εὐχαῖς, ἐν οἷς τάχα ἂν εἶέν τινες παραπλησίως τοῖς ἀποστόλοις, ἢ ὀλίγῳ ὑποδεέστεροι* [2]) *αὐτῶν, πένητες μὲν ἐν τοῖς σωματικοῖς ὡς ἐκεῖνοι, πλουτοῦντες δὲ ἐν τοῖς πνευματικοῖς; Οὗτος δὴ ὁ ἀνθυπαλλασσόμενος ἀντὶ πλούτου πενίαν, ὑπὲρ τοῦ τέλειος γενέσθαι, πεισθεὶς τοῖς Ἰησοῦ* [3]) *λόγοις, ἀθρόως ἂν βοηθηθείη, ὡς καὶ οἱ ἀπόστολοι τοῦ Χριστοῦ, πρὸς τὸ γενέσθαι σοφὸς ἐν Χριστῷ, καὶ ἀνδρεῖος, καὶ δίκαιος, καὶ σώφρων, καὶ ἐκτὸς παντὸς πάθους. Φήσει δὲ ὁ οὕτως ἀπολογούμενος, ὅτι οὐκ ἀνάγκη τοῦτο νοηθῆναι αὐτῆς ἡμέρας ἀπαντῆσαι τῷ ἀποδεδομένῳ τὰ ὑπάρχοντα, καὶ διδόντι πτωχοῖς, ἀλλ' ἴσως ἀπ' ἐκείνης μὲν τῆς ἡμέρας ἄρξεται ἡ θεία ἐπισκοπὴ ἐπὶ τὰ τοιαῦτα αὐτὸν ἄγειν· — λέγω δὲ τὴν ἐπαινετὴν ἀπάθειαν, καὶ πᾶσαν τὴν ἀρετήν· — προβαίνων δὲ ὡς ὁ Ἰσαὰκ* [4]) *διὰ τὴν ἀπὸ τοῦ θεοῦ εἰς αὐτὸν ἐν Χριστῷ βοήθειαν, μείζων ἔσται, ἕως οὗ αὐξάνων μέγας γένηται σφόδρα σφόδρα* [5]) *ἐν πάσῃ ἀρετῇ, πάσης ἐξαφανισθείσης τῆς κακίας ἀπὸ*

---

[1]) II Cor. VIII, 14.

[2]) H. et R. in textu: *ὑποδεεστέροις*, H. tamen in notis: „ita Cod. Holm.; at Cod. Regius *ὑποδεέστερος*. Forte legendum: *ὑποδεεστέρως*. Vetus interpres: *qui tamen similes sunt Apostolis, aut paulo inferiores*, videtur legisse: *ὑποδεέστεροι*.“

[3]) H. ad marg., R. in notis: „Cod. Regius: *θεοῦ*.“

[4]) Gen. XXVI, 13.

[5]) H. et R.: *σφόδρα σφόδρα κ. τ. λ.*

τῆς ψυχῆς αὐτοῦ. Καὶ οὐκ ἀναγκασθήσεταί γε ὁ ταύτην ἀποδεδωκὼς τὴν διήγησιν εἰπεῖν, τέλειον παρ' αὐτὸ τοῦτο γενέσθαι ἄνθρωπον τὰ ἄλλα ἁμαρτάνοντα.

18. *Ἕτερος δὲ, οὐκ οἶδα μὲν εἰ σκάζων τῇ πίστει, φαντασίᾳ τοῦ διαβαίνειν ἐπὶ τὴν φρόνησιν, οὐκ οἶδα δὲ εἰ καὶ μέγεθός τι ζητήσας καὶ εὑρὼν εἰς τοὺς τόπους νοημάτων ἀξίων τοῦ θεοῦ, καταλιπὼν τὴν λέξιν ἐπὶ τροπολογίαν ἀναβήσεται, καὶ ἐρεῖ, ὑπάρχοντα ἑκάστῳ εἶναι τὰ ἑπόμενα αὐτῷ μετὰ τὴν ἔξοδον, ὡς εἶναι τῶν ὑπαρχόντων δικαίοις μὲν ἀγαθὴν ὕπαρξιν, φαύλοις δὲ τὴν ἐναντίαν. Ἐνταῦθα οὖν φήσει,*[1] *τὸν πολλὰ ἔχοντα κτήματα πλούσιον σύμβολον εἶναι τοῦ πολλὰ κεκτημένου φαῦλα, ἐν οἷς εἶναι δύναται καὶ ἡ φιλοπλουτία, καὶ ἡ φιλοδοξία, καὶ ἄλλα γήϊνα πράγματα πεπληρωκότα αὐτοῦ τὴν ψυχὴν ψεκτοῦ πλούτου. Ἐπεὶ οὖν δύναταί ποτε ὁ οὕτως πλούσιος ἀπέχεσθαι μέν τινων φαύλων, ὡς μοιχείας, καὶ φόνου, καὶ κλοπῆς, καὶ ψευδομαρτυρίας, καὶ καθήκοντα δὲ ἀποδιδόναι πρὸς γονεῖς μετά τινος τιμῆς, εἶναι δέ τις καὶ φιλάνθρωπος πρὸς τὸν πλησίον, οὐ μὴν καὶ τέλειος, συμβολικῶς τῷ τοιούτῳ προστάσσει ὁ Σωτὴρ ἀποδόσθαι τὰ μοχθηρὰ ὑπάρχοντα, καὶ ὡσπερεὶ παραδοῦναι αὐτὰ ταῖς ἐνεργηκυίαις αὐτὰ δυνάμεσι, πτωχευούσαις παντὸς καλοῦ, καὶ διὰ τοῦτο μὴ ὑφισταμέναις τὴν ἀπειλὴν, κατὰ τὸ γεγραμμένον· „πτωχὸς*[2] *δὲ οὐχ ὑφίσταται ἀπειλήν.“ Ἀλλ' εὖ οἶδ' ὅτι σφόδρα βίαιος εἶναι δόξει ἡ τοιαύτη ἀπόδοσις, λύουσα μὲν οὐκ ἀγεννῶς τὰ περὶ τελειότητος ἠπορημένα, οὐ πάνυ δὲ πείθουσά πως τὸ ἀποθέσθαι τὴν κακίαν, καὶ τὴν ἀπὸ κακίας ἀποδόσθαι ὕπαρξιν, καὶ δοῦναι πτωχοῖς. Ἐν τοιούτῳ προσκατειλημμένους τόπῳ*

---

[1]) H. et R. in textu: *οὖν φησι*. H. tamen ad marginem: „fortasse *φήσει*,“ in notis: „lege *φήσει*. Supra (cfr. pag. huj. lin. 8.) *ἀναβήσεται καὶ ἐρεῖ*.

[2]) Prov. XIII, 8.

ὁ ταύτῃ παριστάμενος [1]) τῇ δόξῃ φήσει, πεπληρῶσθαι τὸν ἁμαρτωλὸν πνευμάτων κατα τὴν ἀναλογίαν τῶν ἁμαρτημάτων, οἷον εἰ πόρνος εἴη, τοῦ λεγομένου ἐν τοῖς προφήταις πνεύματος [2]) πορνείας· εἰ δὲ θυμικὸς, πνεύματος θυμοῦ· οὕτω δὲ καὶ εἰ κατάλαλος, πνεύματος καταλαλιᾶς. Ταῦτα οὖν τις ἐκτήσατο τὰ ὑπάρχοντα φαῦλος ὤν, καὶ γενόμενος τῇ μετοχῇ τῶν χειρόνων πνευμάτων Τυφῶνος πολυπλοκώτερος. Ὥσπερ δ' ἐκτήσατο αὐτὰ, ὠνησάμενος προαιρέσει εἰκούσῃ τοῖς φαύλοις, οὕτως ἀποδοῖτο ἂν οἷς θέλει ὁ λόγος οὗτος πτωχοῖς, διὰ τοῦ πείθεσθαι τῷ Ἰησοῦ· ὡς γὰρ ἡ εἰρήνη τῶν ἀποστόλων πρὸς αὐτοὺς ἀνακάμπτει, [3]) ἐὰν μὴ υἱὸς εἰρήνης τύχοι εἶναι ὁ ἀκούων τό· „εἰρήνη ὑμῖν“ οὕτως ἡ πορνεία, καὶ πάντα τὰ ἁμαρτήματα, πάντα ἀνακάμψαι ἂν πρὸς τοὺς αἰτίους τῶν ἁμαρτημάτων πτωχούς. Καὶ ἔστι [4]) μὴ διστάσαι περὶ τοῦ τέλειον γίνεσθαι τὸν οὕτω πωλήσαντα πάντα τὰ ἀποδεδομένα ὑπάρχοντα, καὶ δόντα πτωχοῖς. Εἰ δὲ χρόνῳ πολλῷ ἀποδίδοται τὰ ὑπάρχοντα, καὶ πολλοῦ δεῖται χρόνου πρὸς τὸ δοῦναι αὐτὰ οἷς εἴπομεν πτωχοῖς, οὐδὲν ἂν κωλύοιτο [5]) ὁ λόγος χρόνῳ διδοὺς, κατ' ἀναλογίαν ὧν ἀποδέδοται τοῖς πτωχοῖς, τέλειον γίνεσθαι τὸν ταῦτα ποιοῦντα. Σαφῶς δὲ ὁ ταῦτα πράξας ἕξει θησαυρὸν ἐν οὐρανῷ, καὶ αὐτὸς γινόμενος ἐπουράνιος. Οἷος μὲν γὰρ ὁ χοϊκὸς, ὁ πονηρὸς δηλαδὴ, τοιοῦτοι καὶ οἱ χοϊκοί· καὶ οἷος ὁ ἐπουράνιος, τουτέστιν ὁ Χριστὸς, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. Ἐν τῷ οὖν αὐτοῦ μέρει, οὐρανῷ, ἕξει θησαυρὸν ὁ βουληθεὶς τέλειος γενέσθαι, καὶ πωλήσας πάντα τὰ ὑπάρ-

---

[1]) H. ad marg., R. in notis: „Cod. Regius: παραστησάμενος.“

[2]) Hos. IV, 12. et V, 4.

[3]) Luc. X, 6.

[4]) H. ad marginem: „Cod. Regius: ἔτι.“

[5]) Ed. Huetii: οὐδὲν ἂν κωλύοι τὸ ὁ λόγος κτλ.

χοντα, καὶ δοὺς τοῖς πτωχοῖς. Ἀλλὰ μὴ ὑπολάβῃς, τὸν τηλικοῦτον δύνασθαι ἐν τοῖς κατὰ τὰ βιωτικὰ πλουσίοις εὑρεθῆναι· τίς γὰρ αὐτῶν ἀπέδοτο τὴν φιλοπλουτίαν, καὶ τὴν, ἵν᾿ οὕτως ὀνομάσω, φιλοκοσμίαν; Τίς δὲ πάντη ἀπέδοτο τὸ πνεῦμα τῆς κενοδοξίας, ἵνα χωρήσῃ ἐν τῷ ἑαυτοῦ οὐρανῷ θησαυρὸν δόξης θεοῦ, καὶ πλούτου τοῦ ἐν παντὶ λόγῳ καὶ πάσῃ σοφίᾳ θεοῦ; Τίς δὲ ἀπέθετο τὸ πνεῦμα τῆς ἐπιθυμίας, καὶ τοῦ φόβου, καὶ τῆς ἡδονῆς, καὶ τῆς ὀργῆς; ἀγαπητὸν γὰρ ἐπὶ τῶν ἀποστόλων τὸ τοιοῦτον, φιλαλήθως ἐξετάζοντα τὰ πράγματα, ἀποφήνασθαι. Οὗτος δὲ καὶ δύναται ἀκολουθῆσαι τῷ Ἰησοῦ, ὁ, ὡς ἀποδεδώκαμεν, πάντα ἀποδόμενος, καὶ ἔχων θησαυρὸν ἐν οὐρανῷ· οὐ γὰρ περιέλκεται ὑπό τινος μοχθηροῦ κτήματος, ἵνα μὴ ἀκολουθῇ τῷ Ἰησοῦ.

19. Ἑξῆς δὲ τούτοις λέγεται, ὅτι „ἀκούσας[1]) τὸν λόγον ὁ νεανίσκος, ἀπῆλθε λυπούμενος· ἦν γὰρ ἔχων κτήματα πολλά.“ Καὶ ὄψει γε, ὡς πρὸς τὴν ἀναγωγὴν, τίνα τρόπον δυσαποσπάστως ἔχομεν τοῦ φρονεῖν τὸν πλοῦτον ἀγαθὸν εἶναι, ἢ τὴν κάτω δόξαν· ἀλλὰ καὶ μᾶλλον θέλομεν, ἐπεὶ ἀγαπῶμεν τὴν ἐπιθυμίαν, τυχεῖν τῶν καὶ[2]) φαύλως ἐπιθυμουμένων, ἢ ἀπαλλαγῆναι τῆς ἐπιθυμίας· καὶ μᾶλλον μὴ[3]) περιπεσεῖν οἷς φανταζόμεθα φοβεροῖς, ἤπερ ἀποθέσθαι τὸν ἐχθρὸν τῷ φόβῳ τοῦ θεοῦ φόβον. Ἀλλ᾿ οὐδὲ πρεσβύτερός τις εἰσῆκται καθεστηκὼς, οὐδὲ ἀνὴρ καταργήσας[4]) τὰ τοῦ νηπίου, ἀλλὰ νεανίσκος ὁ τὸν λόγον ἀκούσας, καὶ ἀπελθὼν λυπούμενος. Τοιοῦτος γὰρ ἦν τὴν ψυχὴν, διὸ καὶ καταλιπὼν τὸν Ἰησοῦν ἀπῆλθεν· ἐπὶ ψόγῳ γὰρ εἴρηται τό· „ἀπῆλθε·“ καί· „ἀπῆλθε[5]) λυπούμενος·“ λύπην τὴν τοῦ

---

[1]) Matth. XIX, 22. coll. edd. N. T.
[2]) Deest *καί* in ed. Ruaei.
[3]) Ed. H.: *μᾶλλον μὴ περιπεσεῖν*, in ed. R. deest *μή*.
[4]) I Cor. XIII, 11.
[5]) Matth. XIX, 22. — II Cor. VII, 10.

κόσμου, τὴν θάνατον κατεργαζομένην· τίς [1]) γὰρ ἀγαπῶν [2]) τὸ ὀργίζεσθαι, καὶ τὸ λυπεῖσθαι, ἔχων κτήματα πολλὰ ἅπερ ἠγάπα, διὸ ἀπῆλθε λυπούμενος, καὶ ὅσα ἀπὸ κακίας ἦν κεκρατηκότα τῆς ψυχῆς αὐτοῦ; Εἰ μέντοι ἐπὶ τῆς ἱστορίας μένοις, κατά τινα τῶν προαποδεδομένων διήγησιν, ἐξ ἡμισείας εὕροις ἂν ἐπαινετὸν, καὶ ἐξ ἡμισείας ψεκτὸν τὸν νεανίσκον τοῦτον· ᾗ μὲν γὰρ οὐκ ἐμοίχευσεν, οὐδὲ ἐφόνευσεν, οὐδὲ ἔκλεψεν, οὐδὲ ἐψευδομαρτύρησεν, ἀλλὰ καὶ ἤδη νεανίσκος ὢν ἐτίμησε τὸν πατέρα καὶ τὴν μητέρα, καὶ ἐλυπήθη ἐπὶ τοῖς τὴν τελειότητα ὑποτιθεμένοις λόγοις τοῦ Ἰησοῦ, καὶ ἐπαγγελλομένοις αὐτὴν, εἰ ἀποδοῖτο τὰ ὑπάρχοντα, ἀστεῖόν τι ἦν ἐν αὐτῷ· ᾗ δὲ ἀπῆλθεν ἀπὸ τοῦ Ἰησοῦ λυπούμενος διὰ τὰ κτήματα, δέον αὐτὸν χαίρειν, ὅτι ἀντ᾽ ἐκείνων ἔμελλεν ἔχειν θησαυρὸν ἐν οὐρανῷ, καὶ ἀκολουθῶν τῷ Ἰησοῦ κατ᾽ ἴχνη βαίνειν υἱοῦ θεοῦ, ψεκτὸς ἦν.

20. Ἀπελθόντος δὲ αὐτοῦ, εἶπεν ὁ Ἰησοῦς „τοῖς [3]) μαθηταῖς αὐτοῦ· ἀμὴν λέγω ὑμῖν, ὅτι δυσκόλως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν·“ ἐφ᾽ ᾧ παρατηρητέον ὡς τοῦ Σωτῆρος ἀκριβῆ λόγον τὸν ἀναγεγραμμένον. Οὐκ εἶπε μὲν γὰρ, ὅτι πλούσιος οὐκ εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἐπείπερ εἰ τὸ τοιοῦτον εἰρήκει, ἀποκεκλείκει ἂν τὸν πλούσιον ἀπὸ τῆς τῶν οὐρανῶν βασιλείας. Φησὶ δὲ, ὅτι „πλούσιος δυσκόλως εἰσελεύσεται·“ τὸ χαλεπὸν μὲν πρὸς σωτηρίαν τοῦ πλουσίου παριστὰς, οὐ μὴν ἀδύνατον, ὅπερ ἐπὶ μὲν τοῦ ῥητοῦ αὐτόθεν λόγον ἔχειν φαίνεται, δυναμένων πλουσίων μετὰ δυσκολίας ἀντιστῆναι τοῖς πάθεσι, καὶ ταῖς ἁμαρτίαις, καὶ μὴ πάντη ὑπ᾽ αὐτῶν ἁλῶναι. Εἰ δὲ τροπολογούμενος πλούσιος παραλαμβάνοιτο, ζητήσεις

---

[1]) H. et R. in textu: *τίς γάρ*, H. tamen in notis: „vetus interpres: *erat enim* etc., legebat: *ἦν γάρ*.“

[2]) Ed. R. minus recte: *ἀγαπᾶν*.

[3]) Matth. XIX, 23. Ed. Lachm. τ. *μαθηταῖς αὐτοῦ*.

πῶς κἂν δυσκόλως εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Τὴν[1]) *δὲ δυσκολίαν τῆς*[2]) *εἰσόδου τοῦ πλουσίου ἑκατέρως νοουμένου ἐμφαίνει ἡ παραβολὴ τοῦ· „εὐκοπώτερόν*[3]) *ἐστι κάμηλον διὰ τρύπης ῥαφίδος διελθεῖν,*[4]) *ἢ πλούσιον εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν·" ἐν ᾗ παραβολῇ ὁ μὲν πλούσιος παραβάλλεται καμήλῳ, οὐ διὰ τὸ ἀκάθαρτον τοῦ ζώου μόνον, ὡς ὁ νόμος ἐδίδαξεν, ἀλλὰ καὶ τὴν ὅλην αὐτοῦ σκολιότητα· ἡ δὲ τῶν οὐρανῶν βασιλεία τρυμαλιᾷ ῥαφίδος, εἰς παράστασιν τοῦ πάνυ στενὴν εἶναι, καὶ εἰς ὑπερβολὴν τεθλιμμένην τὴν εἰς τῶν οὐρανῶν βασιλείαν εἴσοδον τῷ ἑκατέρῳ πλουσίῳ. Δηλοῖ δ' ὅτι αὐτόθεν*[5]) *μὲν ἀδύνατον τὴν κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν·*[6]) *τῷ δὲ δυνατὰ εἶναι τῷ θεῷ πάντα, καὶ τὸ τοιοῦτον αὐτῷ δυνατόν ἐστιν, ἀφάτῳ δυνάμει τὴν παχύτητα τοῦ φαύλου λεπτύνοντος,*[7]) *ἢ τὴν*[8]) *στενότητα τῆς εἰσόδου χωρητὴν αὐτῷ ποιοῦντος. Ὅτι γὰρ τοῦ δυσκόλως εἰσελ-*

---

[1]) Vetus interpretatio: *difficultatem autem introitus utriusque divitis*, etc., sententia valde congrua, unde corruptam Codd. nostrorum scripturam emendare non piguit. Talis illa erat in Cod. Regio: *τὴν δὲ δυσκολίαν τῆς εἰσόδου ἑκατέρως νοουμένου.* Et in Cod. Holm. infra (cfr. pag. huj. lin. 6. et 7. a fine): *τεθλιμμένην τὴν εἰς τῶν οὐρανῶν βασιλείαν εἴσοδον τῷ ἑκατέρῳ πλουσίῳ.* H.

[2]) Deest *τῆς*, cfr. pag. huj. not. 1., in edd. H. et R.

[3]) Matth. XIX, 24. Edd. N. T. *διὰ τρυπήματος ῥαφίδος κ. τ. λ.*

[4]) Ed. Knapp. l. l. *εἰσελθεῖν, ἢ πλούσ. εἰς τ. βασ. τ. οὐρανῶν εἰσελθεῖν.*

[5]) H. ad marg., R. in notis: „Cod. Reg.: *αὐτὸ μέν.*"

[6]) H. et R. h. l. et seqq., cfr. pag. huj. not. 4., *εἰσελθεῖν.*

[7]) R. absque jure in notis: „forte legendum *λεπτύνοντι*, et paulo post: *ποιοῦντι.*"

[8]) Desideratur *τήν* in ed. Ruaei.

θεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν τὸν πλούσιον παράδειγμα ἔλαβε τὴν τρυμαλιὰν, καὶ τὴν κάμηλον, ἀλλ' οὐ τοῦ ἀδυνάτου, δῆλον ἐκ τοῦ πρὸς τοὺς μαθητὰς εἰρῆσθαι, φήσαντας· „τίς[1]) *ἄρα δύναται σωθῆναι;“ τό· „παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν ἐστι· παρὰ δὲ θεῷ πάντα δυνατά.“ Οὐκοῦν δυνατὸν καὶ τὴν κάμηλον εἰςελθεῖν διὰ τρυμαλιᾶς ῥαφίδος, ἀλλ' οὐ παρὰ ἀνθρώποις δυνατόν· οὕτως δὲ καὶ τὸν πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ. Τὰς δὲ ἐφόδους τοῦ, πῶς ἂν τὰ τοιαῦτα ποιήσαι ὁ θεὸς δυνατὰ, αὐτὸς ἂν εἰδείη, καὶ ὁ Χριστὸς αὐτοῦ, καὶ ᾧ μὲν ἀποκαλύψῃ ὁ υἱὸς αὐτοῦ. Ὁ μὲν οὖν διαβεβηκὼς ἐν σοφίᾳ καὶ λόγῳ, ἐπιτολμήσαι ἂν ἐπὶ πλεῖον καὶ τῇ περὶ τῆς ῥαφίδος, καὶ τῆς τρυμαλιᾶς αὐτῆς διηγήσει· πῶς δὲ τοσοῦτον παραθησόμεθα; ὅτι ἐστί τινα ἐν τῷ νόμῳ γινόμενα τέχνῃ ῥαφιδευτοῦ χρῄζοντος ῥαφίδος, ἵνα κατὰ σοφίαν θεοῦ ποιήσῃ τὰ ἔργα ἧς ἀνείληφε τέχνης. Ὡς οὖν νοηθείη τὰ τοῦ ῥαφιδευτοῦ ἔργα, κἀκείνη ἡ ῥαφὶς, νοηθήσεται καὶ τὰ τῇδε λελεγμένα, ἅπερ νῦν λέγειν, καὶ σαφηνίζειν, τάχα μὲν καὶ ὑπὲρ ἡμᾶς ἐστι· τάχα δὲ καὶ τῷ εἰδότι πολλῆς ἂν καὶ ἀκαίρου ἔχοιτο παρεκβάσεως. Δύο δὲ προκειμένων, τοῦ κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν, καὶ τοῦ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ, εὐκοπώτερον εἶναί φησι τὸ πρότερον. Καὶ ζητήσεις γε ἐν τοῖς ἀνθρώποις, ἄλλον μὲν τὸν κάμηλον εἰσερχόμενον διὰ τρυμαλιᾶς ῥαφίδος, ἄλλον δὲ τὸν πλούσιον ἀδυνάτως ἀνθρώποις, δυνατῶς δὲ τῷ θεῷ εἰσερχόμενον εἰς τὴν βασιλείαν τοῦ θεοῦ. Οὕτως δὲ καὶ ἐπὶ τῆς*[2]) *τρυμαλιᾶς ῥαφίδος, ὅτι ἀδύνατον μὲν ἀνθρώποις, ὁστισποτοῦν*[3]) *ἐὰν εὑρεθῇ κάμηλος, καὶ,*[4])

---

[1]) Matth. XIX, 25. — 26.

[2]) H. ad marg., R. in notis: „Cod. Regius: *τῆς καμήλου, καὶ ἐπὶ τῆς τρυμαλιᾶς ῥαφίδος.*“

[3]) Ed. H. *ὁστισποτοῦν*, ed. R. *ὅστις ποτοῦν.*

[4]) H. recte: *καὶ, εἴ τις κ. τ. λ.*, R. minus distincte:

εἴ τις οὖν ἐὰν εὑρεθῇ κάμηλος, τρυμαλιὰ ῥαφίδος, ἢ εἰςελεύσεται δι᾽ ἐκείνης· παρὰ δὲ θεῷ καὶ τοῦτο δυνατόν. Εἰ δὲ ἐμφαίνει ταῦτα καὶ παρίστησι τελικά τινα μυστήρια, καὶ ἐπὶ τέλος ἄγοντα διά τινων ὁδῶν θεῷ μόνῳ δυνατῶν, ἢ μή, ὁ δυνάμενος ἐξεταζέτω,

21. Ἑξῆς ἔστιν ἰδεῖν τὰ περὶ τοῦ· „τότε[1]) ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ· ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν;“ Καὶ ταῦτα δὲ ὁ μέν τις τηρήσει κατὰ τὴν λέξιν· ὁ δέ τις ἀνασκευάσας τὸ τῆς λέξεως, ὡς οὐ μεγαλοφυὲς, τροπολογήσει. Ὁ μὲν οὖν τῇ λέξει παριστάμενος τοιαῦτα ἐρεῖ· ὥσπερ ἐπὶ τῆς δόσεως οὐ τὸ διδόμενον, ἀλλὰ τὴν προαίρεσιν ἀποδεχόμενος ὁ θεὸς, δικαιοῖ καὶ ἀποδέχεται τὸν τὸ ἔλαττον προαιρέσει τελειοτέρᾳ δεδωκότα, παρὰ τὸν τὸ πλεῖον ἐκ πλειόνων, καὶ διαθέσει ὑποδεεστέρᾳ, — ὡς δῆλόν ἐστιν ἐκ τῶν ἀναγεγραμμένων περὶ τῆς δόσεως τῶν πλουσίων, καὶ τῶν δύο λεπτῶν, ἅτινα ἡ χήρα εἰς λόγον πενήτων ἔβαλεν εἰς τὸ γαζοφυλάκιον· — οὕτως καὶ ἐπὶ τῶν διὰ τὴν πρὸς τὸ θεῖον ἀγάπην καταλιπόντων ἃ κέκτηνται, ἵνα ἀπερισπάστως ἀκολουθῶσι τῷ Χριστῷ[2]) τοῦ θεοῦ, πάντα πράττοντες κατὰ τὸν λόγον αὐτοῦ· οὐ πάντως μᾶλλον ἀποδεκτὸς ὁ τὰ πλείονα καταλιπὼν τοῦ τὰ ἐλάττονα, καὶ μάλιστα ὅτε τύχοι ὅλῃ ψυχῇ τις καταλιπὼν τὰ ἐλάττονα, παρὰ τὸν δοκοῦντα καταπεφρονηκέναι τῶν πλειόνων. Εἰ καὶ μικρὰ οὖν καὶ εὐτελῆ ὁ Πέτρος καταλέλοιπεν ἅμα τῷ ἀδελφῷ αὐτοῦ[3])

καὶ εἴ τις κ. τ. λ. In vers. H. et R. haec porrigunt: „ita et de foramine acus, quoniam ab hominibus quidem fieri nequit; quicunque tandem reperiatur camelus, et foramen acus, si modo aliquis repertus fuerit camelus, qui per illud intret; at a Deo fieri potest.“

[1]) Matth. XIX, 27.

[2]) H. ad marginem: „Cod. Regius: υἱῷ.“

[3]) H. in textu: αὐτῷ. in notis atque ad oram: „leg

Ἀνδρέᾳ, ἡνίκα ἀκούσαντες ἀμφότεροι τό· „δεῦτε [1]) ἀκολουθεῖτέ μοι, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων·" „εὐθέως ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ·" ἀλλ' οὐ μικρὰ λελόγισται παρὰ τῷ θεῷ, κατανοήσαντι ὅτι ἀπὸ ἕξεως αὐτὸ τοιαύτης πεποιήκασιν, ὡς εἰ καὶ ἐκέκτηντο πολλὰ κτήματα, καὶ πλεῖστα ὑπάρχοντα, μὴ ἂν ὑπ' αὐτῶν κατασχεθῆναι, μηδὲ ἐμποδισθῆναι τὴν ὁρμὴν βουλομένην [2]) ἀκολουθῆσαι τῷ Ἰησοῦ. Καὶ θαῤῥῶν οἶμαι ἐπὶ τῇ προαιρέσει μᾶλλον ἢ τῇ ὕλῃ ὧν καταλέλοιπεν, ὁ Πέτρος παῤῥησιασάμενος εἶπε τῷ Ἰησοῦ τό· „ἰδοὺ [3]) ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν;" Εἰκὸς δὲ καὶ μὴ δίκτυα μόνον αὐτὸν καταλελοιπέναι, ἀλλὰ καὶ οἶκον, καὶ γυναῖκα, ἧς ἡ μήτηρ ἐπιστάντος τοῦ Ἰησοῦ ἀπήλλακται τοῦ πυρετοῦ. [4]) Στοχάσαιτο δ' ἄν τις, ὅτι δυνατὸν καὶ τέκνα αὐτὸν καταλελοιπέναι, οὐκ ἀδύνατον δὲ καὶ κτῆσίν τινα βραχεῖαν. Μέγα οὖν δηλοῦται περὶ τοῦ Πέτρου, καὶ τοῦ ἀδελφοῦ αὐτοῦ, ἐπείπερ ἀκούσαντες τό· „δεῦτε [5]) ἀκολουθεῖτέ μοι, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων·" μηδὲν ἀναβαλλόμενοι „εὐθέως ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ," οὐ μιμησάμενοι τὸν εἰπόντα· „ἀλλὰ [6]) πρῶτον ἐπίτρεψόν μοι εἰς τὸν οἶκόν μου ἀπελθεῖν, καὶ ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκόν μου·" οὐδὲ παραπλήσιόν τι

---

fort. αὐτοῦ.' R. in textu recte αὐτοῦ, in notis: „ „Codd. Reg. et Anglicanus: αὐτοῦ. Ed. Huet. (in textu) αὐτῷ, male." "

[1]) Matth. IV, 19. Edd. N. T. δεῦτε ὀπίσω μου, καὶ ποιήσω κτλ. — 20. coll. edd. N. T.

[2]) Forte legendum: βουλομένων. R.

[3]) Matth. XIX, 27.

[4]) Ibid. VIII, 14.

[5]) Ibid. IV, 19. 20. coll. pag. huj. not. 1.

[6]) Luc. IX, 61. Edd. N. T. πρῶτον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι κ. τ. λ.

ποιήσαντες τῷ λέγοντι· „ἐπίτρεψόν[1]) μοι πρῶτον ἀπελθεῖν, καὶ θάψαι τὸν πατέρα μου.“ Καὶ πρόσχες ἐπιμελῶς, ὅτι ἀξιολόγως πληγέντες ὑπὸ τῆς προστάξεως τοῦ Ἰησοῦ, καὶ τῆς ἐπαγγελίας αὐτοῦ, καὶ πιστεύσαντες ὅτι ὀλίγην ἁλιευτικὴν καταλιπόντες τὴν ἰχθύων, ἀνθρώπους ἔμελλον ἀγρεύειν πρὸς σωτηρίαν, καὶ οἱονεὶ τρωθέντες ὑπό τε τῆς[2]) εἰς τὸν Ἰησοῦν καὶ ἧς ἐπηγγείλατο αὐτοῖς διακονίας φιλανθρώπου μέλλουσιν ἀνθρώπους θηρεύειν, εὐθέως[3]) ἀφέντες τὰ δίκτυα, καὶ ὡσπερεὶ ἐπιλαθόμενοι τῶν οἴκοι, ἠκολούθησαν αὐτῷ, ὡς ἄξιον γεγονέναι ἐπ᾽ ἐκείνῃ τῇ ὁρμῇ τὸν Πέτρον σεμνύνασθαι, καὶ εἰρηκέναι τὸ προειρημένον. Ἅμα δὲ παρατηρητέον, ὅτι τοῦτο εἴρηκεν ὁ Πέτρος, κατανοήσας μὲν τήν· — „εἰ[4]) θέλεις τέλειος εἶναι,“ — εἰρημένην ὑπὸ τοῦ Ἰησοῦ φωνὴν, — „ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι.“ Θεασάμενος δὲ καὶ τὸν ἀκούσαντα νεανίσκον, καὶ μετὰ λύπης ἀπεληλυθότα, ἐπείπερ προεκεκρίκει[5]) τὰ πολλὰ ἐπὶ τῆς γῆς κτήματα τοῦ τέλειος ἐν τῷ[6]) θεῷ γενέσθαι. Νοήσας δὲ καὶ τὸ δύσκολον περὶ τοῦ εἰσελθεῖν εἰς τὴν τῶν οὐρανῶν βασιλείαν τοῦ πλουσίου, ὡσπερεὶ καὶ αὐτὸς οὐκ εὐχερὲς πρᾶγμα ποιῶν ἐν τῷ πάντα καταλελοιπέναι, καὶ ἀκολουθηκέναι τῷ Σωτῆρι, εἶπε τὰ προκείμενα. Διὸ καὶ παῤῥησιασαμένῳ τῷ Πέτρῳ ἀποκρίνεται τὰ τῆς ἐπιφερομένης μεγάλης ἐπαγγελίας ὁ Σωτὴρ, περὶ τοῦ μέλλειν ἕνα τῶν κριτῶν τοῦ Ἰσραὴλ ἔσεσθαι τὸν Πέτρον.

22. Ὁ δὲ τῆς λέξεως οὐχ ἱκανῆς πεῖσαι μεγαλοφυῆ

---

1) Matth. VIII, 21. coll. Luc. IX, 59.

2) Desideratur τῆς in ed. R.

3) Matth. IV, 20.

4) Matth. XIX, 21. coll. pag. 354. not. 6.

5) H. et R. προκεκρίκει.

6) In Cod. Regio deest τῷ. R.

ἀκροατὴν καταφρονήσας, ὡς καὶ ἄλλων λέξεων τῆς γραφῆς τὸ σεμνὸν ἐν τῇ ἀναγωγῇ ἐχουσῶν, τοιαῦτα φήσει, ὅτι αὐτὸ τό· „ἰδοῦ[1]) ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι·“ δικτυδίου καταλειφθέντος, καὶ πενιχρᾶς οἰκίας, καὶ ἐπιπόνου ἐν πενίᾳ βίου, οὐ πάνυ τι ἀξίως λέλεκται τοῦ τηλικούτου μαθητοῦ, ᾧ σὰρξ[2]) καὶ αἷμα οὐκ ἀπεκάλυψεν, ὅτι Ἰησοῦς εἴη ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ἀλλ' ὁ ἐν τοῖς οὐρανοῖς πατὴρ αὐτοῦ, καὶ ᾧ λέλεκται τό· „σὺ[3]) εἶ ὁ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.“ Ἀλλὰ μήποτε τὰ ἀποδεδομένα εἰς τὴν διήγησιν τοῦ·[4]) „ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα,“ καὶ τὰ ἑξῆς, χρήσιμα εἰς τὰ προκείμενά ἐστι· Πέτρος γὰρ ἀφῆκε πάντα, ἐφ' οἷς ἁμαρτωλὸς ἦν, καὶ δι' ἃ εἶπεν· „ἔξελθε[5]) ἀπ' ἐμοῦ, κύριε, ὅτι ἀνὴρ ἁμαρτωλὸς ἐγώ εἰμι.“ Καὶ μέγας αὐτοῦ ἔπαινος ἦν τεθαῤῥηκότος ἐπὶ τῷ μηκέτι ἁμαρτάνειν λέγειν· „ἀφήκαμεν[6]) πάντα,“ καὶ οὐ μόνον τὰ χείρονα καταλελοίπαμεν, ἀλλὰ καὶ „ἠκολουθήσαμέν σοι.“ Τὸ δέ· „σοὶ[7]) ἠκολουθήσαμεν·“ ἴσον δύναται εἶναι τῷ· ἀποκαλύψαντος ἡμῖν πατρὸς ὅστις εἶ, καὶ ὅτι δικαιοσύνη εἶ, ἠκολουθήσαμέν σοι, καθὸ δικαιοσύνη τυγχάνεις· οὕτω δὲ καὶ καθὸ ἁγιασμὸς, καὶ καθὸ σοφία, καὶ καθὸ εἰρήνη, καὶ καθὸ ἀλήθεια, καὶ καθὸ ὁδὸς ἡ φέρουσα πρὸς

---

1) Matth. XIX, 27.

2) Ibid. XVI, 17. 16.

3) Ibid. XVI, 18. H. et R. h. l., cfr. pag. 147. not. 2., pag. 149. not. 1., pag. 156. not. 2. et pag. 160. not. 1., σὺ εἶ ὁ Πέτρος.

4) H. et R. in textu: τό, H. tamen ad oram: „scrib.,“ R. in notis: „ „forte legend.: τοῦ.“ “ — Matth. XIX, 21.

5) Luc. V, 8. Edd. N. T. ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, κύριε.

6) Matth. XIX, 27.

7) Sic H. et R. h. l., cfr. pag. huj. not. 1. et 6.

θεὸν, καὶ καθὸ ζωὴ ἀληθινή. Διόπερ ὡς ἀθλητὴς μετὰ τὸν ἀγῶνα πυνθανόμενος τοῦ ἀγωνοθέτου, εἰ τύχοι μὴ ἐπιστάμενος τὰ ἐπὶ τῷ ἀγῶνι ἆθλα,[1]) πυνθάνεται τοῦ Σωτῆρος, λέγων μετὰ τὴν ἐπὶ τοῖς ἀνδραγαθήμασι παῤῥησίαν τό· „τί[2]) ἄρα ἔσται ἡμῖν;“ Καὶ εἴπερ βουλόμεθα τὰ πρὸς Πέτρον εἰρημένα, καὶ τὴν πεῦσιν αὐτοῦ καὶ αὐτοὶ λαβεῖν, ἀφῶμεν οὕτως πάντα, μηκέτι περιεχόμενοι τῆς κακίας, καὶ τῆς κατ᾽ αὐτὴν ἐνεργείας, καὶ ἀκολουθήσωμεν τῷ τοῦ θεοῦ λόγῳ, ἵνα ἡμῖν εἴπῃ, καὶ πᾶσι τοῖς ἀκολουθήσασιν αὐτῷ, τὰ ἐπιφερόμενα οὕτως ἔχοντα „ὁ δὲ[3]) Ἰησοῦς εἶπεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι,“ καὶ τὰ ἑξῆς, ἅπερ καὶ αὐτὰ καὶ ἁπλούστερον ἔχει τινὰ προτρεπτικὸν ἐπὶ τὸ καταλιπεῖν τὰ ὑπάρχοντα νοῦν, καὶ ἕτερον παρὰ τοῦτον βαθύτερον. Ὁ μὲν οὖν κατὰ τὴν λέξιν ἑρμηνεύων τὸν τόπον τοῦ εὐαγγελίου, τοιαῦτα ἐρεῖ· πάντας εἶπεν ἀκολουθεῖν τῷ Ἰησοῦ ὁ λόγος, ἀλλὰ τοὺς μὲν τότε ἀποστόλους, καὶ ὁμοίους[4]) ἐκείνοις ἐπιμόνως αὐτῷ ἀκολουθήσαντας ὠνόμασεν, τοὺς[5]) δὲ μεταγενεστέρους ἐδήλωσε· „καὶ[6]) πᾶς ὅστις ἀφῆκεν ἀδελφοὺς, ἢ ἀδελφὰς,“ καὶ τὰ ἑξῆς. Ἀλλ᾽ ὡς βιαίως διηγησάμενον τὸ „ἀκολουθεῖν,“ ἀνατρέψει τις λέγων, περὶ πάντων εἰρῆσθαι τὸ „ἀκολουθεῖν“ ἐν τῷ· „ὃς[7]) ἂν μὴ ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκο-

---

[1]) H. et R. ἄθλα.

[2]) Matth. XIX, 27.

[3]) Ibid. XIX, 28.

[4]) H. ad oram: „Cod. Reg. ὁμοίως,“ R. in notis: „„Cod. Reg. ὁμοίως, non male, modo legatur: τοὺς ὁμοίως ἐκείνοις.““

[5]) H. et R. in textu: οὓς δέ κ. τ. λ., H. tamen ad oram: „fort. τοὺς δέ κ. τ. λ.,“ R. in notis: „„lege, τοὺς δέ κ. τ. λ.““.

[6]) Matth. XIX, 29. Edd. N. T. ἀφῆκεν οἰκίαν, ἢ ἀδελφούς, κ. τ. λ. Cfr. pag. 380. not. 2.

[7]) Matth. X. 38. coll. Luc. XIV, 27. et edd. N. T.

λουθήσῃ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος εἶναι μαθητής.“ Οἱ τοίνυν ἀκολουθήσαντες τῷ Σωτῆρι καθεδοῦνται [1]) ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ, καὶ ταύτην λήψονται τὴν ἐξουσίαν ἐν τῇ ἀναστάσει τῶν νεκρῶν· αὕτη γάρ ἐστιν ἡ παλιγγενεσία, καινή τις γένεσις οὖσα, ὅτε οὐρανὸς καινὸς, καὶ ἡ γῆ καινὴ τοῖς ἑαυτοῖς ἀνακαινώσασι κτίζεται, καὶ καινὴ διαθήκη παραδίδοται, καὶ τὸ ποτήριον αὐτῆς.

23. Ἐκείνης δὲ τῆς παλιγγενεσίας προοίμιόν ἐστι, τὸ καλούμενον παρὰ τῷ Παύλῳ λουτρὸν [2]) παλιγγενεσίας, καὶ ἐκείνης τῆς καινότητος τὸ ἐπιφερόμενον τῷ λουτρῷ τῆς παλιγγενεσίας ἐν τῷ ἀνακαινώσεως [3]) πνεύματος. Τάχα δὲ καὶ κατὰ μὲν τὴν γένεσιν οὐδείς ἐστι καθαρὸς [4]) ἀπὸ ῥύπου, οὐδ᾽ εἰ μία ἡμέρα εἴη ἡ ζωὴ αὐτοῦ, διὰ τὸ περὶ τῆς γενέσεως μυστήριον, ἐφ᾽ ᾗ τὸ ὑπὸ τοῦ Δαβὶδ ἐν πεντηκοστῷ [5]) πρώτῳ Ψαλμῷ λελεγμένον ἕκαστος πάντων εἰς γένεσιν ἐληλυθότων λέγοι, ἔχον οὕτως· „ὅτι [6]) ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου·“ κατὰ δὲ τὴν ἐκ λουτροῦ παλιγγενεσίαν, πᾶς μὲν καθαρὸς ἀπὸ ῥύπου, ὁ γεννηθεὶς ἄνωθεν ἐξ ὕδατος καὶ πνεύματος, ἵνα τολμήσας εἴπω, καθαρὸς δι᾽ ἐσόπτρου, [7]) καὶ ἐν αἰνίγματι· κατὰ δὲ τὴν ἄλλην παλιγγενεσίαν, ὅταν [8]) καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, πᾶς ὁ εἰς τὴν ἐν Χριστῷ παλιγγενεσίαν ἐκείνην φθάσας, καθαρώτατός ἐστιν ἀπὸ

---

[1]) Matth. XIX, 28.

[2]) Tit. III, 5.

[3]) H. ad marg., R. in notis: „Cod. Regius: ἀνακαινίσεως.“ Cfr. Tit. III, 5.

[4]) Job. XIV, 4. 5.

[5]) H. et R. ἐν πεντηκοστῷ Ψάλμῳ.

[6]) Psalm. LI, 5. (L.) LXX viri: ἰδοὺ γὰρ ἐν κτλ.

[7]) I Cor. XIII, 12.

[8]) Matth. XIX, 28.

ῥύπου πρόσωπον[1]) πρὸς πρόσωπον, καὶ αὐτὸς διὰ λουτροῦ παλιγγενεσίας φθάνων ἐπ᾽ ἐκείνην τὴν παλιγγενεσίαν. Εἰ δὲ βούλει τὸ λουτρὸν ἐκεῖνο νοῆσαι, σύνες πῶς Ἰωάννης, ὁ ἐν ὕδατι βαπτίζων[2]) εἰς μετάνοιαν, λέγει περὶ τοῦ Σωτῆρος τό· „αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί.“ Ἐν μὲν οὖν τῇ διὰ λουτροῦ παλιγγενεσίᾳ συνετάφημεν τῷ Χριστῷ· — συνετάφημεν[3]) γὰρ αὐτῷ, κατὰ τὸν ἀπόστολον, διὰ τοῦ βαπτίσματος· — ἐν δὲ τῇ τοῦ διὰ πυρὸς καὶ πνεύματος λουτροῦ παλιγγενεσίᾳ, σύμμορφοι γινόμεθα τῷ σώματι[4]) τῆς δόξης τοῦ Χριστοῦ, καθεζομένῳ ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ αὐτοὶ καθεζόμενοι ἐπὶ δώδεκα θρόνους, εἰ καὶ ἀφέντες πάντα ὁποτερωσοῦν, μᾶλλον δὲ κατὰ τὸ λουτρὸν, ἠκολουθήσαμέν σοι. Τότε δὲ „ὅταν[5]) καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ,“ πληροῦται ἡ λέγουσα προφητεία· „εἶπεν[6]) ὁ κύριος τῷ κυρίῳ μου· κάθου ἐξ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου·“ καὶ τό· „δεῖ[7]) αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ,“ ἕως[8]) οὗ ὁ ἔσχατος ἐχθρὸς θάνατος καταργηθῇ, οὗ καταργηθέντος οὐκέτι ἔσται πρὸ προσώπου τῶν σωζομένων θάνατος, ἀλλὰ μόνη ζωὴ ἡ πιστευομένη. Θανάτου μὲν γὰρ ὄντος πρὸ προσώπου, δι᾽ ἐκεῖνον ἀπι-

---

[1]) I Cor. XIII, 12.

[2]) Matth. III, 11.

[3]) Rom. VI, 4.

[4]) Philipp. III, 21. — Matth. XIX, 28.

[5]) Matth. XIX, 28. Ed. Lachm. δόξης αὐτοῦ.

[6]) Psalm. CX, 1. (CIX.)

[7]) I Cor. XV, 25. Ed. Lachm. ἄχρις οὗ θῇ — ἐχθροὺς (αὐτοῦ) ὑπὸ — αὐτοῦ.

[8]) H. in textu: ἕως ὁ ἔσχατος, R. in textu: ἕως οὗ ὁ ἔσχατος. Idem in notis: „Cod. Reg. (H. ad marg.) ἕως οὗ ὁ ἔσχατος, Cod. Anglicanus: ἕως ὁ ἔσχατος.“ Cfr. I Cor. XV, 26.

στεῖται ὑπὸ τῶν κρατουμένων ὑπ᾿ αὐτοῦ ζωή· καταργηθέντος δὲ θανάτου, πιστεύεται ὑπὸ πάντων ἡ ζωή. Ἐν δὲ τῷ νόμῳ εὑρήσεις καὶ τό· „τέθεικα[1]) τὴν ζωὴν καὶ τὸν θάνατον πρὸ προσώπου σου·“ καὶ τό· „ἔσται[2]) ἡ ζωή σου κρεμαμένη ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν·“ καί· „οὐ[3]) μὴ πιστευσήτε τῇ ζωῇ ὑμῶν.“ Καθέζεται δὲ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, οὐδενὸς ἀτίμου καὶ ἀδόξου ἐν θεῷ βασιλευομένου ὑπ᾿ αὐτοῦ· πάντες γὰρ τότε οἱ μὴ δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, μηδὲ ποιοῦντες πρὸς τὸ δοξασθῆναι ὑπὸ τῶν ἀνθρώπων, ἀλλὰ τὴν δόξαν τὴν ἀπὸ τοῦ[4]) μόνου Θεοῦ ζητοῦντες, βασιλευθήσονται ὑπὸ τοῦ καθημένου ἐπὶ θρόνου δόξης αὐτοῦ. Τότε δὲ καὶ ἀποδίδοται τὰ τῆς εὐχῆς τῷ Σωτῆρι εὐξαμένῳ καὶ εἰπόντι· „πάτερ,[5]) δόξασόν με τῇ δόξῃ ᾗ εἶχον παρά σοι πρὸ τοῦ τὸν κόσμον εἶναι.“

24. Εἰ δὲ δύνασαι νοῆσαι τὸν Λόγον ἀποκαταστάντα μὲν μετὰ τὸ γεγονέναι αὐτὸν σάρκα, καὶ ὅσα γέγονε τοῖς γεννητοῖς, γινόμενος αὐτοῖς ὅπερ ἕκαστος αὐτῶν ἔχρῃζε γενέσθαι, ἵνα τοὺς πάντας κερδήσῃ, καὶ ἀποκαταστάντα, ἵνα γένηται ὁποῖος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεὸν, θεὸς[6]) Λόγος ὢν ἐν τῇ ἰδίᾳ δόξῃ, ὡς Λόγου τοιούτου

---

[1]) Deuter. XXX, 15. LXX. interpretes: ἰδοὺ, δέδωκα πρὸ προσώπου σου σήμερον τ. ζωὴν κ. τ. θάνατον.

[2]) Ibidem XXVIII, 66. LXX. interpretes rectius: ὀφθαλμῶν σου.

[3]) Ibid. XXVIII, 66. LXX. interpretes rectius: καὶ οὐ πιστεύσεις τῇ ζωῇ σου.

[4]) H. et R. in textu: τοῦ μόνου ζητοῦντες, H. tamen ad marg., R. in notis: „lege τοῦ μόνου Θεοῦ ζητοῦντες.“ Cfr. ev. Joann. V, 44.

[5]) Ev. Joann. XVII, 5. Edd. N. T. καὶ νῦν δόξασόν με, σὺ πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τ. κόσμον εἶναι παρὰ σοί.

[6]) H. et R. in textu: Θεὸς καὶ λόγος ὤν, iidem ta-

δόξῃ ὄψει αὐτὸν καθεζόμενον ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ οὐχ ἕτερον αὐτοῦ [1] *τὸν υἱὸν τοῦ ἀνθρώπου, τὸν κατὰ τὸν Ἰησοῦν ἄνθρωπον νοούμενον· ἓν γὰρ οὕτως τῷ Λόγῳ γίνεται, πάντως* [2] *μᾶλλον τῶν, διὰ τὸ κολλᾶσθαι τῷ κυρίῳ, γινομένων ἓν πνεῦμα πρὸς αὐτόν. Τότε δὲ, ἡνίκα ἂν ταῦτα ἐν τῇ ἀποκαταστάσει τοῦ Σωτῆρος γίνεται, καὶ οἱ ἀφέντες πάντα καὶ ἀκολουθήσαντες αὐτῷ καθεδοῦνται, ὡς σύμμορφοι* [3] *γενόμενοι τῷ σώματι, καὶ τῷ θρόνῳ τῆς δόξης τοῦ Χριστοῦ, ἐπὶ θρόνους δώδεκα, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ· ὁ γὰρ ὅλος βίος τῶν δικαίων κρινεῖ τὰς μὴ πεπιστευκυίας δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Καὶ κρινοῦσί γε οἱ ἀπόστολοι, καὶ οἱ τὸν ἀποστολικὸν ἐζηλωκότες βίον καὶ κατωρθωκότες, τοὺς εὐγενεῖς μὲν, διὰ τὸ εἶναι αὐτοὺς Ἰσραηλίτας, οὐ τὰ ἄξια δὲ τῆς εὐγενείας πεποιηκότας. Τάχα δὲ τὸ μέν „ἐν ὑμῖν* [4] *κρίνεται ὁ κόσμος" πρὸς Κορινθίους λελεγμένον, λέγεται πρὸς τοὺς ἀπὸ τῶν ἐθνῶν· τὸ δέ· „καθίσεσθε* [5] *καὶ αὐτοὶ ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ" πρὸς τοὺς ἀποστόλους καὶ τοὺς τὸν ἀποστολικὸν βίον ἐζηλω-*

---

men in notis: „sic Cod. Holmiensis; at Cod. Regius: *Θεὸς λόγος ὤν*, cui consentit vetus interpretatio: *Deus enim erat verbum in gloria sua.*" Cfr. ev. Joann. I, 1. 2.

[1]) Sic habet Cod. Regius (H. quoque in marg. attestante), nec non Cod. Anglicanus, quibus consentit vetus interpretatio: *quando non alium ab eo intellexeris filium hominis.* Ed. Huet. in textu omisit *αὐτοῦ*, quasi desit in Cod. Holmiensi. R.

[2]) Ed. Rothomagensis *πάντος* (procul dubio pro *πάντως*), ed. Coloniensis *παντός*. Ed. R. recte *πάντως*. — I Cor. VI, 17.

[3]) Philipp. III, 21. — Matth. XIX, 28.

[4]) I Cor. VI, 2.

[5]) Matth. XIX, 28. Edd. N. T. *ὑμεῖς* pro *αὐτοί*.

κότας, κρίνοντας τοὺς εὐγενεστέρους τοῦ ὅλου κόσμου ὄντας, τὸν Ἰσραήλ. Ἀλλὰ νόησον ἐν τούτοις ἀξίως τῆς μεγαλονοίας τοῦ εὐαγγελίου τὸν Ἰσραὴλ, εὐγενῆ μὲν, καὶ πεφυκότα κρειττόνως, οὐ πεπιστευκότα δέ. Ἀνάγειν δὲ μετὰ τὸν περὶ τοῦ Ἰσραὴλ, καὶ τὸν περὶ τῶν δώδεκα φυλῶν λόγον, ὥστε δώδεκα τάγματα εἰπεῖν γενικὰ ψυχῶν, καὶ εὐγενεστέρων, ὧν αἱ μὲν διαφέρουσαι ἐν ὑπεροχῇ εἰσιν, αἱ δὲ [1]) καθ' ἕνδεκα μοίρας τεταγμέναι λοιπαὶ τάξει δευτέρᾳ, ὑπὲρ ἡμᾶς ἐστι, μὴ τηλικαύτην [2]) θεωροῦντας, ὡς δυνηθῆναι παραστῆσαι, πῶς δώδεκά εἰσιν ἀστέρες οἱ πατέρες τῶν δώδεκα φυλῶν τοῦ Ἰσραὴλ, ὥσπερ ἐδήλου τὸ προφητικὸν, ἵν' οὕτως ὀνομάσω, ὄναρ [3]) τοῦ Ἰωσήφ· οἱονεὶ δὲ καὶ ἕκαστος τῶν κρινομένων Ἰσραηλιτῶν ὑπό τινος, ἢ συνωνύμου ἄστρου, ἢ ἄστρῳ παραπλησίου ἀποστόλου, καὶ τοῦ τον ἀποστολικὸν βίον βιώσαντος κριθήσεται.

25. Εἰ μὲν οὖν τις πάντα ἀφῆκε, καὶ ἠκολούθησε τῷ Ἰησοῦ, τῶν εἰρημένων πρὸς τὸν Πέτρον καὶ τὴν πεῦσιν αὐτοῦ τεύξεται· εἰ δὲ οὐ πάντα μὲν, τὰ δὲ ἐπιφερόμενα, ὁ τοιοῦτος πολλαπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. Τίνα δὲ οὐ πάντα, ἀλλ' ἰδικῶς λελεγμένα, κατανοητέον ἐκ τοῦ· „καὶ [4]) πᾶς ὅστις ἀφῆκεν ἀδελφοὺς, ἢ ἀδελφὰς," καὶ τὰ ἑξῆς. Καὶ τοῦτο δὲ ὅτι μὲν ἔχει οὐκ εὐκαταφρόνητον λόγον, καὶ κατὰ τὸ ἁπλοῦν τῆς ἐκδοχῆς, καὶ προτρεπτικὸν ἐπὶ τὸ πάσης σαρκικῆς συγγενείας καταφρονεῖν, καὶ πάσης τῆς κτίσεως, πᾶς ὅστις οὖν ὁμολογήσει. Εἰ δὲ καὶ τοῦτο ἐπιδέχεται ἀναγωγὴν, ὁ μέν τις διστάσει, ὁ δὲ καὶ ἀποφαίνεται ὅτι ἔχει. Καὶ σαφές γε, κατὰ τὸ ῥητὸν, ὅτι

---

[1]) Desideratur δέ in ed. R.

[2]) H. ad oram: „Cod. Regius: τηλικαύτη."

[3]) Gen. XXXVII, 9.

[4]) Matth. XIX, 29. coll. pag. 374. not. 6. et pag. 380. not. 2.

πολλοὶ τῶν πιστευσάντων [1]) εἰς τὸν Σωτῆρα ἡμῶν, ἐμισήθησαν ὑπὸ συγγενῶν, καὶ εἵλαντο τούτους καὶ πᾶσαν κτῆσιν καταλιπεῖν, ὑπὲρ τοῦ κληρονομῆσαι τὴν αἰώνιον ζωὴν, πεισθέντες ὅτι πᾶς ὅστις [2]) ἀφῆκε τοὺς κατὰ σάρκα ἀδελφοὺς, καὶ τὰς συγγενεῖς μόνῳ τῷ σώματι ἀδελφὰς, καὶ γονεῖς τῶν σωμάτων, καὶ τὰ τέκνα τῆς σαρκὸς, καὶ τοὺς ἐν τῇ ἐπικαταράτῳ γῇ ἀγροὺς, καὶ τὰς ἐν αὐτῇ οἰκίας, καὶ ἀφῆκεν οὐ δι᾽ ἄλλο τι, ἀλλ᾽ ἕνεκεν τοῦ ὀνόματος Ἰησοῦ, πολλαπλασίονα λήψεται· πολλαπλασίονα γὰρ, καὶ, εἰ δεῖ οὕτως ὀνομάσαι, ἀπειροπλασίονα τὰ πνευματικὰ παρὰ τὰ σωματικὰ, καὶ πρὸς [3]) τὸ λαβεῖν πολλαπλασίονα, οὐκ ἐν προσκαίρῳ ζωῇ, ἀλλ᾽ ἐν αἰωνίῳ γενόμενος, κληρονομήσει αὐτήν. [4]) Πολλαπλασίονας μὲν γὰρ ἀδελφοὺς καὶ ἀδελφὰς ὧν τις ἀφῆκε διὰ τὸν τοῦ θεοῦ λόγον, εὐχερὲς διηγήσασθαι· καὶ γὰρ ἐν τῷ κόσμῳ τούτῳ πολλαπλασίους οἱ κατὰ τὴν πίστιν ἀδελφοὶ τῶν διὰ πίστιν καταλελειμμένων ὑπὸ τῶν πιστευσάντων. Οὕτω δὲ καὶ γονεῖς πάντας τοὺς ἀνεπιλήπτους ἐπισκόπους, καὶ τοὺς ἀνεγκλήτους πρεσβυτέρους λαμβάνει τις, ἀνθ᾽ ὧν καταλέλοιπε δύο· ὁμοίως δὲ καὶ τέκνα, πάντας τοὺς ἡλικίαν ἔχοντας τέκνων. Πῶς δὲ πολλαπλασίονας ἀγροὺς ἢ οἰκίας [5]) ὧν τις καταλέλοιπε κληρονομεῖ, οὐκέτι ὁμοίως ἀποδοῦναι δύναται, ἂν μὴ ἄρα τις βιασάμενος ἐπ᾽ ὀλίγων τὸ τοιοῦτον παραστήσῃ,

[1]) H. ad marg., R. in notis: „Cod. Regius: πιστευόντων."

[2]) Matth. XIX, 29. coll. pag. 374. not. 6. et pag. 379. not. 4.

[3]) H. et R. in textu: πρὸς τὸ λαβεῖν, R. tamen in notis: „lege πρὸς τῷ λαβεῖν."

[4]) H. et R. in notis: „nempe ζωήν. At vetus interpres: *recipiet ea*, nempe πολλαπλασίονα."

[5]) Cfr. pag. 374. not. 6. et pag. 379. not. 4. coll. pag. huj. not. 2.

ὅπερ οὐκ εὔκολον·[1]) Ἅπαξ δὲ ἀλληγορῶν τοὺς ἀγροὺς, καὶ τὰς οἰκίας, ἀναγκασθήσεται κατὰ τὸ ἀκόλουθον καὶ τὰ ἀνωτέρω τούτων ἀποδοῦναι. Εἰσὶν οὖν, οἶμαι, ἐν ταῖς ἁγίαις καὶ μακαρίαις δυνάμεσιν ἀδελφοὶ οἱ εἰς ἄνδρα τέλειον[2]) κατηντηκότες τῶν τὸ μέτρον τῆς ἡλικίας τοῦ Χριστοῦ κεχωρηκότων, καὶ ἀδελφαὶ πάντες οἱ παρθένος[3]) ἁγνὴ παραστησόμενοι Χριστῷ, οὐκ ἀπ᾽ ἀνθρώπων, οἶμαι, μόνον, ἀλλὰ καὶ τῶν λοιπῶν δυνάμεων· γονεῖς δὲ τοιοῦτοι εἶεν ἄν τινες, ἢ περὶ ὧν εἴρηται πρὸς τὸν Ἀβραάμ· „σὺ[4]) δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου μετ᾽ εἰρήνης, τραφεὶς ἐν[5]) γήρᾳ καλῷ.“ Εἰ δὲ γίνονταί ποτε οὗτοι ἀνάλογον ἐκείνοις τοῖς πατράσιν ἑτέρων πατέρες, πολλαπλασίονα[6]) καὶ τέκνα λήψονται ὁμοίως τῷ Ἀβραάμ. Καὶ τοὺς ἀγροὺς δὲ, καὶ τὰς οἰκίας, πολλαπλασίονας τῶν καταλειπομένων, νόει μοι ἐν τῇ ἀναπαύσει τοῦ θείου παραδείσου, καὶ τῇ πόλει τοῦ θεοῦ, περὶ ἧς δεδοξασμένα[7]) ἐλαλήθη, ἧς „ὁ θεὸς ἐν ταῖς βάρεσι γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς“ ὥστ᾽ ἂν εἰπεῖν πρὸς τοὺς τὰς ἐκεῖ οἰκίας κληρονομοῦντας·[8]) „καθάπερ[9]) ἠκούσαμεν, οὕτως εἴδομεν ἐν πόλει κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ θεοῦ ἡμῶν·“ περὶ ἧς λέ-

---

[1]) H. et R. in textu, ille *εὔλογον*, hic *εὔκολον*. R. in notis: „Cod. Reg. (H. quoq. in marg. idem attestante) *εὔκολον*; Cod. Anglicanus: *εὔλογον*.“

[2]) Ephes. IV, 13.

[3]) II Cor. XI, 2.

[4]) Gen. XV, 15. LXX. interpretes: *ἐν εἰρήνῃ*.

[5]) Edd. H. et R. *ἐν γήρᾳ καλῷ; εἰ δέ κ. τ. λ.*

[6]) H. et R. in textu: *πολλαπλάσιον*, H. tamen ad marg., R. in notis: „forte legendum: *πολλαπλασίονα*.“

[7]) Psalm. LXXXVII, 3. (LXXXVI.). — XLVIII, 3. (XLVII.)

[8]) Ed. R. minus recte *κληρονομῶντας*.

[9]) Psalm. XLVIII, 8. (XLVII.). LXX. viri: *οὕτως καὶ εἴδομεν*.

γεται καὶ τό· „διέλεσθε[1]) τὰς βάρεις αὐτῆς.“ Ἐπὶ τοιούτοις δὴ κληρονομεῖν τὴν αἰώνιον ζωὴν μακάριον, τοσούτους[2]) ἔχοντας ἀγροὺς κληρονόμους, καὶ τοσαῦτα δένδρα ὑπὸ θεοῦ γεωργούμενα, καὶ οἰκίας ἐκ λίθων ζώντων, ἐν αἷς ἀναπαύσεται πᾶς ὅστις ἀφῆκεν ἀδελφοὺς, ἢ ἀδελφὰς, καὶ τὰ λοιπά.

26. Μετὰ τοῦτο ἔτι[3]) τό· „πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι, καὶ ἔσχατοι πρῶτοι.“ Καὶ τοῦτο δὲ ἔχει μέν τινα κατὰ τὸ ἁπλούστερον νοῦν, προτρέψασθαι δυνάμενον τοὺς ἄρτι προσερχομένους τῷ θείῳ λόγῳ, ἐπὶ τὸ σπεύδειν διὰ τῶν προστεταγμένων ἀναβῆναι, παρὰ πολλοὺς τῶν νομιζομένων ἐγγεγηρακέναι τῇ πίστει, ἐπὶ τὸν ὑπὲρ αὐτοὺς βίον καὶ λόγον· ὡς οὐκ ἐμποδίζοντος, οὔτε χρόνου τοῖς ὕστερον πιστεύουσιν, οὔτε γονέων μοχθηρῶν τοῖς αὐτοὺς ἀνεγκλήτως ἀγωνιζομένους παραστήσασιν. Ἀγὼν δέ ἐστι καὶ καθελεῖν οἴημα διὰ τὸ ἐκ πατέρων ἀνατετράφθαι ἐν χριστιανισμῷ μεγαφρονοῦντας· καὶ μάλιστα ἐπὰν τύχῃ πατράσιν ἐπαυχεῖν, καὶ προγόνοις προεδρίας ἠξιωμένοις ἐν τῇ ἐκκλησίᾳ ἐπισκοπικοῦ θρόνου, ἢ πρεσβυτερείου τιμῆς, ἢ διακονίας εἰς τὸν λαὸν τοῦ θεοῦ· ἀμφότεροι γὰρ διδαχθέντες τό· „πολλοὶ[4]) ἔσονται πρῶτοι ἔσχατοι, καὶ ἔσχατοι πρῶτοι·“[5]) ὑπεμνήσθησαν[6]) μήτε ἐπὶ τῷ νομίζειν εἶναι πρῶτοι μὴ

---

[1]) Ibid. XLVIII, 13. (XLVII.). LXX. interpretes: καταδιέλεσθε.

[2]) H. et R. in textu: τοσούτους ἔχοντας κληρονόμους, H. tamen in notis: „sensum inde aliquis idoneum extundat, et erit mihi magnus Apollo. Legendum fortasse: τοσοῦτο ἔχοντας κληρονόμους, vel: τοσούτους ἔχοντας ἀγροὺς κληρονόμους, vel aliquid ejusmodi.“

[3]) H. et R. in textu, ille τοῦτο ἔτι, hic τοῦτό ἐστι, H. in notis: „Cod. Reg.: τοῦτό ἐστι. — Matth. XIX, 30.

[4]) Matth. XIX, 30. coll. pag. huj. not. 3.

[5]) Desideratur πρῶτοι in ed. Coloniensi.

[6]) H. et R. in textu: ὑπομνήσθητε, R. in notis:

μεγαφρονεῖν, μήτε συστέλλεσθαι καὶ ταπεινοῦσθαι, ὡς ἔλαττον ἔχοντες τῶν προτέρων διὰ τὸ ἔσχατοι ἐκείνων τὰ τοῦ χριστιανισμοῦ παρειληφέναι δόγματα. Ἔχει δ' οἶμαι, τὸ ῥητὸν λόγον, ἀθρόως ἡμᾶς ἐπιστῆσαι δυνάμενον τοῖς πολλοῖς πρὸ ἡμῶν πρώτοις χρηματίσασιν ἀπὸ τοῦ Ἰσραὴλ, γενομένοις διὰ τὴν εἰς τὸν Ἰησοῦν ἀπιστίαν καὶ προδοσίαν ἐσχάτοις, καὶ ἡμῖν τοῖς ἐσχάτοις τὰ πρωτεῖα δυναμένοις λαβεῖν, ἐὰν ἐπιμένωμεν τῇ πίστει, μὴ [1]) ὑψηλοφρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι. Τί δὲ, ἐὰν κοινωνήσαντες τῇ ῥίζῃ [2]) τῶν Πατριαρχῶν, καὶ τῇ ἀπὸ τοῦ λόγου τῶν πατέρων πιότητι, [3]) συμφυεῖς γενώμεθα τῷ βουλήματι τοῦ πνευματικοῦ νόμου, καὶ τῶν ἀνάλογον αὐτῷ νοουμένων προφητῶν; ἡμεῖς οἱ ἔσχατοι ἐσόμεθα πρῶτοι, κἀκεῖνοι διὰ τὴν ἀπιστίαν, οἱ πρῶτοι, ἐκκοπέντες ἀπὸ τῆς καλλιελαίου γεγόνασιν ἔσχατοι· καὶ γὰρ [4]) διὰ τὴν Χριστοῦ ἐπιδημίαν εἰς κρῖμα τῷ κόσμῳ ἐπιδημήσαντος, ἵνα τὰ ἔθνη, οἱ μὴ βλέποντες βλέπωσι, [5]) καὶ οἱ βλέποντες, Ἰσραὴλ, τυφλοὶ γένωνται διὰ τὴν ἀπιστίαν, ὁ μὲν προσήλυτος ἡμεῖς λαὸς γεγόναμεν ἄνω ἄνω καὶ πρῶτοι, ὁ δὲ πρὸ ἡμῶν Ἰσραὴλ ὁ πρῶτος, γέγονεν ἔσχατος, καὶ κάτω κάτω. Οὕτω δὲ δύναται νοεῖσθαι καὶ τό· „εἴ τις [6]) θέλει πρῶτος εἶναι, ἔσται πάντων ἔσχατος·“ ὡς εἰ ἔλεγεν· ἐπεὶ νῦν τὰ πρω-

---

„sic Cod. Regius.“ Iidem, H. ad marg., R. in notis: „„legendum videtur ὑπεμνήσθηνται.““

[1]) Rom. XII, 16.

[2]) Ibid. XI, 17.

[3]) Cod. Anglicanus habet: ποιότητι. R. — Cfr. Rom. XI, 17.

[4]) H. in textu: καὶ διά, in margine: „Cod. Regius καὶ γὰρ διά.“ R. in textu: καὶ γὰρ διά, in notis: „„in Cod. Anglicano deest γάρ.““ — Ev. Joann. IX, 39

[5]) H. et R., cfr. ev. Joann. IX, 39., βλέψωσι.

[6]) Marc. IX, 35.

τεῖα λαμβάνουσιν οἱ ἀπὸ τῶν ἐθνῶν εἰς ἐμὲ πιστεύοντες, ἔσχατοι νομιζόμενοι ἐν τῷ Ἰσραὴλ, ἔσχατοι δὲ κρίνονται παρὰ τῷ θεῷ ὅλος ὁ λαὸς τῶν ἀπιστησάντων ἐν Ἰσραὴλ, κἂν νομίζωνται διὰ τὸν χρόνον εἶναι πρῶτοι, εἴ τις βούλεται τὸ ἀληθινὸν πρῶτον ἀναλαβεῖν, γενέσθω ἐν τοῖς ὑπὸ τοῦ νῦν Ἰσραὴλ ἐσχάτοις εἶναι νενομισμένοις. Ὅσον γὰρ μένει ἐν τοῖς οἰομένοις εἶναι πρώτοις, τῶν μὲν πρωτείων ἐπὶ τὰ ἔθνη μεταβεβηκότων ἀποπεσεῖται,[1]) ἐν δὲ ἐσχάτοις ἀριθμηθήσεται· καὶ γὰρ οἱ μὲν ἀπὸ τῶν ἐθνῶν κεφαλὴ διὰ τὴν πίστιν γίνονται, ὁ δὲ ἄπιστος Ἰσραὴλ, διὰ τὴν ἀπιστίαν οὐρά. Κατὰ τοῦτον τὸν λόγον, πολλοὶ μὲν, οὐ πάντες δὲ, ἔσονται ἐκ πρώτων ἔσχατοι. Καὶ πάλιν πολλοὶ μὲν τῶν ἐσχάται ἔσονται πρῶτοι. Οὐ μὴν εἴ τις ἔσχατος προσελήλυθε, τοῖς ἀπὸ τῶν ἐθνῶν πιστεύουσι συναριθμεῖσθαι δοκῶν, οὕτως ἐν πρώτοις λογισθήσεται· εἰσὶ γὰρ καὶ πρῶτοι πρῶτοι, ὡς οἱ τοῦ Χριστοῦ ἀπόστολοι, Ἰσραηλῖται τυγχάνοντες, καὶ ἐκ σπέρματος Ἀβραάμ· καί εἰσιν ἔσχατοι ἔσχατοι, οἱ πολλῶν ὑποδεέστερον βιοῦντες τῶν ἀπὸ τῆς ἐκκλησίας χρηματιζόντων.

27. Μετὰ ταῦτα ἐπίστησον, εἰ δύνασαι τὸ τῶν ἀγγέλων γένος πρῶτον, ὡς τίμιον, λέγειν[2]) εἶναι τοῦ τῶν ἀνθρώπων γενομένων ἐσχάτων. Καὶ γὰρ ὡς ἐν τῷ Ἰὼβ γέγραπται, ὅτε ἐγεννήθησαν[3]) ἄστρα, ᾔνεσαν τὸν θεὸν πάντες ἄγγελοι αὐτοῦ, ὡς πρεσβύτεροι καὶ τιμιώτεροι, οὐ μόνον τοῦ ἀνθρώπου, ἀλλὰ καὶ πάσης τῆς[4]) μετ' αὐτοὺς κοσμοποιΐας, τολμῆσαι ἀποφήνασθαι, ὅτι πολλοὶ

---

[1]) Edd. Huetii: ἀποπεσεῖ τε."

[2]) H. et R. in textu: λέγων, H. tamen ad oram: „scrib.," R. in notis: „„legendum λέγειν, ex veteri interpretatione."""

[3]) H. et R. ἐγεννήθησαν. LXX. viri, cfr. Job. XXXVIII, 7., ἐγενήθησαν.

[4]) Desideratur τῆς in ed. Ruaei.

μὲν ἀγγέλων, οἳ πρῶτοι ἦσαν ἀνθρώπων, γίνονταί τινων ἀνθρώπων ἔσχατοι· πολλοὶ δὲ καὶ τῶν ἀνθρώπων, οἳ ἔσχατοι τῇ φύσει τυγχάνουσι τῶν ἀγγέλων, γίνονται διὰ τὸν βίον καὶ τὸν τοῦ θεοῦ λόγον τινῶν ἀγγέλων, ἐν πρώτοις μὲν τεταγμένων, γενομένων δὲ ἔκ τινων αἰτιῶν ἐσχάτων, πρῶτοι. Παραλαβὼν δὲ εἰς τοῦτο ἀπό τε τῆς[1]*) Πέτρου πρώτης ἐπιστολῆς, καὶ τῆς Παύλου πρὸς Κορινθίους προτέρας ῥητὰ, προσαχθήσῃ*[2]*) ὡς ὑγιῶς εἰρημένῳ τῷ λόγῳ· λέγει γὰρ ὁ μὲν Πέτρος· „εἰς*[3]*) ὃν ἄρτι μὴ ὁρῶντες,“ — δηλονότι Ἰησοῦν Χριστὸν, — „πιστεύοντες δὲ ἀγαλλιᾶτε,“ καὶ τὰ ἑξῆς, ἕως τοῦ· „εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι·“ ὁ δὲ Παῦλος· „ἢ οὐκ*[4]*) οἴδατε, ὅτι ἀγγέλους κρινοῦμεν; μήτι γε βιωτικά;“ Ὅρα οὖν, εἰ μὴ οὗτοι μὲν, ὅσον ἐτήρουν*[5]*) τὴν ἑαυτῶν ἀρχὴν, καὶ οὐκ ἀπέλιπον τὸ ἴδιον οἰκητήριον, πολλῶν ἀνθρώπων διέφερον, καὶ ἦσαν αὐτῶν πρῶτοι, ὧν ἀνθρώπων ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ, γενομένων ἐν τῷ τῆς ταπεινώσεως σώματι, καὶ μόγις ποτὲ λεγόντων τό· „ταλαίπωρος*[6]*) ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;“ Οἱ δὲ ἄνθρωποι, ὅσον εἰς σύγκρισιν ἀγγέλων ἔσχατοι τυγχάνοντες, γί-*

---

[1]) H. et R. in textu: *ἀπό τε τῆς πρώτης ἐπιστολῆς*, H. tamen in notis: „legendum videtur: *ἀπό τε τῆς Πέτρου πρώτης ἐπιστολῆς.* Scripserat librarius *προῦ*, quod cum syllaba priore sequentis voc. propter soni similitudinem facile coaluit.“

[2]) H. in textu: *πραχθήσῃ ὡς ὑγιῶς εἰρημένων τῷ λόγῳ*, in notis: „ita Cod. Holmiensis.“ R. in textu: *προαχθήσῃ ὡς ὑγιῶς εἰρημένων τῷ λόγῳ*, in notis (H. eadem affirmante et probante): „„ita Cod. Regius. Lege *προσαχθήσῃ ὡς ὑγιῶς εἰρημένῳ τῷ λόγῳ.*““

[3]) I Petr. I, 8. Edd. N. T. *ἀγαλλιᾶσθε.* — 12.

[4]) I Cor. VI, 3. Deest *ἢ* in edd. N. T.

[5]) Ep. Jud. vers. 6.

[6]) Rom. VII, 24.

νονται ἀγγέλων πρῶτοι, τῶν μὴ τηρησάντων[1]) *τὴν ἑαυτῶν ἀρχὴν, ἀλλὰ ἀπολιπόντων τὸ ἴδιον οἰκητήριον, λαμβάνοντες*[2]) *τὴν ἀρχὴν κατὰ τό· „ἴσθι*[3]) *ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων·" ἤ· „ἴσθι ἐξουσίαν ἔχων ἐπάνω πέντε πόλεων." Γενόμενοι δὲ ἐν οἰκητηρίῳ ἀγγέλων τινὲς ἀπολελοίπασιν, ἐπὰν ποιήσωσι κηρυχθείσης αὐτοῖς τῆς τῶν οὐρανῶν βασιλείας τὰ ἀνάγοντα αὐτοὺς ἐπ' αὐτήν· καὶ γὰρ οἱ μὲν ἐν γῇ τῶν οὐρανίων ἔσχατοι, οἱ δὲ ἐν οὐρανῷ τῶν ἐν γῇ πρῶτοι. Καὶ γίγνονται πολλοὶ μὲν τῶν οὐρανίων καὶ*[4]) *πρώτων ἔσχατοι, εἰς κρίσιν*[5]) *μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ἐν ζόφῳ τηρούμενοι· πολλοὶ δὲ τῶν ἐσχάτων, καὶ ἐπὶ γῆς γένεσιν ἀνειληφότων ἀναβαίνοντες, ὥστε τεθαῤῥηκότες λέγειν· „ἡμῶν*[6]) *δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει." Καὶ αὐτός γε ὁ ὡς ἀστραπὴ*[7]) *ἐκ τοῦ οὐρανοῦ πεσὼν πρῶτος ἦν, ἡνίκα περιεπάτει ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ ἄμωμος, ἕως εὑρέθη ἀνομία ἐν αὐτῷ, καὶ γέγονεν ἔσχατος εἰς ᾅδου καταβὰς, ὡς τοὺς ἰδόντας αὐτὸν θαυμάζειν ἐπ' αὐτῷ, καὶ λέγειν· „καὶ*[8]) *σὺ ἑάλως ὥσπερ καὶ ἡμεῖς· ἐν ἡμῖν δὲ κατελογίσθης. Κατέβη εἰς ᾅδου ἡ δόξα σου, ἡ πολλὴ εὐφροσύνη σου." Οὕτω δὲ καὶ ἔσχατος ἦν πᾶς*

---

[1]) Ep. Judae vers. 6.

[2]) H. et R. in textu: *λαμβάνοντες ἢ ἐν ἀρχῇ.* H. tamen in notis: „ita Codex uterque, Holm. et Regius. Lege: *λαμβάνοντες τὴν ἀρχήν.* Vetus interpres: *accipientes imperium.*"

[3]) Luc. XIX, 17. — 19. Cfr. pag. 288. not. 4. coll. pag. 296. not. 6.

[4]) H. ad marg., R. (adjuncta censura: non male) in notis: „Cod. Regius: *οἱ πρῶτοι ἔσχατοι.*"

[5]) Ep. Judae vers. 6.

[6]) Philipp. III, 20. Edd. N. T. *ἡμῶν γάρ κ. τ. λ.*

[7]) Luc. X, 18. — In seqq. H. et R. *ἕως εὑρέθη.*

[8]) Jes. XIV, 10. 11

καὶ ἀνόητος,[1]) καὶ ἀπειθὴς, δουλεύων ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγων, στυγητὸς καὶ μισῶν· ἀλλὰ γέγονε πρῶτος, ὅτε[2]) ἡ χρηστότης, καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως πνεύματος ἁγίου, καὶ ἐδέξατο τὸν εἰπόντα· „ὁ δεχόμενος[3]) ἐμὲ δέχεται τὸν ἀποστείλαντά με.“ Ἀλλὰ κατὰ μὲν ταῦτα πρώτους ἀποδεδώκαμεν τοὺς σωθησομένους· ἐσχάτους δὲ τοὺς μὴ ἀξίους τῆς τοιαύτης τῶν σωθησομένων τάξεως,[4]) ἀλλὰ κολάσεως, καὶ τοῦ ἐγκαταλειφθῆναι, ἤτοι ἕως τὸ πλήρωμα[5]) τῶν ἐθνῶν εἰσέλθῃ, ἢ ἕως ἐκπληρώσωσι τὰ περὶ τῶν ἰδίων ἁμαρτημάτων. Ἡ μέντοι ἐπιφερομένη τῷ· „πολλοὶ[6]) δὲ ἔσονται πρῶτοι ἔσχατοι, καὶ ἔσχατοι πρῶτοι·“ παραβολὴ, σώζεσθαι μὲν ἐπαγγέλλεται καὶ τοὺς τῆς παραβολῆς, πρώτους μὲν ἐργασαμένους, ἐσχάτους δὲ λαμβάνοντας τὸν μισθὸν, καὶ διὰ τοῦτο πρώτους ὄντας, καὶ εἰς ἐσχάτους λελογισμένους· διαφέρειν δὲ αὐτῶν λέγει, τοὺς ἐσχάτους μὲν ἐπὶ τὰ ἔργα βεβλημένους, ἀπολαβόντας δὲ τὸν μισθὸν οὐ μόνον πρώτους, ἀλλὰ καὶ ἴσον τοῖς γογγύσασι κατὰ τοῦ οἰκοδεσπότου, καὶ εἰρηκόσιν· „οὗτοι[7]) οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ[8]) ἴσους αὐτοὺς ἐποίησας ἡμῖν τοῖς

[1]) Tit. III, 3.

[2]) Ibid. III, 4. 5.

[3]) Matth. X, 40. Edd. N. T. ὁ ἐμὲ δεχόμενος.

[4]) H. et R. in textu: τάξεως, καὶ κολάσεως, iidem tamen in notis: „lege τάξεως, ἀλλὰ κολάσεως. Nam et sensus id postulat, et vetus interpres vertit: *qui non sunt digni tali ordine salvatorum, sed poena.*“

[5]) Rom. XI, 25.

[6]) Matth. XIX, 30.

[7]) Matth. XX, 12. Ed. Knapp. ὅτι οὗτοι κτλ., cfr. pag. 391. not. 2.

[8]) Ed. Knapp. καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας, τοῖς κτλ., cfr. pag. 391. not. 2., ed. Lachm. καὶ ἴσους αὐτοὺς ἡμῖν ἐποίησας τοῖς κτλ.

βαστάσασι τὸ βάρος τῆς ἡμέρας, καὶ τὸν καύσωνα.“ Καὶ πρῶτοί γε οἱ ἔσχατοι κληθέντες ἐπὶ τὸ ἔργον λέγονται, παρὰ τὸ πρώτους αὐτοὺς εἰληφέναι τὸν μισθόν. Θεῷ δὲ εὐξάμενοι, καὶ ἐπικαλεσάμενοι τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐκθώμεθα τὴν παραβολήν, καὶ ἴδωμεν τίνα ἡμῖν ἐξετάσαι καὶ εἰπεῖν εἰς αὐτήν, ἢ καὶ ὑπαγορεῦσαι δοθήσεται. Ἔχει δὲ οὕτω.

Περὶ τῶν μισθουμένων ἐργατῶν.

28. „Ὁμοία[1]) ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας,“ καὶ τὰ ἑξῆς, ἕως τοῦ· „πολλοὶ[2]) γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί.“ Δύναται μὲν οὖν ἡ πᾶσα παραβολὴ διὰ τοῦτο παρειλῆφθαι, εἰς τὸ μαθεῖν ἡμᾶς, πῶς οἱ ἔσχατοι ἐλθόντες εἰς τὸ ἔργον, ὡς οἱ πρῶτοι κληθέντες, τὸν μισθὸν ἔλαβον πρῶτοι· καὶ τίνα τρόπον οἱ πρῶτοι κληθέντες ἐν ἐσχάτῃ χώρᾳ παρὰ τῷ οἰκοδεσπότῃ ἐτάχθησαν, διὸ καὶ τελευταῖοι τὸν μισθὸν ἀπειλήφασι. Χρὴ δὲ εἰδέναι, ὅτι ὡς Ἰησοῦ παραβολὴ, ἐν ᾧ[3]) οἱ θησαυροὶ τῆς σοφίας καὶ γνώσεώς εἰσιν ἀπόκρυφοι, ἐξεταζομένη, τοσαῦτα δόγματα τῆς ἐν μυστηρίῳ ἀποκεκρυμμένης σοφίας εὑρεθήσεται τοῖς τὰ τοιαῦτα εὑρίσκειν δυναμένοις αἰνισσομένη, ὥστε εὐλόγως ἂν ἐπὶ ταύτῃ μάλιστα εἰπεῖν τῇ παραβολῇ τὸν Σωτῆρα τό· „ἀνοίξω[4]) ἐν παραβολαῖς τὸ στόμα μου, φθέγξομαι προβλήματα ἀπ᾽ ἀρχῆς·“ καὶ „ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς·“ ἀναγκαῖον γὰρ ἰδεῖν τὸν μέλλοντα νοήσειν τὴν παραβολὴν τὴν ἐν αὐτῇ δηλουμένην ἡμέραν, καὶ τὰς ἐν αὐτῇ ὥρας, καὶ ὅτι οὐ κατὰ ἀποκλήρωσιν ὁ οἰκοδεσπότης πέντε τάγμασιν ἐργατῶν παραδίδωσι τὰ ἔργα

---

[1]) Math. XX, 1. Edd. N. T. ὁμοία γάρ ἐστιν κτλ.
[2]) Ibid. XX, 16.
[3]) Coloss. II, 3.
[4]) Psalm. LXXVIII, 2. (LXXVII.) coll. Matth. XIII, 35

τοῦ ἀμπελῶνος. Ἐξετάσει δὲ ὁ δυνάμενος τὴν αἰτίαν τοῦ πρωῒ μισθώσασθαί τινας ἐργάτας εἰς τὸν ἀμπελῶνα, καὶ μετὰ τοῦτο οὐ περὶ δευτέραν μὲν, περὶ τρίτην δὲ ὥραν ἄλλους, καὶ ἑξῆς ταύτῃ οὐ περὶ τετάρτην, ἢ πέμπτην, ἀλλὰ περὶ ἕκτην· εἶτα μετὰ τοῦτο περὶ τὴν ἑνδεκάτην· ὀφείλει γάρ τις λόγος εἶναι ἄξιος Ἰησοῦ εἰς τὸν [1]) μετὰ τὸν ἑωθινὸν καιρὸν τρία ἴσα διαστήματα τρίτης καὶ ἕκτης καὶ ἐννάτης ὥρας, καὶ μετ' αὐτὸν ἔλαττον διάστημα τῶν περὶ τὴν ἑνδεκάτην ἑστώτων, ὁπόσον ἦν διάστημα ἀπὸ τοῦ ἅμα πρωῒ ἐπὶ τὴν τρίτην. Οὐ παρέργως δὲ προσεκτέον καὶ τῷ, συμπεφωνηκέναι μὲν τὸν οἰκοδεσπότην τοῖς ἅμα τῇ ἕῳ παραληφθεῖσι τὸ ἀνὰ δηνάριον, οὓς ἀπέστειλεν εἰς τὸν ἀμπελῶνα αὐτοῦ· τοῖς δὲ περὶ τὴν τρίτην κληθεῖσιν, οὐ τεταγμένως τὸν μισθὸν ὠνομακέναι, ἀλλὰ τό· „ὃ ἐὰν [2]) ᾖ δίκαιον, δώσω ὑμῖν.“ Προσεκτέον δὲ, ὅτι ὡσαύτως ἐποίησε τοῖς περὶ τὴν ἕκτην ὥραν καὶ ἐννάτην κληθεῖσι, καὶ ὅτι τοῖς περὶ τὴν ἑνδεκάτην εἶπεν ἀπολογησαμένοις περὶ τῆς δι' ὅλης ἡμέρας ἀργίας τό· „ὑπάγετε [3]) καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα.“ Ἀλλὰ καὶ ὡς ἔξω τοῦ ἀμπελῶνος γενόμενος, καὶ εὑρὼν ἐκεῖ τοὺς ἐργάτας, τοὺς μὲν πρώτους ἀποστέλλει εἰς τὸν ἀμπελῶνα, τοῖς δὲ δευτέροις φησίν· „ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα“ ὁμοίως δὲ τὴν αὐτὴν λέξιν καὶ τοῖς τὴν ἑνδεκάτην κεκλημένοις· „ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα.“ Ὁ δὲ δυνάμενος κατανοησάτω, τίς ἡ ἀγορὰ, ἐν ᾗ ἑστῶτας τοὺς ἀργοὺς εὗρε τοὺς δευτέρους ἐξελθὼν ὁ οἰκοδεσπότης. Οὕτω δὲ καὶ ἐξετασθήτω, τίνες οἱ εὐ-

---

[1]) H. et R., ut nos: *εἰς τόν*. Iidem paulo post: *καὶ μετ' αὐτόν*. Recte, quamquam non male legeris *εἰς τά*, et *μετ' αὐτά* scil. *διαστήματα*.

[2]) Matth. XX, 4. — H. et R. in textu, ille: *ἐὰν ᾖ*, hic: *ὃ ἂν ᾖ*. R. in notis: „ed. Huet. (in textu scil., nam ad marg. habet: „„scrib. ὃ““) omisit ὅ, quod habet Cod. Regius.“

[3]) Ibid. XX, 7. Ed. Lachm. *ἀμπελῶνά (μου)*.

ρεθέντες ἑστῶτες περὶ τὴν ἑνδεκάτην, οἷς λέγει ὁ οἰκοδεσπότης τό· „τί ὧδε [1]) ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί;“ Ἐπιστησάτω τις καὶ τῇ ἀπολογίᾳ τῶν ὅλην τὴν ἡμέραν ἑστώτων ἀργῶν, καὶ τὸν πόνον τοῦ ἑστηκέναι δι' ὅλης ἡμέρας ὑπομεινάντων, μετὰ παῤῥησίας εἰπόντων, ὅτι πρόθυμοι μὲν ἦσαν τοῦ ἐργάσασθαι, οὐδεὶς δὲ αὐτοὺς ἐμισθώσατο, ὡς πολλῶν ὄντων τῶν [2]) μισθωθησομένων [3]) μὲν ἄν, οὐ μισθωσαμένων δέ.

29. Μὴ παρέργως δὲ ἐπιστησάτω τις καὶ τῷ ὀψίας λέγειν τὸν τοῦ ἀμπελῶνος κύριον τῷ ἐπιτρόπῳ αὐτοῦ· „κάλεσον [4]) τοὺς ἐργάτας, καὶ ἀπόδος τὸν μισθὸν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων.“ Τί γὰρ κεκίνηκε τὸν κύριον τοῦ ἀμπελῶνος, ὥστε κελεῦσαι τῷ ἐπιτρόπῳ καλέσαι τοὺς ἐργάτας, καὶ ἀποδοῦναι τὸν μισθὸν, ἀρξάμενον ἀπὸ τῶν ἐσχάτων, καὶ οὕτως ἀναβαίνειν ἕως τῶν πρώτων, ἵνα πρῶτοι μὲν ἀπολάβωσιν οἱ τὴν ἑνδεκάτην, δεύτεροι δὲ οἱ τὴν ἐννάτην, καὶ τρίτοι οἱ τὴν ἕκτην, καὶ μετὰ τούτους οἱ τὴν τρίτην, καὶ τελευταῖοι οἱ πρωΐ; τοῦτο γὰρ σαφῶς δηλοῦται ἀπὸ τοῦ· „ἀπόδος [5]) τὸν μισθὸν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων.“ Τίς δὲ παρὰ τὸν κύριον τοῦ ἀμπελῶνος ὁ τοῦ κυρίου ἐπίτροπος, διδοὺς τὸν μισθὸν κατὰ

---

[1]) Ibid. XX, 6.

[2]) H. et R. in textu: *τῶν μισθωσαμένων μὲν ἄν*, in notis: „legendum fortasse: *μεμισθωσομένων*. Verb. *μισθοῦμαι* enim passive etiam usurpatur. Vetus interpres: *quasi plurimi essent qui conducerentur, non autem et qui conducerent.*“ — H. et R. in versione: *quasi operae quidem plurimae fuerint.* Quam quidem si quis sequi maluerit, simpliciter legat: *τῶν ἐργατῶν* aut *τῶν ἐργασαμένων μὲν ἄν, κ. τ. λ.*

[3]) Cfr. pag. 404. not. 7.

[4]) Matth. XX, 8. Edd. N. T. *καὶ ἀπόδος αὐτοῖς τόν κ. τ. λ.*

[5]) Ibid. XX, 8. coll. pag. huj. not. 4.

το τοῦ [1]) κυρίου πρόσταγμα; Ἀλλὰ εἴπερ οἱ ἐν τῇ ἑνάτῃ κληθέντες ὥρᾳ οὐκ ἐβάστασαν τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα, δηλονότι οὐχ οὗτοι ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου, λέγοντες· „ὅτι [2]) οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας, καὶ τὸν καύσωνα.“ Ἀλλ' οὐδὲ οἱ τὴν ἕκτην κληθέντες τὸ βάρος ἐβάστασαν τῆς ἡμέρας, ἀλλ' εἰ ἄρα τοῦ ἡμίσους τῆς ἡμέρας. Καὶ οἱ τῇ τρίτῃ δὲ κληθέντες, οὐ τῆς ὅλης ἐβάστασαν ἡμέρας τὸ βάρος, ἀλλ' εἰ δεῖ ἀκριβῶς ὀνομάσαι, τοῦ ἡμίσους, καὶ τοῦ τετάρτου τῆς ἡμέρας. Μόνοι δὲ οἱ ἀπὸ τῆς ἕω μεμισθωμένοι τὸ βάρος ἐβάστασαν τῆς ἡμέρας, καὶ τὸν καύσωνα· ὅλον μὲν, οἱ ἀπὸ τῆς ἕω μεμισθωμένοι· οἱ δὲ λοιποὶ, παρὰ τοὺς τελευταίους, ἀνάλογον τῷ καιρῷ ᾧ ἐν τῷ ἀμπελῶνι πεποιήκασιν.

30. Ἐπεὶ δὲ διάφοροί εἰσι παραβολαὶ ὀνομάζουσαι ἀμπελῶνα, ζητηθείη ἂν, πότερον κατὰ διαφόρων πραγμάτων καθ' ἕκαστον ὁ ἀμπελὼν παραλαμβάνεται, ἢ κατὰ τοῦ αὐτοῦ πράγματος. Ἐγὼ νομίζω δεῖν ἐξετάσαι, διὰ τί οὐ πρὸς πάντας τοὺς ἐλθόντας πρώτους, καὶ νομίζοντας ὅτι πλέον λήψονται, καὶ γογγύσαντας κατὰ τοῦ οἰκοδεσπότου, ἀπεκρίνατο ὁ οἰκοδεσπότης, ἀλλ' ἑνὶ [3]) μόνῳ εἶπεν αὐτῶν τό· „ἑταῖρε, [4]) οὐκ ἀδικῶ σε· οὐχὶ δηναρίου συνεφώνησάς μοι; καὶ θέλω τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί.“ Ὅτι μὲν οὖν ταῦτα καὶ τὰ τούτοις παραπλήσια ἐπιδέχεται ἡ ἐκκειμένη παραβολὴ, ἃ ζητῆσαι τις ἂν εἰς αὐτὴν, διαβεβαιωσαίμην ἄν· ὅτι δὲ καὶ

---

[1]) Desideratur τοῦ in ed. R.

[2]) Matth. XX, 12. coll. pag. 387. not. 7. et 8.

[3]) H. et R. h. l. ἕνι μόνῳ.

[4]) Matth. XX, 13. 14. Edd. N. T. συνεφώνησάς μοι; ἆρον τὸ σὸν, καὶ ὕπαγε. Θέλω δὲ τούτῳ κτλ. — Rectius forsan in textu nostro legeris: καί· „θέλω τούτῳ,“ aut καί· „θέλω δὲ τούτῳ κτλ.“

οὐκ ἔστιν εἰπεῖν εἰς τὴν κατ' ἀξίαν παραβολὴν ἄλλον, ἢ τὸν φήσαντα ἂν μετὰ τοῦ ἀληθεύειν τό· „ἡμεῖς[1]) δὲ νοῦν Χριστοῦ ἔχομεν·“ καὶ τοῦτο θαῤῥῶν ἀποφανοῦμαι. Τίς οὖν ἄρα ἔγνω τὸν ἐν τῇ παραβολῇ ταύτῃ νοῦν Χριστοῦ, ἢ ὁ ἐμπαρασχὼν ἑαυτὸν τῷ παρακλήτῳ, περὶ οὗ φησιν ὁ Σωτὴρ, ὅτι „ἐκεῖνος[2]) ὑμᾶς διδάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς πάντα ὅσα εἶπον ὑμῖν;“ μὴ διδάσκοντος γὰρ τοῦ παρακλήτου πάντα[3]) ἃ εἶπεν ὁ Ἰησοῦς, καὶ ταύτην τὴν παραβολὴν, οὐκ ἂν λέγοιτό τι ἄξιον Ἰησοῦ εἰς αὐτήν. Καὶ εἰ τοιαῦτά γε ἐζήτουν κατὰ τὴν Ἰησοῦ φωνὴν ἀπὸ τοῦ παρακλήτου πάντες[4]) οἱ τὸ κατὰ Ἰωάννην εὐαγγέλιον ἀναγινώσκοντες, οὐκ ἂν προσέσχον τινὲς, ὡς παρακλήτῳ, πνεύμασι[5]) πλάνης, καὶ διδασκαλίαις δαιμονίων, ἐν ὑποκρίσει ψευδολόγων κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν, ὥστε τὰ τῆς πλάνης πνεύματα καὶ τὰ δαιμόνια ἀναγορεῦσαι τῷ μεγάλῳ τοῦ παρακλήτου ὀνόματι, ὅπερ ὁ Σωτὴρ τοῖς ἀποστόλοις, καὶ εἴ τις τοῖς ἀποστόλοις παραπλήσιός ἐστιν, ἐπηγγείλατο. Καὶ πείθομαί γε, ὅτι ὁ Ματθαῖος ᾔδει μὲν κατὰ τὴν παραβολὴν ταύτην μυστήρια, ὡς καὶ[6]) τὰ κατὰ τὴν τοῦ σπόρου, καὶ τῶν ἐπεσπαρμένων τῷ σίτῳ ζιζανίων· οὐκ ἔκρινε δὲ εὔλογον εἶναι, ὁμοίως ταῖς περὶ ἐκείνων διηγήσεσι καὶ τὴν περὶ ταύτης ἀναγράψαι, μὴ πιστεύσας γράμμασι κἂν τὴν ἐπὶ[7]) ποσὸν τῆς παρα-

---

[1]) I Cor. II, 16. Ed. Lachm. *κυρίου* pro *Χριστοῦ*.

[2]) Ev. Joann. XIV, 26. Edd. N. T. (cfr. pag. huj. not. 3.) *πάντα ἃ εἶπον ὑμῖν.*

[3]) H. et R. h. l., cfr. pag. huj. not. 2., *πάντα ἅ.*

[4]) H. ad marg., R. in notis: „Cod. Regius *πάντα.*“

[5]) I Tim. IV, 1. 2.

[6]) H. in textu: *ὡς καὶ κατὰ τοῦ σπόρου*, ad marginem: „Cod. Reg. *ὡς καὶ τὰ κατὰ τὴν σπόρου.*“ R. in textu, ut nos; in notis: „„Cod. Anglicanus: *ὡς καὶ κατὰ τοῦ σπόρου.*““ Cfr. Matth. XIII.

[7]) H. et R. *ἐπὶ πόσον.*

βολῆς ταύτης σαφήνειαν, ὥσπερ ἐκείνων ἐξ ὅλων τὴν διήγησιν ἀνέγραψεν.[1]) Εἰ δὲ εὐλόγως ὁ Ματθαῖος τὴν περὶ τῆς παραβολῆς διήγησιν ἀπεσιώπησε, δηλονότι κἂν ἐκ μέρους τις αὐτὴν νοῆσαι δυνηθῇ, τάχα μὲν εὐλόγως ἂν αἰνίξεται τὸ τῆς φαινομένης αὐτῷ διηγήσεως, οὐ μὴν πάντα τὰ ἀποκαλυπτόμενα αὐτῷ σαφηνίζων, καὶ γραφῇ πιστεύων, ἔξω κινδύνου τοῦ περὶ τῆς ἐκθέσεως τῶν μυστηρίων ἔσται.

31. Φέρε οὖν ἡμεῖς οἱ σφόδρα ἀπολειπόμενοι τοῦ κατὰ τὴν παραβολὴν βάθους τῶν πραγμάτων, καὶ σφόδρα ὀλίγα εἰς αὐτὴν φανταζόμενοι, πὴ[2]) μὲν μετ' εὐχῆς τινα ἐκ μέρους ἀποδῶμεν, τινὰ δὲ ἐπ' ὀλίγον καὶ τῶν φαινομένων δείξαντες οὕτω παρέλθωμεν, μετὰ τὸ εἰπεῖν καθηκόντως εἰς τὴν παραβολὴν, καὶ ἐπὶ τὰ ἑξῆς αὐτῆς. Πρῶτον τοίνυν ἴδωμεν τὰ περὶ τῆς ἐν τῇ ζητουμένῃ παραβολῇ ἡμέρας. Καὶ ὅρα, εἰ δυνάμεθα τὸν[3]) ὅλον ἐνεστῶτα αἰῶνα ἡμέραν τινὰ εἰπεῖν, μεγάλην μὲν ὡς πρὸς ἡμᾶς, μικρὰν δέ τινα καὶ ὀλιγοχρόνιον, ὡς πρὸς τὴν τοῦ θεοῦ, καὶ τοῦ Χριστοῦ, καὶ τοῦ ἁγίου πνεύματος ζωήν· τάχα γὰρ καί τισι τῶν μακαρίων δυνάμεων, καὶ ἐπαναβεβηκυιῶν, συγκρίσει τῶν πολλῶν γενητῶν,[4]) τὰ κάτω τῆς ἀρχικῆς τριάδος λόγον ἔχει ὅλος ὁ ἐνεστὼς αἰὼν ὡς πρὸς τὴν ζωὴν αὐτῶν, ὃν λόγον ἔχει ἡ παρ' ἀνθρώποις ἡμέρα πρὸς ὅλον τὸν δυνατὸν ἀνθρώπῳ ζῆν χρόνον. Εἰ δὲ τοιοῦτόν τι μυστήριον ἐν Δευτερονομίῳ δηλοῦται κατὰ τὴν ᾠδὴν, ἐν ᾗ γέγραπται· „μνήσθητε[5]) ἡμέρας αἰῶνος·“ ἢ μὴ, ζητήσει ὁ δυνάμενος. Εἶτα εἰ τοιαῦται αἱ ἡμέραι αἰῶ-

---

1) H. et R. in textu: ἀνέγραψαν, H. tamen ad marg., R. in notis: „lege ἀνέγραψεν.“

2) Edd. H. et R. πῇ μέν κ. τ. λ.

3) Deest τόν in textu ed. Ruaei.

4) H. ad marg., R. in not.: „Cod. Reg.: γεννητῶν.“

5) Deuteronom. XXXII, 7.

νος, ὡς ἀκόλουθον ἂν εἴη τὴν παραπλήσιον ἐκδοχὴν ἐννοεῖν εἰς τό· „ἔτη[1]) αἰώνια ἐμνήσθην, καὶ ἐμελέτησα· νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν, καὶ ἔσκαλλε τὸ πνεῦμά μου, καὶ[2]) εἶπα· μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται κύριος;“ Καὶ τάχα, ἵνα τολμηρότερον[3]) εἴπω, εἰς μὲν τοὺς αἰῶνας οὐκ ἀπώσεται κύριος· — πολὺ γὰρ καὶ εἰς ἕνα αἰῶνα ἀπώσασθαι κύριον — ἀπώσεται δὲ τάχα καὶ εἰς δεύτερον αἰῶνα, ὅτε οὐκ ἀφίεται ἡ τοιάδε ἁμαρτία οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι. Τίς οὖν ἄρα ἱκανὸς τὰς ἓξ ἡμέρας, καὶ τὴν τῆς ἀναστάσεως ἑβδόμην, ἐπὶ τοιαύτας ἀναγαγεῖν ἡμέρας, καὶ μετὰ τὰ σάββατα τὰς νουμηνίας, καὶ τὰς ἐν τῷ πρώτῳ μηνὶ ἑορτὰς, καὶ τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς ἡμέρᾳ Πάσχα, καὶ ταῖς[4]) ἑξῆς τῶν ἀζύμων; Οὕτω δὲ ἀνάλογον εἰς ἄβυσσόν τις ἐμπεσεῖται νοημάτων, καὶ τὰς λοιπὰς ἑορτὰς ἐν τοιαύταις φανταζόμενος ἡμέραις, καὶ ὅλον τὸν ἑβδομαδικὸν[5]) ἐνιαυτὸν, ἐν ᾧ πτωχοῖς, καὶ προσηλύτοις, καὶ τοῖς θηρίοις τῆς γῆς χαρίζεται ὁ θεὸς τοὺς ἐκ προτέρας γεωργίας ἀνατέλλοντας καρποὺς, ἐν καιρῷ μὴ γεωργουμένης.[6]) Τίς δὲ δύναται ἀναβῆναι ἐπὶ τὸν ἀριθμὸν τῶν τῆς ἀβύσσου ἐν τῇ πεντηκονταετηρίδι ἡμερῶν, — ἀβύσσου δὲ λέγω, διὰ τὸ βάθος τῶν δογμάτων —, ἵνα τις ἀναβῇ καὶ ἴδῃ τὸν πεντηκοστὸν ἐνιαυ-

---

[1]) Psalm. LXXVII, 5. 6. 7. (LXXVI.) H. et R. in textu: *καὶ ἐμελέτησα νυκτὸς — καρδίας μου, ἠδολέσχουν, κ. τ. λ.*

[2]) Desunt verba: *καὶ εἶπα* in LXX. viror. versione.

[3]) H. et R. *τολμηρώτερον.*

[4]) H. ad marg., R. in notis: „forte legendum: *τάς.*“

[5]) H. et R. in textu: *ἑβδοματικόν*, H. in notis: „ita Codd. Holm. et Regius.“ R. in notis: „„lege *ἑβδομαδικόν.*“ “

[6]) H. et R. in textu: *γεωργουμένην*, H. tamen ad marg., R. in notis: „legendum forte *γεωργουμένης*, nempe *γῆς.*“

τὸν, καὶ τὰ ἐν αὐτῷ νενομοθετημένα πληρούμενα; Ἀλλὰ γὰρ ζητοῦντες τὴν μίαν τῆς ἐκκειμένης παραβολῆς ἡμέραν, καὶ νομίσαντες αὐτὴν ὅλον τὸν ἐνεστῶτα αἰῶνα, ἐλάθομεν ἐμβάντες εἰς βάθη θεοῦ, δεόμενοι πνεύματος τοῦ πάντα ἐρευνῶντος,[1]) καὶ τὰ βάθη τοῦ θεοῦ. Ἐγὼ δ' οἶμαι, ὅτι ὥσπερ ἐπ' ἐξόδῳ συντελείας τοῦ ἐνιαυτοῦ εἴρηταί τινα δεῖν γίνεσθαι, οὕτως οἱονεὶ ἐπὶ πλειόνων αἰώνων συντελείᾳ, εἴτε ἐνιαυτόν τινα συμπληρούντων, εἴτε ὅ, τι δήποτέ,[2]) εἰς ἀθέτησιν ἁμαρτίας ἐφανερώθη ὁ Ἰησοῦς ἡμῶν, ἵνα μετὰ τὴν ὡς ἐνιαυτοῦ ἡμερῶν συντέλειαν τῶν αἰώνων, πάλιν ἄλλη ἀρχὴ διαδέξηται, καὶ ἐνδείξηται[3]) ὁ θεὸς ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος αὐτοῦ, εἰς οὓς αὐτὸς οἶδε δεῖν ἐνδείξασθαι. Καὶ ταῦτα μὲν διὰ τὴν ἐν τῇ παραβολῇ λελέχθω ἡμέραν, ἅτινα δύνασαι κατασκευάσαι καὶ ἐκ τῆς Ἰωάννου ἐπιστολῆς φάσκοντος· „παιδία,[4]) ἐσχάτη ὥρα ἐστί· καὶ καθὼς ἠκούσατε, ὅτι ἀντίχριστος ἔρχεται, καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν·[5]) ὅθεν γινώσκομεν, ὅτι ἐσχάτη ὥρα ἐστίν·" ἐσχάτη γὰρ ὥρα μετὰ τὴν ἑνδεκάτην τῆς προκειμένης παραβολῆς, ἐπεὶ περὶ τὴν ἑνδεκάτην ὁ κατὰ τὴν παραβολὴν οἰκοδεσπότης ἄνθρωπος ἐξελθὼν „εὗρεν[6]) ἄλλους ἑστῶτας, καὶ λέγει αὐτοῖς· τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί;"

32. Μετὰ δὲ τοῦτο ζητοῦμεν, πῶς οὐ κατὰ ἀποκλήρωσιν ὁ οἰκοδεσπότης πέντε τάγμασιν ἐργατῶν παρα-

---

[1]) I Cor. II, 10.

[2]) H. et R. ὁτιδήποτε. — Hebr. IX, 26.

[3]) Ephes. II, 7.

[4]) I Joann. II, 18. Ed. Knapp. ὅτι ὁ ἀντίχριστος κτλ.

[5]) Edd. H. et R. γεγόνασι, ὅθεν κτλ.

[6]) Matth. XX, 6. Ed. Knapp. ἑστῶτας (ἀργούς), καί κ. τ. λ.

δίδωσι τὰ ἔργα τοῦ ἀμπελῶνος· πρώτῳ μὲν, ὅτε[1]) „*ἐξῆλθεν*[2]) *ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα*“ *δευτέρῳ δὲ, ὅτε* „*ἐξελθὼν*[3]) *περὶ τρίτην ὥραν εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ ἀργούς*“ *τρίτῳ δὲ καὶ τετάρτῳ, ὅτε* „*πάλιν*[4]) *ἐξελθὼν περὶ ἕκτην καὶ ἐνάτην ὥραν ἐποίησεν ὡσαύτως*“ *πέμπτῳ δὲ τῷ περὶ ἑνδεκάτην, ἡνίκα* „*ἐξελθὼν*[5]) *εὗρεν ἄλλους ἑστῶτας, καὶ λέγει αὐτοῖς· τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί;*“ *Καὶ ὅρα, εἰ δύνασαι πρῶτον μὲν τάγμα εἰπεῖν τὸ κατὰ τὸν Ἀδὰμ, ἅμα τῇ κοσμοποιΐᾳ· ἐξῆλθε γὰρ ἅμα πρωῒ ὁ οἰκοδεσπότης, καὶ, ἵν᾽ οὕτως ὀνομάσω, τὸν Ἀδὰμ καὶ τὴν Εὔαν ἐμισθώσατο, ἵν᾽ ἐργάσωνται τὸν ἀμπελῶνα τῆς θεοσεβείας· δεύτερον δὲ τάγμα, τὸ κατὰ τὸν Νῶε, καὶ τὴν πρὸς αὐτὸν διαθήκην· καὶ τρίτον, τὸ κατὰ τὸν Ἀβραὰμ, ᾧ συνεξακούεται τὰ κατὰ τοὺς πατέρας μέχρι Μωσέως συμπαρειλῆφθαι· τέταρτον δὲ τὸ κατὰ τὸν Μωσέα, καὶ πᾶσαν τὴν Αἰγύπτου οἰκονομίαν, καὶ τὴν ἐν τῇ ἐρήμῳ νομοθεσίαν· τελευταῖον δὲ τάγμα, τὸ κατὰ τὴν παρουσίαν ἐστὶ Χριστοῦ Ἰησοῦ τὸ περὶ τὴν ἑνδεκάτην. Πλὴν ἄνθρωπος εἷς οἰκοδεσπότης, ὅσον ἐπὶ τῇ προκειμένῃ παραβολῇ, πεντάκις ἐξελήλυθε, καὶ ἐπὶ τὰ τῇδε ἐλήλυθε πράγματα, ἵν᾽ ἐργάτας ἀνεπαισχύντους,*[6]) *ὀρθοτομοῦντας τὸν λόγον τῆς ἀληθείας, ἐξαποστείλῃ ἐπὶ τὸν ἀμπελῶνα, τοὺς ἐργασομένους*[7]) *αὐτοῦ τὰ ἔργα·*

---

[1]) Cod. Anglican. (item ed. H. ad marg.) *ὅτε*. Ed. Huet. (in textu) *ὅτι*. R.

[2]) Matth. XX, 1. Ed. Knapp. *ἀμπελ. αὐτοῦ*, ed. Lachm. *ἀμπ. αὐτοῦ*.

[3]) Ibid. XX, 3.

[4]) Ibid. XX, 5. Ed. Lachm. *ἐνάτην*.

[5]) Ibid. XX, 6. coll. pag. 395. not. 6.

[6]) II Tim. II, 15.

[7]) H. et R. in textu: *ἐργαζομένους*, iidem tamen in notis: „lege: *ἐργασομένους*. Vetus interpres: *operaturos opera ejus.*“

εἷς[1]) *γὰρ Χριστὸς ὁ ἀνθρώποις συγκαταβὰς πλεονάκις, τὰ τῆς κλήσεως τῶν ἐργατῶν ἀεὶ ᾠκονόμησεν.*[2])

33. *Εἰ δὲ καὶ ἀπὸ τοῦ αἰσθητοῦ κόσμου, καὶ ἀπὸ τῶν ἀπὸ αἰσθήσεως ἀρξαμένων τὰ ἔργα ποιεῖν σύμβολόν τι ἔχουσιν αἱ πέντε τῶν ἔργων παραλήψεις, ὁ δυνάμενος ἐπιστησάτω. Γεγυμνάσθω δὲ, κἂν μὴ βούλεταί τις εἰς δόγματα παραδέξασθαι καὶ τὰ λεχθησόμενα. Ἐρεῖ γάρ τις, ὅτι ἁφὴ μέν ἐστι κατὰ τὴν πρώτην κλῆσιν, διὸ εἶπεν ἡ γυνὴ τῷ ὄφει, ὃ εἶπεν ὁ θεός· „οὐ*[3]) *φάγητε ἀπ' αὐτοῦ, οὐδὲ οὐ μὴ ἅψησθε αὐτοῦ·" ὄσφρησις δὲ κατὰ τὴν δευτέραν, ὅθεν ἐπὶ τοῦ Νῶε „καὶ*[4]) *ὠσφράνθη κύριος ὀσμὴν εὐωδίας·" γεῦσις δὲ κατὰ τὸν Ἀβραάμ, διὸ καὶ ἑστιῶν τοὺς ἀγγέλους παρατίθησιν αὐτοῖς ἐγκρυφίας*[5]) *ἀπὸ σεμιδάλεως, καὶ τὸν ἁπαλὸν μόσχον· ἀκοὴ δὲ ἐπὶ Μωσέως, ὅτε ἐκ τοῦ οὐρανοῦ ἀκουστὴ γέγονεν ἡ φωνὴ τοῦ θεοῦ· ὅρασις δὲ ἡ πασῶν τῶν αἰσθήσεων τιμιωτέρα, κατὰ τὴν Χριστοῦ ἐπιδημίαν, ὅτε ἑωράκασι τὸν Χριστὸν τοῖς μακαρίοις*[6]) *ὀφθαλμοῖς. Λελέχθω δὲ καὶ ταῦτα, εἴτε γυμνασίας χάριν λογικῆς, εἴτε βούλεταί τις καὶ δογματικῆς διὰ τὰς πέντε κλήσεις.*

34. *Οἶμαι δ' ὅτι καὶ ἔργα τοῦ ἀμπελῶνος ἦν δεόμενα καθ' ὥραν ἐργατῶν· ἔδει γὰρ ἅμα τῇ ἕῳ ἔργα γίνεσθαι ἐν τῷ ἀμπελῶνι, καὶ εἶδεν ὁ καλῶν οἰκοδεσπότης τοὺς ἐργάτας, τίνες ἦσαν ἐπιτήδειοι πρὸς τὰ ἀπὸ τῆς ἕω ἔργα. Ἄλλο δὲ ἔργον περὶ τὴν τρίτην ὥραν ἦν*

---

[1]) H. et R. in notis: „Vetus interpres legerat: *εἰ γὰρ Χριστός*, vertit enim: *si enim Christus.*"

[2]) H. ad marg., R. in notis: „Cod. Regius: *ᾠκοδόμησεν.*"

[3]) Genes. III, 3. LXX. viri: *οὐ φάγεσθε* atque *οὐδὲ μὴ κ. τ. λ.*

[4]) Ibid. VIII, 21. LXX. viri: *κύριος ὁ Θεός.*

[5]) Ibid. XVIII, 6. 7.

[6]) Matth. XIII, 16. et Luc. X, 23.

τὸ ἐπὶ τοῦ Νῶε, ὅτε ἔστησεν αὐτῷ ὁ θεὸς διαθήκην. Εἶτα αἱ δέκα ἀπὸ τοῦ Νῶε ἐπὶ τὸν Ἀβραὰμ γενεαὶ, καταλήγουσαι ἐπὶ τὸν Ἀβραὰμ, ἀρχὴν ἄλλης ὑπέβαλον κλήσεως, καὶ ἦν ἐργάτης τοῦ ἀμπελῶνος τότε ἀρξάμενος ὁ Ἀβραὰμ, καὶ μετ' αὐτὸν Μωσῆς μετὰ τῶν σὺν αὐτῷ παρελήφθη εἰς τὸν ἀμπελῶνα. Ἔλειπε δέ τι τελευταῖον ἔργον τῷ ἀμπελῶνι, ὅπερ ἔχρῃζε νεαρᾶς κλήσεως, καὶ καινῆς, ἀκμαίως καὶ ἀθρόως ἐν βράχει τὸ λεῖπον ἐν τῷ ἀμπελῶνι ἐργαζομένης· τοῦτο δὲ ἦν τὸ τῆς καινῆς διαθήκης. Ἴσα μὲν οὖν διαστήματα τῶν περὶ τρίτην, καὶ ἕκτην, καὶ ἐννάτην κληθέντων· ἀνάλογον δὲ τῷ ἀπὸ τῆς ἀρχῆς ἐπὶ τὴν τρίτην ὥραν, τὸ ἀπὸ τῆς ἐννάτης Μωσέως ὥρας ἐπὶ τὴν ἑνδεκάτην τῆς Χριστοῦ Ἰησοῦ ἐν σαρκὶ ἐπιδημίας. Συμπεφώνηκε δὲ ὁ οἰκοδεσπότης τοῖς ἅμα τῇ ἕῳ παραληφθεῖσι δηνάριον. Τοῦτο δ' οἶμαί ἐστι τὸ τῆς σωτηρίας νόμισμα, οὐ συνεξεταζομένων αὐτῇ τῶν κατὰ τὴν δόξαν· σωτηρίας γὰρ ὄνομα, οἶμαι, τὸ δηνάριον δόξει· ὃ δὲ τὸ ὑπὲρ τὸ δηνάριον, εἴ που ὀνομασθῇ, νομίσματα τοῦ πενταπλασιάσαντος τὴν δεδομένην μνᾶν, ἢ δεκαπλασιάσαντος. Ὁ δὲ λέγων τοῖς περὶ τὴν τρίτην παραληφθεῖσιν· ,,ὃ ἐὰν [1]) ᾖ δίκαιον, δώσω ὑμῖν·" προετρέψατο μὲν τοὺς τῆς τρίτης ὥρας ἐργάτας ἐπὶ τὸ πᾶν ὅ, τί ποτε δύνανται ἐργάσασθαι, ἑαυτῷ δὲ τετήρηκε τὸ κρῖναι τὸν δίκαιον πρὸς τὸ γενόμενον ἔργον μισθόν· ἐπεὶ δὲ ὡσαύτως ἐποίησε τοῖς περὶ τὴν ἕκτην καὶ ἐννάτην ὥραν, δηλονότι καὶ αὐτοῖς εἶπεν· ,,ὃ ἐὰν ᾖ δίκαιον, δώσω ὑμῖν." Καὶ [2]) δύνανταί γε ἶσον ἔργον ἐν τῷ ἀμπελῶνι πεποιηκέναι τοῖς ἅμα τῇ ἕῳ ἐργασαμένοις, οἳ [3]) ἐν ὀλι-

---

[1]) Math. XX, 4.

[2]) H. et R. in textu: *καὶ δύνανταί γε ἔργον κτλ.*, iidem tamen in notis: ,,vetus interpres: *poterant autem aequale opus facere in vinea iis*, etc. Legendum fortasse: *καὶ δύνανταί γε ἶσον ἔργον κ. τ. λ.*

[3]) H. et R. *οἱ ἐν — ἐνέργειαν, οὐ προκαμοῦσιν, κτλ.*

γωτέρῳ χρόνῳ ἐπιτείνειν βουλόμενοι τὴν εἰς τὸ ἔργον δύναμιν καὶ ἐνέργειαν οὐ προκαμοῦσιν, ὅπερ συμβέβηκε τοῖς ἅμα τῇ ἕῳ κεκλημένοις. Ἀλλὰ ζητήσαι τις, πῶς οὐ μόνον ἀργοῖς ὑπάρχουσιν, ἀλλὰ καὶ ἑστηκόσιν ὅλην τὴν ἡμέραν, τουτέστι παρὰ πάντα τὸν πρὸ τῆς ἑνδεκάτης ὥρας καιρὸν, φησὶν ὁ οἰκοδεσπότης ἐξελθὼν περὶ τὴν ἑνδεκάτην ὥραν· „τί[1]) ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί;" Ἐγὼ δὲ ὑπονοῶ τὸν περὶ ψυχῆς ἀπόῤῥητον καὶ ἐν τούτοις κεκρύφθαι λόγον, ὅτε ἤργουν ὅλην τὴν ἡμέραν μέχρι τῆς ἑνδεκάτης ὥρας· θέλοντες μὲν[2]) γὰρ ἐργάσασθαι, οὐ παραλαμβανόμενοι δὲ εἰς τὸν ἀμπελῶνα οἱ τεθαῤῥηκότως ἀπολογούμενοι, καὶ λέγοντες „οὐδεὶς[3]) ἡμᾶς ἐμισθώσατο." Ἡμεῖς μὲν οὖν ἐτολμήσαμεν τοιαῦτά τινα καὶ ἐκ πολλῶν μὲν φαντασθέντες γραφῶν, καὶ ἐκ τῆς προκειμένης δὲ παραβολῆς εἰπεῖν. εἰς τὸ καταστῆσαι, πῶς ὅλην τὴν ἡμέραν ἑστήκασιν ἀργοὶ, παρὰ τὸ μηδένα αὐτοὺς μεμισθῶσθαι, οἱ περὶ τὴν ἑνδεκάτην ὥραν κεκλημένοι.

35. Οἱ δὲ μὴ ἀρεσκόμενοι τοῖς τοιούτοις δόγμασι λεγέτωσαν ἡμῖν τὴν ὅλην ἡμέραν, καὶ τοὺς ἑστῶτας ὅλην τὴν[4]) ἡμέραν ἀργοὺς, θέλοντας ἐργάσασθαι, μὴ κεκλημένους εἰς τὸν ἀμπελῶνα, καὶ παῤῥησιαζομένους ἐν τῷ· „οὐδεὶς[5]) ἡμᾶς ἐμισθώσατο." Εἰ γὰρ συνεσπάρη ἡ ψυχὴ τῷ σώματι, πῶς ὅλην τὴν ἡμέραν εἱστήκεισαν ἀργοί; ἢ λεγέτωσαν ἡμῖν, τίς ἡ ὅλη ἡμέρα, καὶ ἐν αὐτῇ διάφοροι, κατὰ τὰς διαφόρους ὥρας, κλήσεις τῶν ἐργατῶν. Πότερον δὲ μακάριοι μὲν οἱ ὑπὸ τοῦ κατὰ τὴν παραβολὴν οἰκοδεσπότου μεμισθωμένοι, ἦσαν

---

1) Matth. XX, 6.

2) H. ad marg., R. in notis: „in Cod. Regio deest γάρ post μέν."

3) Matth. XX, 7. Edd. N. T. ὅτι οὐδείς κ. τ. λ.

4) Desideratur τήν in ed. Ruaei.

5) Matth. XX, 7. coll. pag. huj. not. 3

δὲ καὶ ἄλλοι μεμισθωμένοι ἐργάται, ἤτοι ὑπὸ ἑτέρων οἰκοδεσποτῶν, ἢ τοῦ αὐτοῦ· καὶ ἤτοι οὐ μακάριοι, ἢ οὐχ οὕτως μακάριοι, ὑπὲρ ἡμᾶς ἐστι κατ' ἀξίαν τὸ τοιοῦτον νοῆσαι, ἢ καὶ, ὡς νοοῦμεν, γραφῇ τὰ νοούμενα πιστεῦσαι. Ἐγὼ ζητῶ καὶ τὰ ἔξω τοῦ ἀμπελῶνος, ὅπου εὑρίσκονται οἱ ἐργάται ὑπὸ τοῦ ἐξελθόντος αὐτοὺς μισθώσασθαι, καὶ ἐπισκοπῶ, μήποτε ἡ χώρα τῶν πρὸ τοῦ σώματος ψυχῶν ἐστιν ὁ ἔξω τοῦ ἀμπελῶνος τόπος, ἀμπελὼν δὲ οὐ μόνον τὰ τῇδε, ἀλλὰ καὶ τὰ ἔξω τοῦ σώματος, ἔνθα, οἶμαι, ἐργάζονται οἱ ἐργάται· οὐ γὰρ ἐν ἀργίᾳ εἰσὶν αἱ ἀπαλλαγεῖσαι τοῦ σώματος ἐργατῶν παραληφθέντων εἰς τὸ χωρίον τοῦ οἰκοδεσπότου ψυχαί. Καὶ Σαμουὴλ[1]) γοῦν ἔξω σώματος εἰργάσατο προφητεύων, καὶ Ἱερεμίας[2]) εὐχόμενος ὑπὲρ τοῦ λαοῦ. Φιλοτιμώμεθα οὖν καὶ ἐργαζώμεθα τὸν ἀμπελῶνα, εἴτε ἐνδημοῦντες, εἴτε ἐκδημοῦντες, ληψόμενοι ὃ ἐὰν ᾖ δίκαιον. Καὶ οὐδείς γε, ὅσον ἐπὶ τῇ παραβολῇ, μὴ ἐργασόμενος τὰ τοῦ ἀμπελῶνος ἔργα, ἐξαποστέλλεται εἰς αὐτόν· οὐδένα γὰρ ὡς ἐκλιπέστερον[3]) τὸ ἔργον πεποιηκότα ὁ οἰκοδεσπότης ἐμέμψατο, εἰ καὶ ἐπὶ τὸ πλείονα καὶ μείζονα ἐλπίσαι μισθὸν ἐμέμψατο. Καὶ τάχα ὁ ἔξω τοῦ ἀμπελῶνος τόπος ἐστὶν ἡ ἀγορὰ, ἔνθα ἦσαν οἱ ἑστῶτες ἀργοί· μεγάλη δ' ἡ ἀπολογία πρὸς τὸ ἀξίους αὐτοὺς γενέσθαι τοῦ τῆς ὅλης ἡμέρας μισθοῦ, τοῖς εἰποῦσι λέλεκται· „ὅτι[4]) οὐδεὶς ἡμᾶς ἐμισθώσατο·“ διόπερ αὐτοὺς ἐμισθώσατο, καὶ, ἵν' οὕτως εἴπω, ἀποδέδωκεν αὐτοῖς μισθὸν τοῦ μακροθύμως ἑστηκέναι ὅλην τὴν ἡμέραν, καὶ περιμένειν μέχρι ἑσπέρας τὸν μισθωσόμενον. Μετὰ ταῦτα ὀψίας γενομένης, τουτέστι τῆς συν-

---

1) I Sam. XXVIII, (I Regg.)

2) II Macc. XV, 14.

3) Edd. Huetii: *ἐλλιπέστερον.*

4) Matth. XX, 7. H. et R. h. l., cfr. pag. 399. not. 5. coll. not. 3., *ὅτι οὐδείς κ. τ. λ.*

τελείας τῆς τοῦ αἰῶνος, καὶ τῆς κατὰ τὴν παραβολὴν ἡμέρας, λέγει τῷ ἐπιτρόπῳ ἑαυτοῦ ὁ κύριος, εἴτε τινὶ ἀγγέλων τῷ ἐπὶ τῶν μισθῶν, εἴτε καὶ ἑνὶ ἐκ πολλῶν ἐπιτροπευσάντων ἐπιτρόπων· καθὸ λέλεκται, ὑπὸ ἐπιτρόπους[1]) καὶ οἰκονόμους εἶναι τὸν κληρονόμον παρὰ τὸν χρόνον ὃν νήπιός ἐστι. Κατὰ τὸ πρόσταγμα τοίνυν τοῦ οἰκοδεσπότου καλοῦνται οἱ ἐργάται ὑπὸ τοῦ ἐπιτρόπου, ἵνα ὁ μισθὸς τοῖς ἐσχάτοις πρώτοις δοθῇ· οἱ γὰρ πρότεροι ἐργάται „μαρτυρηθέντες[2]) διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου" — τῶν ἐν τῇ ἑνδεκάτῃ ὥρᾳ κεκλημένων, — „ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι." Καὶ ἐλεήθημέν γε ἐπὶ τῷ ὅλην τὴν ἡμέραν στῆναι, καὶ βεβουλῆσθαι ἥκειν ἡμῖν τὸν μισθωσόμενον, ἠργηκέναι δὲ, καὶ μετὰ ἀπολογίας ἠξιῶσθαι τοῦ ἔργου, καὶ ἐλεηθέντες πρῶτοι τὸν μισθὸν ἀπολήψεσθαι προσδοκῶμεν οἱ Χριστοῦ γνώριμοι· εἶτ' ἐπαναβαίνων δώσει τὸν μισθὸν τοῖς πρὸ ἡμῶν ἐργασαμένοις, εἶτα τοῖς πρὸ ἐκείνων, καὶ οὕτως μέχρι τῶν πρώτων. Ἰδὼν δέ τις τὸν τόπον, ἔνθα διέτριβε Σαμουὴλ, καὶ ἀκολούθως σκοπήσας περὶ τῶν τῆς ἑνδεκάτης κληθέντων ἐργατῶν, ὄψεται τίνα τρόπον ἐβάστασαν τὸ βάρος, καὶ τὸν καύσωνα τῆς ἡμέρας πρότεροι· οἱ δὲ τὴν ἑνδεκάτην κληθέντες, ὡς ἐκεῖνοι μὲν οὐκ ἐβάστασαν τὸ βάρος τῆς ἡμέρας, καὶ τὸν καύσωνα, ἐβάστασαν δὲ τὸ βάρος τοῦ ἑστηκέναι ἀργοί. Πρὸ τῆς ἐφ' ἡμᾶς οὖν παρουσίας τοῦ δεσπότου, ὃς εἶπεν ἡμῖν. „δεῦτε[3]) πρός με πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς·" — φορτίον γὰρ ἦν ἡ ἀργία, καὶ τὸ μὴ ἀξίους πω κριθῆναι τῶν ἐν τῷ ἀμπελῶνι ἔργων. Καὶ καύσωνά γε ἐβάστασαν οἱ πρὸ τῆς ἑνδεκάτης, ἕκαστος κατ' ἀναλογίαν τῆς κλήσεως· — μὴ εἰδότες τὸ τοῦ οἰκοδεσπότου ἀξίωμα οἱ πρῶτοι, καὶ ὅτι οὐ χρὴ γογγύζειν κατὰ τούτου, πλεῖόν τι σωτηρίας ἧς λαμβάνουσιν οἱ τελευταῖοι ᾠήθησαν λήψεσθαι, καὶ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου, φθονοῦντες ἡμῖν τοῖς

---

[1]) Galat. IV, 2.
[2]) Hebr. XI, 39. 40. Ed. Lachm. v. 39. τὰς ἐπαγγελίας.
[3]) Matth. XI, 28.

ἐσχάτοις, μίαν ὥραν τὴν μέχρι τῆς συντελείας πεποιηκόσι, καὶ ἴσοις γεγονόσι[1]) τοῖς ἀρχῆθεν κεκλημένοις ἐπὶ τὸν θεῖον ἀμπελῶνα. Ἀλλ' ὁ οἰκοδεσπότης ἑνὶ αὐτῶν εἶπε, τάχα τῷ Ἀδάμ· „ἑταῖρε,[2]) οὐκ ἀδικῶ σε· οὐχὶ δηναρίου συνεφώνησάς μοι; ἆρον τὸ σὸν, καὶ ὕπαγε·" σὸν γὰρ ἡ σωτηρία, τὸ δηνάριον· „θέλω[3]) γὰρ καὶ τούτῳ, φησὶ, δοῦναι ὡς καὶ σοί·" καὶ οὐκ εἶπε, τούτοις, ἀλλ' ἔδειξέ τινα κατ' ἐξοχὴν ἕνα, ὃν τολμηρότερον μὲν εἰπεῖν ὅστις[4]) ἐστίν· οὐκ ἀπιθάνως δ' ἄν τις στοχάσαιτο, Παῦλον μὲν εἶναι τὸν ἀπόστολον, μίαν ὥραν ἐργασάμενον τάχα ὑπὲρ πάντας τοὺς πρὸ αὐτοῦ. Εἰ δὲ δεῖ καὶ περὶ τοῦ ἀμπελῶνός τι εἰπεῖν, λαβόντα ἀφορμὴν ἀπ' αὐτοῦ τοῦ ἑρμηνεύσαντος ἐν τοῖς περὶ ἄλλης παραβολῆς τὸν ἀμπελῶνα, φήσομεν, ὅτι ἀμπελών ἐστιν ἡ βασιλεία τοῦ θεοῦ· οὕτως γὰρ αὐτὸς εἶπεν ἐν τῷ· „ἀρθήσεται[5]) ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς." Πάντες οὖν οἱ τὰ ἔργα τοῦ ἀμπελῶνος ἐργαζόμενοι, τὰ ἔργα τῆς βασιλείας τοῦ θεοῦ ἀξίως σωτηρίας ἐπιτελοῦντες, τὸ δηνάριον λήψονται.

36. Μετὰ τὸ ὑπαγορεῦσαι ταῦτα εἰς τὴν ἐκκειμένην παραβολὴν, καὶ ταῦτα ὑπέπεσεν ἡμῖν εἰς αὐτὴν, χρήσιμα εἶναι δυνάμενα τοῖς προσκόπτουσι[6]) τῇ βαθυτέρᾳ καὶ ἀποῤῥητοτέρᾳ διηγήσει. Φήσει γοῦν τις, τὸν πάντα τῶν ἀνθρώπων βίον εἶναι τὴν κατὰ τὴν παραβολὴν ἡμέραν· δηλοῦσθαι οὖν, τοὺς μὲν ἐκ παίδων, καὶ πρώτης ἡλικίας κληθέντας ἐπὶ τὸ ἐργάζεσθαι τὰ τῆς βασιλείας τοῦ θεοῦ ἔργα, εἶναι τοὺς ἅμα τῇ ἕῳ μισθωθέν-

---

[1]) Edd. Huetianae: γεγόνασι.

[2]) Matth. XX, 13. H. et R. h. l., cfr. pag. 391. not. 4., οὐχὶ δηνάριον συνεφώνησά σοι. — Vers. 14.

[3]) Ita H. et R. h. l., cfr. Matth. XX, 14. coll. pag. 391. not. 4., omissis post τούτῳ verbis: τῷ ἐσχάτῳ.

[4]) Deest ὅστις in ed. Coloniensi.

[5]) Matth. XXI, 43. H. et R. h. l. in textu τ. καρποὺς αὐτοῦ (scil. Θεοῦ), in notis: „ita Codd. Holm. et Regius." Equidem αὐτῆς restitui, attestantibus hanc lectionem locis infra Tom. XVII. capp. 6. 7. 12. et 13. obviis.

[6]) H. et R. in notis: „vetus interpres: *qui proficiunt* etc., legebat: προκόπτουσι."

τας ὑπὸ τοῦ οἰκοδεσπότου· τοὺς δὲ μετὰ τὸ μειράκιον ἐρχομένους ἐπὶ τὴν θεοσέβειαν, τοὺς ἀπὸ τρίτης ὥρας παραγενομένους· τοὺς δὲ ἤδη ἄνδρας, τοὺς περὶ τὴν ἕκτην ἐξαποστελλομένους ἐπὶ τὸν ἀμπελῶνα· τοὺς δὲ πρεσβύτας ἐπὶ τὴν θεοσέβειαν ἀγομένους, εἶναι τὴν ἐνάτην ὥραν, μετὰ τὸν ἐν νεότητι καύσωνα, καὶ τὸ βάρος τῶν μέχρι τῆς πρεσβυτικῆς ἡλικίας πράξεων παραληφθέντας ἐπὶ τὸν Λόγον τοῦ θεοῦ· τοὺς δὲ πρὸς αὐτῇ τῇ ἐξόδῳ γέροντας δηλοῦσθαι τοὺς τὴν ἑνδεκάτην ὥραν κεκλημένους εἰς τὰ τοῦ ἀμπελῶνος ἔργα. Ἐπεὶ τοίνυν προαίρεσις, καὶ οὐ χρόνος ἐξετάζεται, ὃν ἐν πίστει πεποίηκέ τις, διὰ τοῦτο τοῖς ἐξ οὗ κέκληνται τὰ ἐπιβάλλοντα πεποιηκόσι, πᾶσι δίδοται ὁ ἴσος τῆς σωτηρίας μισθὸς, ἐφ' ᾧ ἀγανακτοῦσιν οἱ ἐκ [1]) παίδων πιστοὶ, καὶ καμόντες, καὶ βιασάμενοι τὴν νεότητα, εἰ μέλλουσιν ἔχειν ἴσην σωτηρίαν τοῖς ἀργοῖς ἀπὸ θεοσεβείας μέχρι γήρως γεγενημένοις, καὶ ὀλίγον καιρὸν ἐπὶ τὴν πίστιν καὶ τὰ ἔργα τῆς πίστεως ἐληλυθόσιν.

37. Ἀμπελὼν δὲ κατὰ ταύτην τὴν διήγησιν εἴη ἂν ἡ ἐκκλησία τοῦ θεοῦ· ἀγορὰ δὲ καὶ τὰ ἔξω τοῦ ἀμπελῶνος, τὰ ἔξω τῆς ἐκκλησίας, ὅθεν ὁ λόγος παραλαμβάνει τοὺς καλουμένους, καὶ πέμπει ἐπὶ τὸν ἀμπελῶνα, τὴν ἐκκλησίαν. Οὐκ ἀριθμηθεῖεν δὲ κατὰ τὴν διήγησιν ταύτην εἰς τοὺς ἐργάτας τοῦ ἀμπελῶνος, ὅσοι ἐκλήθησαν μὲν εἰς τὴν θεοσέβειαν πρότερον, μὴ τηρήσαντες δὲ τὰ τῆς πίστεως, νικηθέντες ὑπὸ παθῶν ἐξῆλθον. Κἂν γὰρ μετὰ τὸ ἐμφορηθῆναι τῶν ἐν ἁμαρτίαις ἡδονῶν θέλωσιν ὡς μετανοοῦντες ἐργάσασθαι τὸν ἀμπελῶνα, οὐ δύνανται λέγειν τῷ οἰκοδεσπότῃ· „οὐδεὶς [2]) ἡμᾶς ἐμισθώσατο.“ Ἐμισθώθησαν γὰρ καθ' ὃν καιρὸν πρότερον ἐπὶ τὸ πιστεύειν ἐκλήθησαν· ἀλλ' οὐδὲ λελέξεται αὐτοῖς· „τί [3]) ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί;“ μάλιστα εἰ ἀρξάμενοι [4]) πνεύματι, καὶ ὕστερον σαρκὶ ἐπιτελούμενοι, πάλιν ἐπανέρχεσθαι βούλοιντο ἐπὶ τὸ ἐξ

[1]) Desideratur ἐκ in ed. Ruaei.
[2]) Matth. XX, 7. coll. pag. 400. not. 4.
[3]) Ibid. XX, 6.
[4]) Gal. III, 3.

ὑπαρχῆς πνεύματι θέλειν ζῆν. Καὶ οὔ φαμεν ταῦτα, ἀποτρεπόμενοι ἀνίστασθαι τοὺς πεπτωκότας, ἢ ἐπαναστρέφειν[1]) τοὺς πεπλανημένους, ἢ παλινδρομεῖν ἐπὶ τὸν πατρῷον οἶκον τοὺς κατασωτευσαμένους τὴν τῆς εὐαγγελικῆς διδασκαλίας οὐσίαν· ἐχέτωσαν μὲν γὰρ διὰ τὴν μετάνοιαν, καὶ τὸ καταλαμβάνεσθαι ἐν ἐπεστραμμένῳ βίῳ, κρείττονα τῶν καταλαμβανομένων ἐν ταῖς ἁμαρτίαις, οὐ μὴν[2]) χρὴ ὑπολαμβάνειν περὶ αὐτοῦ[3]) ὅτι ὅμοιοί εἰσι τοῖς παρὰ τοῦτο ἡμαρτηκόσιν ἐν τῇ νεότητι, παρὰ τὸ μηδὲ τὴν ἀρχὴν τὰ τῆς πίστεως μεμαθηκέναι. Θέλει οὖν ὁ οἰκοδεσπότης καὶ τοῖς ἐσχάτοις δοῦναι, ὡς καὶ τοῖς πρώτοις, τὸ δηνάριον, τὴν σωτηρίαν, ἐπεὶ ἔξεστι[7]) ποιεῖν ὃ θέλει ἐν τοῖς αὐτοῦ, καὶ ἐλέγχει τὸν ἔχοντα πονηρὸν ὀφθαλμὸν ἐπὶ τῷ τὸν οἰκοδεσπότην εἶναι ἀγαθόν. Ἔσονται οὖν πολλοὶ τῶν ἐσχάτων πρῶτοι, καί τινες τῶν πρώτων κληθέντων ἔσχατοι· καὶ γὰρ οἱ κλητοὶ[5]) μὲν πολλοὶ, οἱ δὲ ἐκλεκτοί εἰσιν ὀλίγοι. Εἰκὸς μὲν οὖν, τὸν ἡμῶν σοφώτερον, καὶ κριθέντα παρὰ θεῷ ἄξιον τρανοτέρου τοῦ ἐν λόγῳ[6]) σοφίας διὰ πνεύματος θεοῦ χαρίσματος καὶ πλουσιωτέρου, καὶ δωρεᾶς τῆς ἐν λόγῳ γνώσεως κατὰ τὸ πνεῦμα, ὑψηλότερα καὶ μείζονα, καὶ μετὰ πάσης καταλήψεως εὑρήσειν εἰς τὴν παραβολὴν, καὶ ἀποδείξεων εὐπορήσειν παραλαμβάνοντα εἰς αὐτὰς ῥητὰ μεγαλοφυέστερον. Καὶ ἡμεῖς δὲ ὡς ἐχωρήσαμεν ἐκθέμενοι τὸν νοῦν τῆς παραβολῆς, αἰτοῦμεν ἀπὸ τῶν ἐντυγχανόντων συγγνώμην, εἰ καὶ μὴ κατ' ἀξίαν καθίκεσθαι τοῦ βουλήματος τῶν ἐνταῦθα γεγραμμένων δεδυνήμεθα· τάχα γὰρ τῆς προθυμίας, καὶ τοῦ μὴ ἀπωκνηκέναι χάριν, δόξομεν ἔχειν ἀποδοχῆς τι ἄξιον.

---

[1]) H. ad marg., R. in not.: „Cod. Reg.: ἐπιστρέφειν."

[2]) H. et R. in textu, ille μέν, hic recte μήν. H. ad oram: „Cod. Regius μήν."

[3]) H. ad marg., R. in not.: „forte legend.: περὶ αὐτῶν."

[7]) Matth. XX, 15.

[5]) Matth. XX, 16.

[6]) I Cor. XII, 8.

Typis Fratrum Unger.

